PEDANII DIOSCURIDIS

ANAZARBEI

DE MATERIA MEDICA

LIBRI QUINQUE

EDIDIT


MAX WELLMANN

VOLUMEN III

QUO CONTINENTUR LIBER V.

CRATEUAE, SEXTII NIGRI FRAGMENTA
DIOSCURIDIS LIBER DE SIMPLICIBUS

BEROLINI
APUD WEIDMANNOS
MCMXIV.



PEDANII DIOSCURIDIS

ANAZARBEI

DE MATERIA MEDICA

LIBRI QUINQUE

EDIDIT

MAX WELLMANN



VOLUMEN III

QUO CONTINENTUR LIBER V.

CRATEUAE, SEXTII NIGRI FRAGMENTA
DIOSCURIDIS LIBER DE SIMPLICIBUS

BEROLINI
APUD WEIDMANNOS
MCMXIV.

UDALRICO DE WILAMOWITZ-MOELLENDORFF

ΕΡΩΤΟΣ ΚΑΘΗΓΗΤΗΙ

INDEX SIGLORUM

P.: Parisinus gr. 2179 s. IX
L.: Laurent. gr. 74, 17 s. XII (e P)
F.: Laurent. gr. 74, 23 s. XIV } O
H.: Palat. gr. 77 s. XIV } Q
A.: Vindob. med. gr. 16 s. XV
(F., H., A. = Q; P., L., F., H., A. = O)
E.: Escor. III R 3 s. XI
Di.: Paris gr. 2183 s. XV
Orib.: Oribasii excerpta
pap.: papyri Lugd. (II ed. Leemanns 243 sq.) excerpta e capp. 74. 89. 94—97. 100. 104—106. 113.

Aet.: Aetii tetrabiblon
Ald.: Aldina, Venet. 1499
Alex. Tr.: Alexander Trallianus ed. Th. Puschmann
Apoll. M.: Appollonius Mys (frg. Gal. XII)
Arch. vel *Archig.*: Archigenes (frg. Gal. XII. XIII.)
Asul.: Asulani ed. Diosc. Venetiis 1518
Cels.: Celsus de medicina ed. Daremberg
Col.: Columellae de re rustica ed. Gesner
Dam. lap.: Damigeron de lapidibus ed. E. Abel
D. eup. vel *eup.*: Diosc. *Περὶ ἁπλῶν φαρμάκων* liber
Gal.: Galeni opera ed. Kühn
Ps. Gal. simpl. vel *simpl.*: Ps. Galeni de simplicibus ad Paternianum, ed. Iunt. VI 84 sq.
Garg. M. vel *GM.*: Gargilius Mart. ed. V. Rose
Geop.: Geoponica ed. Beckh
Marc.: Marcellus Virgilius (editio Diosc. Coloniae 1529)
Orib.: Oribasii editio Darembergiana
Orib. Syn. vel *Syn.*: Synopsis Oribasii (Vol. V 1 Dar.)
Orph. lap.: Orphei Lithica ed. E. Abel
Pall.: Palladii opus agriculturae ed. Schmitt
Paul. Aeg. (*P. A.*): Pauli Aeginetae libri VII (Bas. 1538)
Philum.: Philumeni de venenatis anim. ed. M. Wellmann
Pl.: Plinii nat. hist. ed. Detlefsen

Poll.: Pollux onomasticon ed. Becker
Salm.: Salmasius Plinianae exercitationes
Sar. vel *Sarac.*: Diosc. ed. Saracenus, Lugd. 1598
Scrib Larg.: Scribonii Largi compositiones ed. G. Helmreich
S. N.: Sextius Niger
Sol.: Solini Collectanea ed. Th. Mommsen
Spr.: editio Sprengeliana, Lips. 1829
Syn.: Qribasii Synopsis (Vol. V 1 Dar.)
Theophr. lap.: Theophrasti frg. de lapidibus ed. Wimmer 340 sq.
Zop.: Zopyri frg. (Orib. II 553 sq. Dar.)

CORRIGENDA

17, 14: *περὶ τὸ στόμα*
18, 1: *ἐγχυματίζηταί τις*
23, 18: *τὸ ἐπὶ τοῦ καλάμου*
23, 24: *ὅ τε λοιπὸν*
27, 14: fort. *μνᾶν* ⟨*μίαν*⟩
30, 15: *δυσενεργείας νεύρων*
34, 5: *ἀποβρέχοντας*
37, 4: fort. *καθαίρει δὲ τὰ ἐκ*
58, 18: post *χοίνικα* interpunge
60, 5: ⟨*ἐν*⟩*ειλήσας*
70, 14: *ξηρὰν*
70, 18: *ἐκφυσωμένων*
70, 20: *καταβάλῃ*
73, 5: ⟨*καὶ*⟩ *μετὰ*
73, 11: *χαλκὸν λίθον ἀποτελούσης* [*ὕλης*]
76, 22: *ῥεύματα* ⟨*τὰ*⟩
95, 15: *προπτώσει* ⟨*ὀφθαλμῶν*⟩

ΠΕΔΑΝΙΟΥ ΔΙΟΣΚΟΥΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ
ΠΕΡΙ ΥΛΗΣ ΙΑΤΡΙΚΗΣ
ΛΟΓΟΣ ΠΕΜΠΤΟΣ

Ἀποδόντες ἐν τοῖς προγραφεῖσι τέτταρσι βιβλίοις, φίλτατε Ἄρειε, τὸν περὶ ἀρωμάτων καὶ ἐλαίων καὶ μύρων καὶ δένδρων, καὶ τῶν ἐξ αὐτῶν καρπῶν τε καὶ δακρύων, ἔτι τε ζῴων καὶ μέλιτος καὶ γάλακτος καὶ στεάτων καὶ τῶν καλουμένων σιτηρῶν καὶ λαχάνων, καὶ τὸν σύμπαντα περὶ ῥιζῶν καὶ βοτανῶν καὶ χυλισμάτων καὶ σπερμάτων λόγον, ἐν τούτῳ τελευταίῳ ὑπάρχοντι τῆς ὅλης πραγματείας διαλεξόμεθα περὶ οἴνων καὶ τῶν καλουμένων μεταλλικῶν, ἀρξάμενοι ἀπὸ τῆς περὶ ἀμπέλου παραδόσεως.

1 ἀμπέλου οἰνοφόρου τὰ φύλλα καὶ αἱ ἕλικες λεῖα καταπλασσόμενα κεφαλαλγίας πραΰνουσι, καὶ φλεγμονὴν στομάχου καὶ καῦσον σὺν ἀλφίτῳ καὶ καθ᾽ ἑαυτὰ ἐπιτιθέμενα τὰ φύλλα, στυπτικὰ καὶ ψυκτικὰ ὄντα· καὶ ὁ ἐξ αὐτῶν δὲ χυλὸς ποθεὶς ὠφελεῖ δυσεντερικοὺς καὶ αἱμοπτοικοὺς καὶ στομαχικοὺς καὶ κισσώσας, καὶ ἀποβραχεῖσαι δὲ αἱ ἕλικες ἐν ὕδατι καὶ ποθεῖσαι τὰ αὐτὰ ποιοῦσι. τὸ δὲ δάκρυον αὐτῆς, ὅμοιον 2
ὂν κόμμει, περιπηγνύμενον τοῖς στελέχεσι, λίθους ἐκτινάσσει πινόμενον σὺν οἴνῳ· ἰᾶται δὲ καὶ λειχῆνας λέπρας ψώρας

12 SIM. Pl. XXIII 3 sq. D. eup. II 1 (226) II 29 (239) II 16 (232) II 111 (309) I 128 (158) I 102 (144) I 176 (186) I 220 (208) I 226 (210) II 62 (274).

1 tit. τ ///// (c. 9 litt. eras.) *διοσκουρίδου περὶ ὕλης βιβλίον ε̄* E *πεδακίου* QDi 3 *λόγος ε′* F 4 *προγεγραμμένοις* E *τέτρασι* HDi: *τέσσαρσιν* E 6 *ἔτι δὲ* E 9 *τελευταίῳ*] *πέμπτῳ* E
12 num. cap. *χξε* O: *χξζ* Di: *ᾱ* E tit. *ἄμπελος* F: *περὶ ἀμπέλου* H: *περὶ ἀμπέλου οἰνοφόρου* Di *οἱ ἕλικες λεῖοι καταπλασσόμενοι* E *λεῖαι καταπλασσόμεναι* HDi 13 *φλεγμονὰς* H: *φλεγμονήν τε* (om. *καὶ*) Di 14 *ἀλφίτῳ* EDiD. eup. II 1 (226): *ἀλφιτῶν* P: *ἀλφίτοις* reliqui 15 *ψυκτικὰ καὶ στυπτικὰ* Q: *καὶ ψυκτικὰ* om. Di 16 *ποθεὶς* om. P: *sucus eius bibitus* Dl 17 *κιττώσας* E *καὶ* (alt.) post *δὲ* colloc. Di *ἀποβραχέντες δὲ λεῖοι ἐν ὕδατι οἱ ἕλικες* E 19 *ὂν*] *ἐστὶν* E *κόμει* PE post *στελέχεσι* add. *τοῦτο* Q *ἐκτινάσσει λίθους* E 20 *ψώρας λέπρας* H: *καὶ ψ. καὶ λ.* Di: *λ. καὶ ψώρας* E

καταχριόμενον· δεῖ δὲ προεκνιτροῦν τὸν τόπον. σὺν ἐλαίῳ δὲ ἐπιχριόμενον συνεχῶς ψιλοῖ τρίχας, καὶ μάλιστα τὸ ἀπὸ τοῦ χλωροῦ κοιομένου κλήματος ἀφιδρούμενον, ὃ καὶ μυρμηκίας ἐπιχριόμενον ἐκβάλλει. ἡ δὲ ἐκ τῶν κλημάτων καὶ στεμφύλων τέφρα τὰ περὶ δακτύλιον ἀφαιρεθέντα κονδυλώματα καὶ θύμια σὺν ὄξει καταπλασθεῖσα θεραπεύει καὶ στρέμματα, καὶ ἐχεοδήκτοις βοηθεῖ καὶ σπληνὸς φλεγμονῇ σὺν ῥοδίνῳ καὶ πηγάνῳ καὶ ὄξει καταπλασσομένη.

2 ἄμπελος ἀγρία διττή· ἡ μὲν γάρ τις αὐτῆς οὐ περκάζει τὴν σταφυλήν, ἄχρι δ' ἀνθήσεως ἄγει τὴν λεγομένην οἰνάνθην, ἡ δέ τις καὶ τελεσφορεῖ, μικρόρραξ οὖσα καὶ μέλαινα καὶ στυπτική.

δύναμιν δὲ ἔχει ταύτης τὰ φύλλα καὶ αἱ ἕλικες καὶ οἱ καυλοὶ ὁμοίαν τῇ ἡμέρῳ.

3 σταφυλή· ἡ μὲν πρόσφατος πᾶσα ἐκταράσσει τὴν κοιλίαν καὶ ἐμπευματοῖ ⟨τὸν⟩ στόμαχον, ἡ δ' ἐπὶ χρόνον τινὰ κρεμασθεῖσα ἐπ' ὀλίγον μετέχει τούτων διὰ τὸ πολὺ τῆς ἰκμάδος ἀνεξηράνθαι, εὐστόμαχός τέ ἐστι καὶ ὀρέξεως ἀνακλητικὴ καὶ ἐπιτήδειος πρὸς τοὺς ἀσθενοῦντας. αἱ δ' ἐκ τῶν στεμφύλων καὶ τῶν βίκων εὔστομοι, εὐστόμαχοι, κοιλίας ἐφεκτικαί, κύστεως δὲ καὶ κεφαλῆς ἅπτονται· ἁρμόζουσι δὲ καὶ ἐπὶ αἱμοπτοικῶν. ὅμοιαι δέ εἰσι καὶ αἱ εἰς τὸ γλεῦκος ἐμβαλλόμεναι, αἱ δ' ἐκ
2 τοῦ ἑψήματος καὶ γλυκέος κακοστομαχώτεραι. συντίθενται δὲ καὶ μετ' ὀμβρίου ὕδατος προσταφιδωθεῖσαι· γίνονται δὲ αἱ

9 SIM. Pl. XII 132. XIV 98. XXIII 19.
9 EXC. Orib. XI s. v. (*ἄμπελος — στυπτική*).
15 SIM. Pl. XXIII 11—15, cf. D. eup. I 134 (161) II 54 (266) II 47 (258) II 49 (261).

1 *τὸν τόπον* om. E 2 *ἐπιχριόμενος* H: *ἐνχριόμενον* EDi *τὰς τρίχας* QEDi, cf. D. eup. I 103 (144) *τὸ* om. PF: *ὁ . . . ἀφιδρούμενος ἰχώρ* HDi 3 *κλήματος καιομένου* vulgo *ὃς* HDi *μυρμηκίαις* E: *μυρμηκι* (mg. *μυρμηκίας*) P 4 *ἐπιχρισθὲν* E *κλημάτων τέφρα καὶ στεμφύλων* E 6 *ἐχιοδήκτους ὠφελεῖ* HDi *ἐχεοδήκτοις* PE: *ἐχιοδήκτοις* (ut videtur) reliqui: *scorpionum et canum plagas* Pl. 7 *φλεγμονὰς* QDi: *φλεγμονὴν* E 8 *καταπλασσόμενα* PFE (corr. E[2]), cf. D. eup. II 62 (274)

9 num. cap. $\overline{\chi\xi\text{ϙ}}$ O: $\overline{\beta}$ E tit. *περὶ ἀγρίας ἀμπέλου* H: *ἀγρία* F *αὐτῆς* om. Q 11 *μικρόραγος* Orib.: *μικρόραξ* FE 13 *καὶ ταύτης* E *αἱ*] *οἱ* E

15 num. cap. $\overline{\chi\xi\zeta}$ O: $\overline{\gamma}$ E tit. *περὶ σταφυλῆς* HDi *τὴν* om. HDi 16 *τὸν* addidi 17 *ἐπ'* om. ODi *ὀλίγων* P 18 *καὶ* (alt.) om. E 19 *οἱ* OE (*αἱ* E[2]) 20 *ἐκ τῶν* EDi, corr. E[2] *βικῶν* E: *βηκῶν* H *καὶ κύστεως* E (*καὶ* del. E[2]) 23 *ἑψέματος* P *γλεύκεος* P: *γλεύκους* QDiE[2]

τοιαῦται ἐπ' ὀλίγον οἰνώδεις, ἄδιψοι δὲ καὶ καυσώδεσι πυρετοῖς χρονίοις χρήσιμοι. τὸ δὲ στέμφυλον αὐτῶν ἀποτεθὲν καταπλάττεται μεθ' ἁλῶν ⟨λεῖον⟩ πρὸς φλεγμονὰς καὶ σκληρίαν καὶ σπάργησιν μαστῶν. τὸ δὲ ἀφέψημα τῶν στεμφύλων δυσεντερικοὺς καὶ κοιλιακοὺς καὶ ῥοικὰς ὠφελεῖ ἐνιέμενον, καὶ εἰς ἐγκαθίσματα καὶ προσκλύσματα λαμβάνεται. τὰ δὲ ἐξ αὐτῶν γίγαρτα στυπτικά, εὐστόμαχα, φρυγέντα δὲ καὶ ἀντὶ ἀλφίτου ἐπιπασσόμενα λεῖα ἁρμόζει δυσεντερικοῖς καὶ κοιλιακοῖς καὶ τοῖς τὸν στόμαχον ἀναλελυμένοις.

τῆς δὲ ἀσταφίδος στυπτικωτέρα ἐστὶν ἡ λευκή. ὠφελεῖ δὲ 3
ἡ σὰρξ αὐτῶν ἐσθιομένη ἀρτηρίαν καὶ βῆχα, καὶ νεφροὺς καὶ κύστιν καὶ δυσεντερίαν σὺν τοῖς γιγάρτοις ἐσθιομένη καθ' ἑαυτήν, μιγεῖσά τε ἀλεύρῳ κεγχρίνῳ καὶ ᾠῷ καὶ τηγανισθεῖσα μετὰ μέλιτος καὶ λαμβανομένη, εἴς τε ἀποφλεγματισμοὺς καθ' ἑαυτὴν καὶ σὺν πεπέρει μασωμένη εὐθετεῖ, διδύμων τε φλεγμονὰς παύει καταπλασθεῖσα μετὰ ἀλεύρου κυαμίνου καὶ κυμίνου. ἐπινυκτίδας δὲ καὶ ἄνθρακας καὶ κηρία καὶ τὰς περὶ ἄρθρα σηπεδόνας καὶ γαγγραίνας χωρὶς ⟨τῶν⟩ γιγάρτων ἰᾶται λεία σὺν πηγάνῳ ἐπιτιθεμένη, πρός τε ποδάγραν ἁρμόζει μετὰ ὀποπάνακος καταπλασσομένη, καὶ ὄνυχας δὲ θᾶττον ἀφίστησι σαλευθέντας ἐπιπλασθεῖσα.

4 οἰνάνθη καλεῖται ὁ τῆς ἀγρίας ἀμπέλου καρπός, ὁπότε ἀνθεῖ. ἀποτίθεσθαι δὲ δεῖ εἰς ἀκώνητον ἀγγεῖον ὀστράκινον

---

10 SIM. Pl. XXIII 15sq. D. eup. II 31 (242) II 102 (303) II 49 (261) I 5 (97 I 141 (165) I 171 (183) I 198 (196) I 172 (183) I 201 (197) I 235 (216)
22 SIM. Pl. XII 132; XXIII 8 (e S. N.); Pall. VII 11.
22 EXC. Orib. XII s. v. (οἰνάνθη — σκιᾷ), cf. Paul. Aeg. VII 3 s. v.

---

1 διψώδεσι καὶ καυσώδεσι H   πυρετοῖς χρονίοις E: χρονίοις πυρετοῖς reliqui   2 στέμφυλλον E (ut semper)   3 καταπλάσσεται E   λεῖον addidi coll. D. eup. I 134 (161), Pl. XXIII 14   σκληρίας QEDi   5 ῥοικὰς ἢ καὶ ῥοικοὺς E   6 πρὸς ἐνκλύσματα λαμβανόμενον E   7 ἀντὶ ἀλφίτου] cf. D. eup. II 47 (258), Pl. XXIII 13   8 ἐπιπλασσόμενα PEDl   fort. ἁρμόζει ἐν ποτῷ
10 ἀσταφίδος EPl: σταφίδος rel.   ἡ λευκὴ καθέστηκεν E   δὲ καὶ Di   11 ἀρτηρίας EDi   βῆχας EDi   12 καθ' ἑαυτὴν om. E   13 τε] δὲ vulgo   post κεγχρίνῳ add. καὶ κριθίνῳ Di, superscr. H²   καὶ (alt.) om. Q   14 καὶ καθ' ἑαυτὴν E   15 τε] δὲ E   16 παύει] ἰᾶται E   καταπλασθεῖσα post κυμίνου colloc. E   καὶ κυμίνου mg. add. E²   17 καὶ ἐπινυκτίδας E   18 τῶν addidi ex E   ἰᾶται om. OE   19 τε om. E   μετὰ τοῦ Q   παπάνακος P: πάνακος E   20 ἐπιπλασσομένη Di
22 num. cap. $\overline{\chi\xi\eta}$ O: $\overline{\chi o}$ Di: $\overline{\delta}$ E   tit. περὶ οἰνάνθης HDi   καὶ ὁ Orib.   23 ἀποτίθεται (om. δεῖ) E   ἀκωνητὸν P: ἀκόνητον E: ἀκόνιτον reliqui

συλλέγοντας καὶ ξηραίνοντας ἐπ' ὀθονίῳ ἐν σκιᾷ· καλλίστη δὲ γίνεται ἐν Συρίᾳ καὶ Κιλικίᾳ καὶ Φοινίκῃ.

δύναμις δὲ αὐτῆς στυπτική, ὅθεν πινομένη εὐστόμαχος καὶ οὐρητική, κοιλίαν ἐφιστᾶσα καὶ αἵματος πτύσιν ξηρὰ καταπλασθεῖσα, καὶ πρὸς ἀσώδη καὶ ἀποξύνοντα στόμαχον ποιεῖ.
2 *ἔστι δὲ καὶ κεφαλαλγίας ἔμβρεγμα σὺν ὄξει καὶ ῥοδίνῳ, χλωρά τε καὶ ξηρὰ κατάπλασμα ἐναίμων ἀφλέγμαντον καὶ ἀρχομένων αἰγιλώπων καὶ τῶν ἐν στόματι οὔλων, καὶ νομῶν τῶν ἐν αἰδοίοις σὺν μέλιτι καὶ κρόκῳ καὶ ῥοδίνῳ καὶ σμύρνῃ λεανθεῖσα, εἴς τε πεσσοὺς μείγνυται πρὸς ἐπίσχεσιν αἵματος, καὶ πρὸς ῥεύματα ὀφθαλμῶν καὶ καυσούμενον στόμαχον καταπλάσσεται σὺν πάλῃ ἀλφίτου καὶ οἴνῳ. καεῖσα δὲ ἐπ' ὀστράκου ἐπὶ διαπύροις ἄνθραξι ποιεῖ πρὸς τὰ ὀφθαλμικά, παρωνυχίας τε καὶ πτερύγια καὶ οὖλα ἀφεστῶτα καὶ αἱμασσόμενα σὺν μέλιτι θεραπεύει.*

5 *ὀμφάκιον· ἔστι μὲν χυλὸς ὄμφακος ψιθίας σταφυλῆς μήπω περκαζούσης ἢ Ἀμινναίας. δεῖ δὲ πρὸ κυνὸς ἐκθλίβοντας τὸν χυλὸν ἡλιάζειν ἐν χαλκώματι ἐρυθρῷ ἐσκεπασμένῳ ὀθονίῳ, μέχρι οὗ συστραφῇ ὅλον, ἀεὶ τὸ περιπηγνύμενον μίσγοντας τῷ ὑγρῷ, νύκτωρ δὲ αἴρειν αὐτὸ ἀπὸ τοῦ ὑπαιθρίου· κωλύουσι*

---

3 SIM. Pl. XXIII 8 sq., cf. Zop. (Orib. II 587); D. eup. II 48 (260) II 29 (239) I 2 (95) I 54 (118).
16 SIM. Pl. XII 130; XIV 98; XXIII 7 (e S. N.).
16 EXC. Orib. XII s. v. (*ὀμφάκιον — συστρέφουσιν*); cf. Paul. Aeg. VII 3 s. v.

---

1 *συλλεγόμενον καὶ ξηραινόμενον* E *ἐπ' ὀθονίου* Orib. E 2 *γεννᾶται* E *ἐν κιλικία καὶ συρία* E 3 *αὐτῆς ἐστιν* E 4 *ἐφιστῶσα* QDi: *ἐφίστησιν* E *ξηρὰ δὲ* QEDi, at cf. D. eup. II 29 (239) *οἰνάνθη ξηρά* (sc. *αἵματος ἀναγωγὴν θεραπεύει*) *καταπλασσομένη* E 5 *ἀσώδεις καὶ ἀποξύνοντας στομάχους* E: *ἀσώδης καὶ ὀξύνοντας στόμαχον* P fort. *ἀσώδη δὲ ὀξύνοντα* QDi: correxi ex E coll. D. eup. II 9 (230, 13) 6 *κεφαλαλγίαις* HDi 7 *χλωρά τε καὶ ξηρὰ* cum praecedentibus coniunxit et *τε* post *κατάπλασμα* addidit EDi, at cf. Dl *sicca et viridis in cataplasma adibitus vulnera recentia sine tumore servat* 8 *οὔλων*] *ἑλκῶν* Samb. 9 *καὶ ῥοδίνῳ* om. E 11 *πρὸς* om. QDi 12 *παιπάλῃ* HDi *σὺν οἴνῳ* E *καὶ εισα* P: *καυθεῖσα* Di *ἐπ' ὀστράκῳ* E: om. L (spat. relicto) 13 *ἐπὶ* om. EDi

16 num. cap. *χξθ* O: *χοα* Di: *ε* E tit. *περὶ ὀμφακίου* HDi *δ' ἐστιν* E *ψιθίας* E (mg. cum ÷ add. *θασίας* E[2]): *θασίας* reliqui, at cf. Pl. XII 131 *e vite psithia fit aut aminnea* 17 *ἀμι(η P)ναίας* ODi *ἐκθλίβοντα* ODi 18 *ρῷ ἐσκεπασμένῳ ὀθ* om. PL. (aberravit librarius) *ἐρυθροῦ χαλκοῦ* Orib. 19 *μέχρι οὗ* Orib.: *μέχρις οὗ* QDi: *μέχρι* (*οὗ* om. ante *συ*) P: *ἄχρι* E *μίσγων* QDi: *σμίγοντας* L: *μιγνῦντας* Orib.: *μιγνύντες* E 20 *δὲ*] *μέντοι* Orib. E *αἰθρίου* Orib. E

γὰρ αἱ δρόσοι τὴν σύστασιν αὐτοῦ. ἐκλέγου δὲ τὸ ξανθὸν καὶ εὔθρυπτον, στῦφον ἱκανῶς καὶ δάκνον τὴν γλῶσσαν. ἔνιοι δὲ ἕψοντες τὸν χυλὸν συστρέφουσιν.

2 ἁρμόζει δὲ πρὸς παρίσθμια καὶ σταφυλήν, ἄφθας, οὖλα πλαδαρά, ὦτα πυορροοῦντα σὺν μέλιτι ἢ γλυκεῖ, πρὸς δὲ σύριγγας καὶ παλαιὰ ἕλκη καὶ νομὰς σὺν ὄξει. ἐγκλύζεται δὲ καὶ ἐπὶ δυσεντερικῶν καὶ ῥοικῶν· ἔστι δὲ καὶ ὀξυδερκές, καὶ τραχύτησιν ὀφθαλμῶν ἁρμόζον καὶ περιβρώσεσι κανθῶν. πίνεται δὲ καὶ πρὸς αἵματος πτύσιν τὴν πρόσφατον καὶ κατὰ ῥῆξιν γινομένην. ὑδαρεῖ δὲ δεῖ χρῆσθαι λίαν καὶ ὀλίγῳ· καίει γὰρ ἱκανῶς.

6 οἶνοι· οἱ μὲν παλαιοὶ βλαπτικοὶ νεύρων καὶ τῶν λοιπῶν αἰσθητηρίων, πρὸς δὲ γεῦσιν ἡδίονες, ὅθεν ἐπὶ τῶν ἀσθενές τι μέρος ἐχόντων παραιτητέοι, ἐπὶ μέντοι τῆς ἐν ὑγιείᾳ χρήσεως ὀλίγος τε καὶ ὑδαρὴς λαμβάνεται ἀβλαβῶς. ὁ δὲ νέος ἐμπνευματωτικός, δύσπεπτος, δυσόνειρος, οὐρητικός. ὁ δὲ μέσος τῇ ἡλικίᾳ ἐκπέφευγε τὰ ἀμφοτέρων ἐλαττώματα, ὅθεν ἐγκριτέος ἐστὶν ἔν τῇ τε ὑγιείας καὶ ἀσθενείας χρήσει.

2 ἔτι ὁ μὲν λευκὸς λεπτός τε καὶ εὐανάδοτος καὶ εὐστόμαχος ὑπάρχει· ὁ δὲ μέλας παχὺς καὶ δύσπεπτος, μέθης καὶ σαρκῶν γεννητικός· ὁ δὲ κιρρός, μέσος ὤν, μέσην ἔχει καὶ τὴν πρὸς

4 SIM. Pl. l. s. D. eup. I 86 (137) — D. eup. I 82 (135) — Pl. l. s. eup. I 60 (123) — D. eup. I 207 (201) — Pl. l. s. — 8 Pl l. s. eup. I 41 (112) — eup. I 46 (114) Pl. l. s. — 9 Pl. l. s.

12 SIM. [Hipp.] π. δ. II 52 (VI 554); π. δ. δξ. 50 sq. (134 sq. K.); Pl. XIV 53 sq. XXIII 31 sq.; Ath. I 26 a sq. 32 c sq.; Ruf. (Orib. I 354. Ruf. ed. R. 548, cf. Orib. V 584 D.); Gal. (Orib. I 338); Gal. VI 743. 800 (K.); Aet. I s. v. Paul. Aeg. I 95 (ex Orib. V 584); Sim. S. s. v. (75 L. ex Ruf. et Gal.).

1 αὐτοῦ om. Orib. 2 εὐθρυβές Orib.: ἐρυθρὸν καὶ εὐθρυβές E 5 ἢ om. Q: *melle aut passo* Pl. 7 καὶ (pr.) om. QEDi καὶ (quart.) om. Di 8 τραχύτησι δὲ Di ἁρμόζει QDi 9 δὲ om. EDi πτύσεις τὰς προσφάτους E 10 γενομένην HDi: γιγνομένας E δεῖ om. Q ἐπικαίει HDi post ἱκανῶς mg. (cum ὅ) add. ἐν ἄλλῳ· δυνάμει δὲ στυπτικόν (. . ός H), ἁρμόζον τοῖς βραδέως πέττουσι καὶ λελυμένοις στομάχοις καὶ ταῖς κισσώσαις γυναιξὶ καὶ εἰλεώδεσι. δοκεῖ δὲ βοηθεῖν καὶ ταῖς λοιμικαῖς καταστάσεσι ῥοφσύμενον (. . ος H) H (in text. rec.) Di, praet. H add. χρήζουσι δὲ οἱ τοιοῦτοι οἶνοι ἐτῶν πολλῶν· ἄλλως γὰρ οὐκ εἰσὶ πότιμοι (= D. V 6 p. 10, 15)

12 num. cap. χο̅ O: χοβ̅ Di: ϟ̅ E tit. περὶ οἴνων HDi οἴνων δὲ E νεύρων βλαπτικοὶ QDi 14 post ἐχόντων add. ἔνδον Di, superscr. H² παραιτητέον QEDi ὑγείᾳ QE 16 πνευματοτικός E 17 τὴν ἡλικίαν LE ἀμφότερα QDi 18 ἐκκριτέος QDi τῇ om. PEDi τε om. Q ὑγείας QDi: ὑγιεία καὶ ἐν ταῖς ἐν ἀσθενείαις χρήσεσιν E χρήσεσιν Di 19 ἔτι δὲ Q λευκότατος E

ἑκάτερον τούτων δύναμιν. αἱρετώτερος μέντοι ἔν τε ὑγιείᾳ καὶ ἀσθενείᾳ ὁ λευκός.

ἔτι καὶ παρὰ τὴν ποιότητα διαφέρουσιν· ὁ μὲν γὰρ γλυκὺς οἶνος ἁδρομερής τέ ἐστι καὶ δυσδιάπνευστος, στομάχου πνευματωτικός, κοιλίας τε καὶ ἐντέρων ταρακτικὸς ὥσπερ καὶ τὸ γλεῦκος, ἧττον δὲ μεθύσκει, κύστει δὲ καὶ νεφροῖς εὔθετος.
3 ὁ δὲ αὐστηρὸς οὐρητικώτερος, κεφαλαλγίας τε καὶ μέθης ποιητικός. ὁ δὲ στρυφνὸς εὐθετώτατος πρὸς ἀνάδοσιν σιτίων, κοιλίας τε στατικὸς καὶ τῶν ἄλλων ῥευματισμῶν. ὁ δὲ ἁπαλὸς ἧττον ἅπτεται τοῦ νευρώδους, ἧττον δ' ἐστὶν οὐρητικός. ὁ δὲ τεθαλασσωμένος κακοστόμαχος, διψοποιός, νεύρων κακωτικός, εὐκοίλιος, ἀνεπιτήδειος τοῖς ἐξ ἀσθενείας ⟨ἀναλαμβάνουσι χρονίας⟩.

4 ὁ δὲ ἐκ τῆς θειλοπεδευθείσης σταφυλῆς ἢ ἐπὶ τῶν κλημάτων ὀπτηθείσης καὶ τριβομένης γινόμενος γλυκύς, καλούμενος δὲ Κρητικὸς ἢ πρότροπος ἢ Πράμνειος, ἢ καθεψομένου τοῦ γλεύκους σίραιος ἢ ἕψημα καλούμενος· ὁ μὲν μέλας, καλούμενος δὲ μελαμψίθιος, παχύς ἐστι καὶ πολύτροφος, ὁ δὲ λευκὸς λεπτότερος, ὁ δὲ μέσος μέσην ἔχει καὶ τὴν δύναμιν. στυπτικὸς δὲ πᾶς ἐστι, σφυγμῶν ἀνακλητικός, ποιῶν πρὸς πάντα τὰ θανάσιμα, ὅσα κατὰ ἕλκωσιν ἀναιρεῖ, πινόμενος σὺν ἐλαίῳ καὶ ἐξεμούμενος, καὶ πρὸς μηκώνιον δὲ καὶ φαρικὸν καὶ τοξι-

---

10 SIM. Pl. XIV 126; XXIII 46. Ath. I 32 d.
14 SIM. Pl. XIV 85.
17 SIM. Pl. XIV 80. XXIII 29. 62.

---

1 ἑκάτερα QDi ὑγείᾳ HE 2 ταῖς ἀσθενίαις E 3 ἔτι τε Q παρὰ] πρὸς Spr. 7 οὐρητικώτερος μὲν E post οὐρητικ. add. καὶ FE κεφαλαλγὴς E τε om. PFE 9 στατικὸς OE: σταλτικὸς Di 10 ἧττον δὲ] μετρίως E: καὶ ἧττον Di δὲ (pr.)] τε H 11 τεθαλαττωμένος E 12 ἀναλαμβάνουσι χρονίας addidi coll. p. 11, 2 14 θειλοπαιδευθείσης P: θηλοπαιδευθείσης Q (corr. H²) 15 ὀπτηθείσης om. L (spat. rel.) καὶ] ἢ E τριβόμενος E γινόμενος Di: om. reliqui δὲ om. Di 16 ad πρότροπος cf. Orib. I 595 D., Poll. VI 17 πράμνιος E, ad rem cf. Pl. XIV 54. Ath. I 30 b. Poll. VI 82 post πράμνειος add. ἢ μελάμψινθος· ἢ μελάνθιος /////// (c. 11 litt. del. E²)E ἢ (tert.) om. E 17 σίρεος P: σείραιον (ν in ras.) E²: siraeum Pl., cf. Poll. VI 16, Orib I 356 ad ἕψημα cf. Orib. I 567 D. καλούμεν /// (2 litt. del.) μέλαν (ν in ras.) τε καὶ παχὺν (ν in ras.) καὶ γλυκύν (ν in ras.) ἐστιν καὶ πολύτροφον (ν in ras.) E² 18 μελανψίθιος Q: μελαψίθιος P (7, 4 μελαμψίθιος PF): melampsithium Pl. 20 ἀνακτητικὸς ἢ ἀνακλητικός E (ἀνακτητικὸς ἢ del. E²): ἀνακτητικὸς (ut videtur) reliqui, at cf. p. 7, 13 τὰ om. L 21 καθ' E 22 καὶ φαρικὸν om. E (at post τοξ. καὶ c. 8 litt. del. E²)

κὸν καὶ κώνειον καὶ γάλα θρομβωθέν, καὶ πρὸς κύστιν καὶ νεφροὺς ὀδαξουμένους καὶ εἱλκωμένους. εἰσὶ δὲ πνευματικώ- 5 τατοι καὶ κακοστόμαχοι· ἰδίως δὲ ἐπὶ τῶν τὴν κοιλίαν ῥευματιζομένων ἁρμόζει ὁ μελαμψίθιος, ὁ δὲ λευκὸς μαλακτικώτερος κοιλίας τῶν λοιπῶν μᾶλλον. ὁ δὲ τὴν γύψον ἔχων κακωτικὸς τοῦ νευρώδους, καρηβαρικός, πυρώδης, κύστει ἄθετος, πρὸς δὲ τὰ θανάσιμα τῶν ἄλλων εὐθετώτερος. οἱ δὲ πίτταν ἢ ῥητίνην πιτυίνην ἔχοντες θερμαντικοὶ καὶ πεπτικοί, ἄθετοι δὲ τοῖς ἐμετικοῖς. οἱ δὲ καλούμενοι ἀπαράχυτοι, ἔχοντες δὲ ἕψημα μεμειγμένον, κεφαλῆς εἰσι πληκτικοὶ καὶ πυρωτικοί, μέθης γεννητικοί, φυσώδεις, δυσδιάπνευστοι, κακοστόμαχοι.

ὁ μὲν οὖν δοκῶν πρωτεύειν τῶν ἐν Ἰταλίᾳ οἴνων, Φαλερῖ- 6
νος δὲ καλούμενος, παλαιωθεὶς ἄγαν εὔπεπτος, σφυγμῶν ἀνακλητικός, κοιλίας στεγνωτικὸς καὶ εὐστόμαχος, κύστει ἄθετος καὶ ἀμβλυωπός, πρὸς δὲ πολυποσίαν ἀνάρμοστος. ὁ δ᾽ Ἀλβανὸς ἁδρομερέστερος τοῦ Φαλερίνου, ἔγγλυκυς, ἐμπνευματῶν στόμαχον, κοιλίαν τε μαλάττων, πέψει τε οὐχ ὁμοίως συνεργῶν, τοῦ δὲ νευρώδους ἧττον κακωτικός· παλαιωθεὶς δὲ καὶ οὗτος αὐστηρὸς γίνεται. ὁ δὲ Καίκουβος, γλυκὺς ὤν, ἁδρομερέ- 7
στερός ἐστι τοῦ Ἀλβανοῦ, σαρκῶν τε καὶ εὐχροίας γεννητικός, πέψει δὲ ἄθετος· ὁ δὲ Συρεντῖνος αὐστηρὸς ἱκανῶς ἐστιν,

---

5 SIM. Pl. XIV 120; XXIII 45
7 SIM. Pl. XXIII 46. 47.
12 SIM. Pl. XIV 60 sq.; XXIII 33 sq.; Ath. I 26 c, 33 a; Gal. VI 800; XIV 15 sq. Cael. Aur. A. M. II 37.

---

1 ἐνθρομβωθὲν E 2 ὀδαξωμένους E (ου superscr. E²) ἑλκωθέντας E: ἡλκωμένους QDi πνευματωτικοὶ E: πνευματικοὶ Di 3 καὶ om. PF 4 μελαμψίνθιος ἢ///// (c. 8 litt. del. ἢ μελάνθιος? E²)E 4 μαλακτικώτερος E: μαλακτικὸς reliqui 5 ἄλλων QDi 6 νεύρους Di 7 ἢ add. E² 8 πιτυίνην om. E 9 ἐμετικοῖς E: αἱμοπτυ(vel ο)ικοῖς reliqui, at cf. Pl. *non expedire vomitionibus*: Dl *vomitibus et emptoicis contrarius est* παράχυτοι libri: *vinu aparacytu* Dl, cf. Gal. XIII 721 τὸν ἀπαράχυτον οἶνον, τουτέστιν ᾧ μὴ μέμικται θάλαττα, Pl. XIV 84 (ubi corrige *adiachyton*) ἔψεμα P 10 καὶ κεφαλῆς E εἰσι om. E πληκτικοὶ καὶ πυρωτικοί EDl: πληρωτικοί O 11 φυσώδεις om. H 12 οἴνων om. Di φαλερίνος PFDi: φαλλερίνος H: φαλερινός E (φαλερῖνος corr. E²) 13 εὔποτος Di 14 καὶ om. E 15 ἀμβλυωπίᾳ L (chart. laes. P): ἀμβλυω (π′ superscr.) F: ἀμβλυωπίαις H: ἀμβλυωπής E: ἀμβλυωποῦσι Di: corr. coll. Pl.: *creditum est obscuritatem visus facere* καὶ πρὸς Di τε E: δὲ reliqui ἀνάρμοστος] ἄθετος E 16 ἔνγλυκυς E post ἔγγλυκυς add. καὶ Q ἐμπνευματῶν QE: πνευματῶν P 17 μαλάττει PF 19 κεκοῦβος Q: καικυβός E (καίκυβος corr. E²): κίκκυβος Di 20 ἐστι—εὐχροίας om. mg. add. E² 21 πέψει—Συρεντῖνο om. L συρεντῖνος] σουρεντινὸς E

ὅθεν ἐντέρων καὶ στομάχου ῥεῦμα ἵστησι, κεφαλῆς τε ἧττον
ἅπτεται, λεπτομερὴς ὤν· παλαιωθεὶς δὲ εὐστομαχώτερος καὶ
ἡδίων γίνεται. ὁ δὲ Ἀδριανὸς καὶ ὁ Μαμερτῖνος, γεννώ-
μενος δὲ ἐν Σικελίᾳ, κατ' ἴσον εἰσὶν ἁδρομερεῖς, μετρίως
στύφοντες, καὶ τάχιον παλαιοῦνται, ἧττον δὲ τοῦ νευρώδους
8 ἅπτονται διὰ τὸ ἐν αὐτοῖς λεῖον. ὁ δὲ Πραιτυτιανός, καὶ
αὐτὸς ἐκ τῶν κατ' Ἀδρίαν κομιζόμενος τόπων, εὐώδης καὶ
λειότερός ἐστιν, ὅθεν λανθάνει ⟨μὲν⟩ πολὺς πινόμενος, φυλάτ-
τει δὲ ἐφ' ἱκανὸν τὴν μέθην. καὶ ὁ Ἰστρικὸς δὲ λεγόμενος
ἔοικε τῷ Πραιτυτιανῷ, οὐρητικώτερος ὑπάρχων. ὁ μέντοι
Χῖος, ⟨Ἀριούσιος δὲ καλούμενος⟩, ἁπαλώτερος τῶν προειρη-
μένων, εὔποτος, τρόφιμος, ἧττον μεθύσκων, ῥεύματος σταλτι-
9 κός, χρήσιμος εἰς τὰ ὀφθαλμικά. ὁ δὲ Λέσβιος εὐανάδοτος,
κουφότερός ⟨τε⟩ τοῦ Χίου καὶ εὐκοίλιος. τὴν αὐτὴν δὲ τούτῳ
κέκτηται δύναμιν ὁ κατὰ Ἔφεσον γεννώμενος, καλούμενος δὲ
Φυγελίτης. ὁ δὲ ἐκ τῆς Ἀσίας Μεσωγίτης ἐκ τοῦ Τμώλου
κεφαλαλγὴς καὶ νεύρων βλαπτικός. ὁ δὲ Κῷος καὶ Κλαζο-
μένιος διὰ τὸ θαλάττης πολλῆς μετέχειν εὔφθαρτοι καὶ πνευ-
ματώδεις, κοιλίας τε ταρακτικοί, καὶ νεύρων δέ εἰσι βλαπτικοί.
10 κοινὴ δύναμις οἴνου. κοινῶς δὲ πᾶς ἀμιγὴς οἶνος
καὶ ἀκέραιος, αὐστηρὸς δὲ τὴν φύσιν, θερμαντικός, εὐανάδοτος,
εὐστόμαχος, ὀρεκτικός, θρεπτικός, ὑπνοποιός, ῥωστικός, εὐ-
χροίας παρασκευαστικός. ἱκανῶς δὲ ποθεὶς βοηθεῖ τοῖς
κώνειον ἢ κόριον ἢ ἰξίαν ἢ φαρικὸν ἢ μηκώνιον ἢ λιθάργυρον

20 SIM. Pl. XXIII 38 sq. Herod. (Orib. I 406).

1 *ἑντέρου* P *τε*] *δὲ* Spr. *ἥκιστα* E] 2 *εὐστομαχότερος* E: *εὐστόμαχος* reliqui 3 *μαμερτινὸς* Q *γεννόμενοι* P 4 *δὲ* om. Di 5 *ταχέως* E *δὲ*] *τε* DiE (corr. E^2) 6 *λεπτόν* EDi *πρεπυτιανὸς* P: *πρεπιτυανὸς* Q: *πρϊετετϊανὸς* E: *παραιτυπιανὸς* Di: correxi 7 *κατὰ τὸν* E 8 *λεπτότερος* Di *ὅθεν*] *οὐ δὲ* Q *μὲν* addidi 9 *δὲ* (pr.)] *τε* EHDi *μέθην καὶ καροῖ· ὁ δὲ* Di 10 *τῷ* om. P *πραιπυντιανῶν* (marg. cum ÷ *ἢ τῶ πρεσεντιανῶ* add.) E: *τρεπυτιανῷ* P 11 *Ἀριούσιος δὲ καλούμενος* addidi: *χεῖος ἀριούσιος* E: *vinu ciu et salutiu* Dl., cf. Pl. XIV 73 12 *εὔτροφος πότιμος* Di *ῥευμάτων στεγνωτικός* E *στατικὸς* O 13 *χρήσιμος δὲ καὶ* E 14 *τε* addidi ex E 15 *ὁ* del. E^2 *κατ' Ἔφεσον* E 16 *μεσογείτης* libri: correxi *δ' ἐκ* E 17 *ὁ δὲ — βλαπτικοί* om. Di 18 *εὔφθαρτος καὶ πνευματώδης κτλ.* Q *πνευματωτικοὶ* E 19 *εἰσι*] *ἧττον* E, at cf. Dl *nervis contraria sunt* 20 *κοινὴ—οἴνου* mg. add. P, om. reliqui *πᾶς ὁ* E *οἶνος* post *ἀκέραιος* coll. E 22 *ὀρεκτικός* om. E 23 *τοῖς πεπωκόσιν* E 24 *κώνειον ἢ ἰξίαν ἢ φαρικὸν ἢ σμίλακα ἢ ἀκόνιτον ἢ μύκητας* L *ἢ φαρικὸν ἢ ἰξίαν* QDi post *ἰξίαν* add. *ἢ τοξικὸν* E *ἢ μηκώνιον* om. Di

ἢ σμίλακα ἢ ἀκόνιτον ἢ μύκητας εἰληφόσι, πρός τε ἑρπετῶν δηγμοὺς καὶ πληγὰς πάντων, ὅσα πλήξαντα ἢ δακόντα κατὰ ψῦξιν ἀναιρεῖ ἢ ἀνατρέπει τὸν στόμαχον· ποιεῖ καὶ πρὸς ἐμπνευμάτωσιν χρόνιον καὶ δῆξιν ὑποχονδρίου καὶ πλατυσμὸν καὶ ἀνάλυσιν στομάχου ἢ ἐντέρων καὶ κοιλίας ῥευματισμόν, καὶ ἀφιδροῦσι καὶ διαφορουμένοις ἁρμόζουσι, μάλιστα δὲ οἱ λευκοὶ καὶ παλαιοὶ καὶ εὐώδεις. οἱ μέντοι παλαιοὶ καὶ γλυκεῖς πρὸς 11 τὰ περὶ κύστιν καὶ νεφροὺς ἐπιτηδειότεροι, πρός τε τραύματα καὶ φλεγμονὰς σὺν ἐρίοις οἰσυπηροῖς ἐπιτιθέμενοι, ⟨καὶ⟩ καταντλοῦνται δὲ ὠφελίμως πρὸς τὰ θηριώδη καὶ φαγεδαινικὰ καὶ ῥευματιζόμενα ἕλκη. πρὸς δὲ τὴν ἐν ὑγιείᾳ χρῆσιν εὔθετοι οἱ ἀθάλασσοι, αὐστηροὶ καὶ λευκοί· διαφέρουσι δὲ τούτων οἱ Ἰταλικοί, ὡς ὁ Φαλερῖνος Συρεντῖνος Καίκουβος Σιγνῖνος καὶ ἄλλοι πολλοὶ οἱ ἀπὸ τῆς Καμπανίας καὶ ὁ Πραιτυτιανὸς ⟨ὁ⟩ ἀπὸ τοῦ Ἀδρία καὶ ⟨ὁ⟩ Σικελιωτικὸς ὁ Μαμερτῖνος καλούμενος, Ἑλληνικῶν δὲ ⟨ὁ⟩ Χῖος Λέσβιος Φυγελίτης ὁ ἐν Ἐφέσῳ γεννώμενος. οἱ δὲ παχεῖς καὶ μέλανες κακοστόμαχοι, φυσώδεις, 12 σαρκὸς μέντοι γεννητικοί. οἱ μέντοι λεπτοὶ καὶ αὐστηροὶ εὐστόμαχοι, ἧττον δὲ σαρκοποιοί, οὐρητικώτεροι δὲ καὶ κεφαλαλγεῖς οἱ σφόδρα παλαιοὶ καὶ λευκοὶ [καὶ λεπτοί]· ἅπτονται δὲ τοῦ νευρώδους πλεονασθέντες· οἱ μέσοι δὲ τὴν ἡλικίαν ἄριστοι πρὸς πόσιν ὡς οἱ ἀπὸ ἑπτὰ ἐτῶν. ἡ δὲ ποσότης παρά ⟨τε⟩ τὴν ἡλικίαν καὶ τὴν τοῦ ἔτους ὥραν καὶ ἔθη καὶ ποιότητα τοῦ οἴνου ὁριζέσθω· καὶ τὸ μὴ διψῆν δὲ ἄριστόν ἐστι παράγγελμα καὶ τὸ μετρίως βραχῆναι τὴν τροφήν. μέθη 13 δὲ πᾶσα, καὶ μάλιστα ἡ συνεχής, ἐπιβλαβής· τά τε γὰρ νεῦρα πολιορκούμενα καθ᾽ ἑκάστην ἡμέραν ἐνδίδωσι, καὶ παθῶν

1 *εἰληφόσι* mg. add. E[2] 2 *δηγμοὺς καὶ πληγὰς πάντων* om. mg. (cum ÷) add. P. 3 *τὸν* om. HEDi 4 *χρονίαν* QEDi *ὑποχονδρίων* E post *καὶ* (alt.) c. 20 litt. del. *πλάδον καὶ ἄσης* ras. ins. E[2] 5 *ἀνάλυσιν*] *λύγγα* Di, superscr. H[2] *ἢ*] *καὶ* E: om. Di *καὶ* (alt.)] *τε καὶ* Di 6 *ἐφιδροῦσι* EDi *ἁρμόζουσιν δὲ μάλιστα* E *δὲ* om. Di 7 *οἱ μέντοι παλαιοὶ* om. Di *καὶ πρὸς* Di 9 *καὶ* addidi 10 *δὲ*] *τε* E 11 *τε ἕλκη* E *ὑγείᾳ* QDi 12 *ἀθάλαττοι* E *αὐστηρὸν* P *τούτοις* P 13 post *Φαλερῖνος* add. *καὶ* E *σερεντῖνος* Q: *σουρεντινὸς* E *καικιβὸς ὅ τε σιγνῖνος* om. mg. add. E *κεκουβος* P: *καὶ κίκυβος* Di *σιγνινος* PE: *σιγνηνὸς* Q: *ὅ τε σητανὸς* Di 14 *οἱ* om. E *πρεπυτιανος* P: *πρεπιτυανὸς* Q: *πρεπυντιανὸς* E: *παραιτυπιανὸς* Di *ὁ* addidi ex E 15 post *ἀδρία* 3 litt. del. E[2] *ὁ* add. ex E *ὁ καὶ* Di 16 *ὁ* addidi *φαγελίτης* P: *φυτελείτης* E 19 *σαρκωτικοί* L 20 *καὶ λεπτοὶ* post *παλαιοὶ* coll. E: del. Spr., cf. Dl *maxime albu et vetere* 21 *δὲ* (pr.)] *γὰρ* E *πλεονασθέντες τοῦ νευρώδους* E 22 *ζ'* QDi 23 *τε* addidi ex E 24 *ὁριζέσθω τοῦ οἴνου* Q 25 *παράγγελμά ἐστι* Q *παράγγελμα,* (superscr. *παράπηγμα*) Di 27 *καθ᾽ ἑκάστην ἡμέραν πολιορκούμενα* Q

ὀξέων ἀρχὰς ἐμποιεῖ ἡ καθημερινὴ πολυποσία· μετρίως δὲ οἰνοῦσθαι διά τινων ἡμερῶν, καὶ μάλιστα ἀπὸ ὑδροποσίας, ὠφέλιμον· μετασυγκρίνει γάρ πως, τάς τε αἰσθητὰς ἀνακαθαῖρον ἐκκρίσεις καὶ ἀδήλως ποροποιοῦν. δεῖ μέντοι καὶ μετὰ τὴν οἴνωσιν ὕδωρ πίνειν· ἀποθεραπείας γάρ τινα τῇ συγκρίσει τρόπον ἐπάγει.

14 *ὀμφακίτης. ὁ δὲ καλούμενος ὀμφακίτης σκευάζεται ἰδίως ἐν Λέσβῳ, θειλοπεδευομένης μήπω κατὰ πάντα πεπείρου τῆς σταφυλῆς οὔσης, ἔτι δὲ ὀξιζούσης, ἐπὶ ἡμέρας γ' ἢ δ', ἕως ἂν ῥυσωθῶσιν οἱ βότρυες, καὶ μετὰ τὸ ἐκθλιβῆναι ἡλιάζεται ἐν κεραμεοῖς ὁ οἶνος.*

στυπτικὴν δὲ ἔχει τὴν δύναμιν καὶ εὐστόμαχον, ἁρμόζουσαν τοῖς δυσπεπτοῦσι καὶ ἐκλελυμένοις τὸν στόμαχον καὶ κισσώδεσι καὶ εἰλεώδεσι· δοκεῖ δὲ καὶ λοιμικαῖς διαθέσεσι βο-
15 *ηθεῖν καταρροφούμενος. χρῄζουσι δὲ οἱ τοιοῦτοι οἶνοι ἐτῶν πλειόνων· ἄλλως γὰρ οὔκ εἰσι πότιμοι.*

δευτερίας. ὁ δὲ καλούμενος δευτερίας, ὃν ἔνιοι πότιμον καλοῦσι, σκευάζεται τὸν τρόπον τοῦτον· εἰς τὰ στέμφυλα, ὧν ἐξέθλιψας οἴνου μετρητὰς τριάκοντα, βάλε ὕδατος μετρητὰς γ', καὶ μείξας καὶ πατήσας ἔκθλιψον καὶ ἀφέψησον εἰς τὸ τρίτον. χοεῖ δὲ ἑκάστῳ τῶν ὑπολειφθέντων μετρητῶν μεῖξον ἁλὸς ξέστας β', καὶ μετὰ τὸν χειμῶνα διάχει εἰς κεράμια. χρῶ
16 *δὲ αὐτῷ μετ' ἐνιαυτόν· ταχέως γὰρ ἐξίτηλος γίνεται. ἁρμόζει*

7 EXC. Orib. V 25 (I 402 D.) s. v. (*ὁ δὲ—πλειόνων*); Geop. VIII 11.

17 SIM. Pl. XIV 86; Col. XII 40; Geop. VI 13, cf. Gal. VI 580. Ruf. (Orib. I 359 D.)

21 TEST. Ruf. (Orib. l. s.) *Διοσκουρίδης δὲ καὶ ἁλῶν εἰς τὸν μετρητὴν ἐμβάλλει ξέστας β̄ καὶ μετὰ τὸν χειμῶνα ἐγχεῖ εἰς κεράμιον, χρῆσθαί τε αὐτῷ συμβουλεύει μετὰ ἐνιαυτόν, διότι ταχέως ἐξίτηλος γίνεται.*

1 *ἡ καθημερινὴ* E: *καθ' ἡμέραν ἡ* reliqui 2 *διὰ*] *ἐπὶ* QDi *ἀπὸ*] *ἐπὶ* QDi 3 *αἰσθήσεις καὶ τὰς αἰσθητὰς* E 4 *καὶ* (alt.)] *γε* Di 5 *ἀπὸ θεραπείας* vulgo *τινα* PE: *τινος* reliqui *τῇ συνκρίσει* (*κρι* in ras.) E²: *τῆς συγκινήσεως* O: *τῆς συγκειμένης οἰνώσεως* Di, superscr. H² 6 post *ἐπάγει* add. *βοηθείας* Di, superscr. *θεραπείας* H² 7 nov. cap. inc. E Dl. mg. add. *ὀμφακίτης* P: om. reliqui 8 *θηλοπαιδευομένης* Q: *θηλοπεδευόμενος* E post *θειλ.* colloc. *τῆς σταφυλῆς* Orib. *πᾶν* Orib. E (in ras.) 9 *οὔσης*] *τυγχανούσης* Orib. *ὀμφακιζούσης* Orib.: *ὀξηζούσης* P *ἐφ'* E 10 *μετὰ δὲ* (om. *καὶ*) Orib. 11 *κεραμίοις* Orib. E: *κεραμείοις* Q 12 *ἁρμόζων* E 13 *δυσπέπταις* Q: *βραδυπεπτοῦσιν* E *λελυμένοις* PE (*ἐκ* add. E²) *τὸν* om. E *στομάχοις* E *κισσώσ///* E² 14 *διαθέσεσι*] *καταστάσεσι* Orib. E 17 *δευτερίας* mg. add. P *πότιον* Di 18 *τοῦτον τὸν τρόπον* Q 19 λ̄ QDi 20 *τρεῖς* E 21 *χοῖ* EDi 22 *μετάχει* Spr.: *ἐγχεῖ* Ruf. 23 *μετ' ἐνιαυτόν* libri, Ruf.: *πρὸς ἐνιαυτόν* Marc.

δὲ ἐφ' ὧν διστάζομεν οἶνον διδόναι, ἀναγκαζόμενοι δι' ἐπιθυμίαν τοῦ νοσοῦντος, καὶ ἐπὶ τῶν ἐκ νόσου ἀναλαμβανόντων χρονίας.

ἀδύναμος. γίνεται δὲ καὶ ⟨ὁ⟩ ἀδύναμος λεγόμενος, τὴν αὐτὴν ἔχων τῷ δευτερίᾳ δύναμιν. δεῖ δὲ ἴσον μέτρον ὕδατος τῷ τοῦ γλεύκους μείξαντας ἑψῆσαι πραέως πυρὶ μαλακῷ, ἄχρι ἂν ἐξαναλωθῇ τὸ ὕδωρ, καὶ μετὰ τοῦτο ψύξαντας καταγγίζειν εἰς ἀγγεῖον πεπισσωμένον. ἔνιοι δὲ θαλάττης πελαγίας καὶ 17
ὕδατος ὀμβρίου καὶ μέλιτος καὶ γλεύκους ἴσα μείξαντες καὶ καταγγίσαντες ἡλιάζουσιν ἐπὶ ἡμέρας τεσσαράκοντα· χρῶνται δ' αὐτῷ πρὸς τὰ αὐτὰ μετ' ἐνιαυτόν.

ἀγριοσταφυλίτης· ὁ δὲ ἐκ τῆς ἀγρίας σταφυλῆς μέλας στυπτικὸς ὑπάρχων, ἁρμόζει κοιλίᾳ ῥευματιζομένῃ καὶ στομάχῳ, καὶ πρὸς τὰ ἄλλα, ὅσα στύψεως καὶ συστολῆς χρῄζει.

7 ὁ δὲ καλούμενος μελιτίτης οἶνος δίδοται μὲν ἐν χρονίοις πυρετοῖς τοῖς ἀσθενῆ ⟨τὸν⟩ στόμαχον ἔχουσιν· ὑπομαλάττει γὰρ τὴν κοιλίαν, οὖρα κινεῖ, στόμαχον ἀποκαθαίρει, ἁρμόζει καὶ ἀρθριτικοῖς καὶ νεφριτικοῖς καὶ τοῖς ἀσθενῆ τὴν κεφαλὴν ἔχουσι· χρήσιμος δὲ καὶ γυναιξὶν ὑδροποτούσαις· εὐώδης γάρ ἐστι καὶ θρεπτικός. διαφέρει δὲ τοῦ οἰνομέλιτος, 2
ὅτι ἐκεῖνο μὲν ἐξ αὐστηροῦ οἴνου καὶ παλαιοῦ καὶ ὀλίγου μέλιτος σκευάζεται, ὁ δὲ μελιτίτης πρὸς πέντε χοεῖς αὐστηροῦ γλεύκους λαμβάνει μέλιτος χοῦν ἕνα καὶ ἁλὸς κύαθον ἕνα. σκευάζειν δὲ δεῖ ἐν μεγάλῳ ἀγγείῳ, ἵνα τόπον ἔχῃ πρὸς τὸ

4 SIM. Pl. XIV 100 (c. S. N.).
4 EXC. Orib. V 13 (I 360 D. *γίνεται—πεπισσωμένον*); Orib. I 360.
15 SIM. Pl. XIV 85; XXII 115.
15 EXC. Orib. V 25 (I 398 D. *ὁ δὲ καλούμενος—κεράμια*).

1 *ἀναγκαζόμεθα δὲ* E 2 *νόσων* Di 3 *χρονίας* PE²: *χρονίως* reliqui 4 *ἀδύναμος* mg. add. P *ὁ* addidi ex Orib. E 5 *ἴσον*] *ἥμισυ* coni. Bruns Quaest. Asclep. coll. Pl. l. s., at cf. Dl. *accipis mustu urceos X, cui admisces et aquae urceos X* 6 *πράως* E *ἄχρις ἂν* QDi: *ἄχρι ἂν οὗ* Orib. 8 *ἐν ἀγγείῳ πεπισσωμένῳ* E 10 *μ̄* QLE 11 *αὐτῷ* om. E *μετ' ἐνιαυτὸν πρὸς τὰ αὐτά* E 12 *ἄγριος σταφυλῆς* mg. add. P: *ἀγριοσταφυλλίτης* F (ind.): om. reliqui *μέλας μαλάσσει* E 14 *στολῆς* E (*συ* superscr. E²)
15 num. cap. *χοα* O: *χογ* Di: cap. praec. contin. E tit. *περὶ μελιτίτου* HDi 16 *τοῖς* om. Di *τὸν* add. coll. 16, 14 17 *καὶ οὖρα* Orib. E 18 *καὶ νεφριτικοῖς* om. mg. add. E² *τὴν* om. L 20 post *οἰνομέλιτος* del. *ἢ τοῦ ὑδρομέλιτος* E² 21 *ἐκείνῳ* E: *ἐκεῖνος* ODi 22 *μέλιτος* om. PE 22 *ε̄* EF *χόας* HDi: *χοᾶς* Orib.: *χοέας* E 23 *λαμβάνει* om. Di *χοῦ* P 24 *δὲ* om. Di *ἀγγείῳ μεγάλῳ* Orib.

ὑπερζεῖν, παραπάσσοντας τοῦ προειρημένου ἁλὸς κατ' ὀλίγον, ἄχρι ἂν ἐκζέσῃ· παυσαμένου δὲ καταγγίζειν εἰς κεράμια.

8 *οἰνόμελι δὲ διαφέρει τὸ ἐκ παλαιοῦ οἴνου καὶ αὐστηροῦ καὶ μέλιτος καλοῦ γινόμενον· ἧττον γὰρ πνευματοῖ καὶ ταχέως παρίσταται τὸ τοιοῦτον. ἔστι δὲ τὸ μὲν παλαιὸν θρεπτικόν, τὸ δὲ μέσον εὐκοίλιον, οὐρητικόν· βλάπτει δὲ ἐπὶ τροφῇ λημφθέν, πινόμενον δὲ ἐν ἀρχῇ πλήσμιον, μετὰ ταῦτα δὲ κινεῖ ὄρεξιν.*

2 *σκευάζεται δὲ ὡς τὸ πολὺ πρὸς δύο μετρητὰς οἴνου ἑνὸς μετρητοῦ μέλιτος μειγνυμένου. οἱ δ' ἵνα τάχιον αὐτὸ παραστήσωσι, συναφέψουσι τὸ μέλι τῷ οἴνῳ καὶ οὕτως καταγγίζουσιν. ἔνιοι δὲ διὰ λυσιτέλειαν γλεύκους ζέοντος ξέστας ἓξ πρὸς ξέστην ἕνα μέλιτος μειγνύντες μετὰ τὸ ἀποζέσαι καταγγίζουσι· μένει δὲ γλυκύ.*

9 *μελίκρατον δὲ τὴν αὐτὴν τῷ οἰνομέλιτι δύναμιν κέκτηται. χρώμεθα δὲ τῷ μὴ ἀφηψημένῳ ἐφ' ὧν κοιλίαν μαλάξαι βουλόμεθα ἢ ἔμετον κινῆσαι, ὡς ἐπὶ τῶν θανάσιμον πεπωκότων, διδόντες αὐτὸ μετ' ἐλαίου, τῷ δὲ ἀφηψημένῳ ἐπὶ τῶν μικροσφύκτων καὶ ἀσθενῶν καὶ βησσόντων καὶ περιπνευμονικῶν καὶ διαφορουμένων. τὸ δὲ σκευαστὸν καὶ ἀπόθετον, ὃ ἰδίως ἔνιοι ὑδρόμελι καλοῦσι, μέσον μὲν τῇ ἡλικίᾳ*

---

3 SIM. Pl. XXII 113; Pall. XI 17; Geop. VIII 25.

3 EXC. Orib. V 25 (I 399 D. s. v. *οἰνόμελι—πνευματοῖ, σκευάζεται—γλυκύ*).

15 SIM. [Hipp.] *π. δ. ὀξ.* 53 (136 K); Pl. XIV 113. XXII 110, cf. XXXI 69; Gal. VI 740, XV 650 sq. (= Orib. I 360); P. Aeg. I 96; Geop. VIII 28.

---

1 *παραπάττοντας* E: *παραπάσσοντα* Orib. *τοὺς εἰρημένους ἅλας* Orib. 2 *ἄχρις ἂν* QDi *κομίζειν* Di *ἕτερον κεράμιον* Orib.: *ἕτερα κεράμια* HDi

3 num. cap. *χοβ* O: *χοδ* Di: *η* E tit. *περὶ οἰνομέλιτος* HDi *ἐκ τοῦ* HDi *παλαιοῦ*] *πολλοῦ* L *αὐστηροῦ καὶ παλαιοῦ οἴνου* E: *παλαιοῦ καὶ αὐστηροῦ οἴνου* Orib. 4 *γινόμενον*] *μενον* P: *μέλιτος* L 5 *τοιοῦτο* Q *μὲν* om. P 6 *πολλῇ τροφῇ* E, cf. Dl *pleno ventre acceptus ledet* 7 *πινόμενον δὲ ἐν* (in ras.) E[2] *πληροῖ* Di 8 *ὄρεξιν δὲ μετὰ ταῦτα κινεῖ* DiE 9 *ὡς ἐπιτοπολὺ* Orib. *μέτρα* Orib. E *τοῦ οἴνου* ///// (c. 5 litt. del. E[2]) E 10 *μέτρον* Orib.: *μέρους* E *δὲ ἵνα* Orib. Q *παραστήσουσιν* E 11 *συναφέψουσι* Orib.: *συναφεψούσιν* E (*συναφέψουσιν* corr. E[2]): *συνεψοῦσι* (ut videtur) reliqui *οὕτω* Orib. HDi 12 *ϛ'* HEDi 13 *ἕνα μέλιτος* om. Orib.: *ἕνα* om. E

15 num. cap. *χογ* O: *χοε* Di: *θ* E tit. *περὶ μελικράτου* HDi 16 *μὴ* superscr. H[2]: om. DiE, v. 18 *τῷ δὲ μὴ ἀφεψημένῳ* (= Dl) habet E, at cf. D. eup. II 36 (249) *μελίκρατον πινόμενον ἀπεζεσμένον* (sc. *περιπνευμονικοὺς ὠφελεῖ*) *ἀφεψημένῳ* libri (ut videtur): correxi 17 *ἐμέτους* E 21 *τὴν ἡλικίαν* E

ὑπάρχον, ἀναλογεῖ τῷ δευτερίᾳ καὶ ἀδυνάμῳ οἴνῳ, ὅσον ἐπὶ τῷ τὰς δυνάμεις ἀνακτᾶσθαι, ὅθεν ἐπὶ τῶν φλεγμαινόντων τι μέρος ἐστὶν εὔθετον μᾶλλον τοῦ δευτερία. 2 *τὸ δὲ παλαιότερον ἀδόκιμον ⟨μὲν⟩ ἐπὶ φλεγμαινόντων καὶ στεγνῶν, ἐπὶ δὲ τῶν ⟨τὸν⟩ στόμαχον πεπονθότων ἢ ⟨ῥευματιζομένων ἢ⟩ ἀνορέκτων ἢ διαφορουμένων ἐπιτήδειον. σκευάζεται δὲ πρὸς μέλιτος ἓν μέρος δύο ὕδατος ὀμβρίου παλαιοῦ μειγνυμένων καὶ ἡλιαζομένων. οἱ δὲ πηγαῖον μείξαντες ἀφέψουσιν εἰς τὸ τρίτον καὶ ἀποτίθενται. καλοῦσι δέ τινες καὶ ἀπόμελι τὸ ἐκπλυνομένων τῶν κηρίων ὕδατι σκευαζόμενον ὑδρόμελι καὶ ἀποτιθέμενον· δεῖ δὲ αὐτὸ καὶ ἀκρατέστερον ποιεῖν. οἱ δὲ καὶ τοῦτο ἕψουσιν. ἔστι δὲ ἄθετον ἐπὶ νοσούντων διὰ τὸ πλεῖστον ἔχειν κηρανθέμου.*

10 *ὕδωρ τὴν μὲν καθόλου ἐπίκρισιν δυσχερῆ ἔχει διά ⟨τε⟩ τὰς τῶν τόπων ἰδιότητας καὶ ἰδιοσυγκρισίας καὶ τοὺς ἀέρας καὶ ἄλλα οὐκ ὀλίγα, ὡς δὲ ἐπὶ τὸ πολὺ ἄριστόν ἐστι τὸ καθαρὸν καὶ γλυκύ, ἀμέτοχον δὲ ἡσδηποτοῦν ποιότητος, κἂν τοῖς ὑποχονδρίοις μηδὲ ἐλάχιστον χρόνον ἐπιμένον, ἔτι δὲ ἀλύπως εὐοδοῦν καὶ μὴ πνευματοῦν μηδὲ διαφθειρόμενον.*

11 *θαλάττιον ὕδωρ δριμύ, θερμαντικόν, κακοστόμαχον, κοιλίας ταρακτικόν, ἄγον φλέγμα. θερμὸν δὲ καταντλούμενον ἐπισπᾶται καὶ διαφορεῖ, ἁρμόζον τοῖς περὶ νεῦρα πάθεσι καὶ*

---

6 TEST. Orib. I 365 (e. Ruf.?) *Διοσκουρίδης δὲ ὑδρόμελι τοῦτο* (sc. *τὸ ὑδρόμηλον*) *καλεῖ καὶ σκευάζεσθαί φησιν αὐτὸ πρὸς ἓν μέρος μέλιτος δύο ὕδατος ὀμβρίου παλαιοῦ μιγνυμένων καὶ ἡλιαζομένων, τινὰς δὲ πηγαῖον ὕδωρ μιγνύειν καὶ ἀφέψειν εἰς τὸ τρίτον καὶ ἀποτίθεσθαι.*

14 SIM. Pl. XXXI 31; Cels. II 18; Ruf. (Orib. I 324); Ath. II 46 a.

20 SIM. Pl. XXXI 62 sq.

---

1 *ἀναλογεῖ δὲ* L 2 *τῷ*] *τῶν* P: om. H 3 *δευτερία* (*α* in ras.) E: *δευτερίου* vulgo 4 *μὲν* addidi *τῶν φλεγμ.* QDi 5 *τὸν* addidi ex E *ἢ ῥευματιζομένων ἢ* addidi ex EDl 7 *ἓν μέρος μέλιτος* Orib. E: *ἓν μέλιτος μέρος* PDi *μιγνυμένων καὶ ἡλιαζομένων* Orib.: *μιγνυμένου καὶ ἡλιαζομένου* libri 9 a *καλοῦσι* nov. cap. (*ι̅*) incip. E (= Dl) *καὶ* (alt.) om. E, add. E² *τὸ ἀπὸ μέλιτος* Di, corr. H² 11 *πιεῖν* P: *πίνειν* (ex *ποιεῖν* corr.) E²: *debet enim asperum, id est mellitu fieri, non aquosu* Dl

14 num. cap. *χοδ* O: *χοϙ* Di: *ια* E tit. *περὶ ὕδατος* HDi post *μὲν* add. *ἐν τῷ* EDi 15 *τε*] *δὲ* E: om. reliqui *τὰς ἐνίων ἰδιοσυγκρισίας* (in ras.) *καὶ τοὺς ἀέρας καὶ τόπους* E 16 *δὲ* del. E 17 *μὴ μέτοχον δὲ μηδεμιᾶς* (*ιᾶς* in ras.) E *οἰασδηποτοῦν* Di 18 post *κἂν* 3 litt. del. E² *ὑπομένον* Q *δὲ*] *τε* Di 19 *εὐοδοῦν καὶ μὴ* superscr. F *ἐμπνευματοῦν* E: *πνευματοῦν* reliqui

26 num. cap. *χοε* O: *χοζ* Di: *ιβ* E tit. *περὶ θαλαττίου ὕδατος* HDi *θερμόν, δριμύ* QDi *θερμαντικόν* E: *θερμόν* reliqui 22 *ἁρμόζει καὶ τοῖς* E

χιμέτλοις πρὸ τοῦ ἑλκωθῆναι, ὠμηλύσεσί τε ἐπιτηδείως μείγνυται, καὶ ἐμπλάστροις καὶ μαλάγμασι διαφορητικοῖς εὔθετον, καὶ πρὸς κενώματα ἐνιέμενον χλιερόν, καὶ πρὸς στρόφους θερμόν, ψώρας τε καὶ κνησμῶν καὶ λειχήνων καὶ κονίδων καὶ
2 μαστῶν σπαργώντων κατάντλημα· διαφορεῖ καὶ πελιώματα πυριώμενον, καὶ πρὸς τὰ τῶν θηρίων δήγματα, ὅσα τρόμους καὶ ψυγμοὺς ἐπιφέρει, μάλιστα δὲ σκορπίων καὶ φαλαγγίων καὶ ἀσπίδων· καὶ εἰ προσεμβαίνοι τις εἰς θερμὸν αὐτό, ὠφελεῖ καὶ τὰς χρονίας καχεξίας τοῦ σώματος καὶ τῶν νεύρων τὸ δι' αὐτοῦ λουτρόν, ὑπατμιζόμενον δὲ θερμὸν ὑδρωπικοὺς
3 καὶ κεφαλαλγίας καὶ δυσηκοίας παραιτεῖται. ἀποτεθεῖσα δὲ ἡ ἀκέραιος θάλασσα καὶ ἀμιγὴς ποτίμου ὕδατος ἄβρωμος γίνεται· οἱ δὲ προέψουσιν αὐτὴν καὶ οὕτως ἀποτίθενται. δίδοται δὲ καὶ πρὸς κάθαρσιν καθ' ἑαυτὴν ἢ μετ' ὀξυκράτου ἢ οἴνου ἢ ὀξυμέλιτος, καὶ μετὰ τὸ καθαρθῆναι ἐπιδιδόασι ζωμὸν ὄρνιθος ἢ ἰχθύων πρὸς τὸ κατακεράσαι τὴν ἐκ τῆς δήξεως δριμύτητα.

12 θ α λ α σ σ ό μ ε λ ι δοκεῖ καθαίρειν ἀνδρικῶς. σκευάζεται δὲ μέλιτος καὶ ὕδατος ὀμβρίου καὶ θαλάσσης ἴσων διυλισθέντων καὶ ἡλιασθέντων ἐν ἀγγείῳ πεπισσωμένῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν. οἱ δὲ δύο μέρη θαλάσσης ἀφηψημένης καὶ ἓν μέλιτος μείξαντες καταγγίζουσι· μετριώτερον δὲ γίνεται καὶ ἐπιεικέστερον τὸ τοιοῦτον τῆς θαλάσσης.

13 ὄ ξ ο ς ψύχει καὶ στύφει, εὐστόμαχόν τέ ἐστι καὶ εὐόρεκτον, στατικόν τε αἱμορραγίας πάσης πινόμενόν τε καὶ ἐγκαθι-

17 SIM. Pl. XXXI 68.
23 SIM. Pl. XXIII 54 sq. Orib. I 358; Gal. XI 413 sq.

1 χιμέτλαις E: χυμέθλοις Di ὠμῇ λύσει /// (2 litt. del.) E 2 διαφορητικόν P 3 πρὸς τὰ E κενώμασιν H χλιερόν PE: χλιαρόν reliqui 7 ψύξεις E φέρει H 8 προσευβαίνει EDi 9 χρονίους E νεύρων ὠφέλιμον Di 11 παρηγορεῖ QEDi 12 ἄβρομος PE 13 δὲ (pr.) καὶ ἑψοῦσιν E 15 μέλιτος HDi: cum oximelli Dl 16 ἐκ om. ODi

17 num. cap. χοϙ O: χοη Di: ιγ E περὶ θαλασσομέλιτος HDi 18 δὲ ἐκ Spr. ἴσον P 19 καὶ ἡλιασθέντων om. PE: mg. add. cum ÷ post πεπισσωμένῳ E[2]: post πεπισσωμένῳ in text. rec. Q 20 θαλάττης E ἀφηψημένης P: ἀφεψημένης reliqui 21 post καταγγίζουσι extremum fol. 149ᵛ vocabulum aliquot cod. P folia perierunt, incipit rursus (fol. 150ʳ) ab extr. cap. 48 σμικτικώτερον δὲ γίνεται τὸ τοιοῦτον τῆς θ. E (mg. add. E[2] μετριώτερον δὲ γίνεται καὶ ἐπιεικέστερον τὸ τοιοῦτον): *ista confectio flegma deponet* Dl, at cf. Pl. l. s 22 τοιοῦτο L: τοιοῦτον reliqui

23 num. cap. χοζ Q: χοθ Di: ιδ E tit. περὶ ὄξους HDi στύφει καὶ ψύχει E: ad rem cf. Gal. XI 413 sq. XVIII A 220 24 σταλτικόν Di τε] δὲ E ἐγκαθιζόμενον ex ἐσθιόμενον corr. H[2]

ζόμενον, καὶ ἐπὶ ῥευμάτων κοιλίας συνεψόμενον ταῖς τροφαῖς
ἁρμόζει, ἔναιμόν τέ ἐστι καὶ ἀφλέγμαντον σὺν ἐρίοις οἰσυπηροῖς
ἢ σπόγγοις ἐπιτιθέμενον. στέλλει καὶ ὑστέραν καὶ ἕδραν προ-
πεπτωκυῖαν καὶ οὖλα ἀφεστῶτα καὶ αἱμορροοῦντα· ποιεῖ καὶ
πρὸς νομάς, ἐρυσιπέλατα, ἕρπητας, λέπρας, λειχῆνας, πτερύγια
σύν τινι τῶν ἐπιτηδείων μειγνύμενον, φαγεδαινικά τε ἕλκη
συνεχῶς ἐπαντλούμενον καὶ νομὰς ἵστησιν· ὠφελεῖ καὶ πο- 2
δαγρικοὺς καταντλούμενον θερμὸν μετὰ θείου, ὑπώπιά τε αἴρει
σὺν μέλιτι καταχριόμενον, πρός τε τὰς ἐγκαύσεις τῆς κεφαλῆς
σὺν ῥοδίνῳ καὶ οἰσυπηροῖς ἐρίοις ἢ σπόγγῳ, ὑδρωπικούς τε
καὶ δυσηκοίας ὑπατμισθὲν θερμὸν ὠφελεῖ καὶ ἤχους καὶ συριγ-
μούς. ἐνσταχθὲν δὲ κτείνει τοὺς ἐν ὠσὶ σκώληκας, στέλλει
καὶ φύγεθλα χλιερὸν καταντλούμενον ἢ διὰ σπόγγων ἐπιτι-
θέμενον, καὶ κνησμοὺς παρηγορεῖ, πρός τε θηρίων δήγματα
ὅσα ψύχει κατάντλημα θερμόν, ψυχρὸν δὲ τοῖς πυροῦσι τῶν
ἰοβόλων. ποιεῖ καὶ πρὸς τὰ θανάσιμα πινόμενον θερμὸν καὶ 3
ἐξεμούμενον, μάλιστα πρὸς μηκωνίου καὶ ἀκονίτου καὶ κωνείου
πόσιν, καὶ αἵματος καὶ γάλακτος θρόμβωσιν ἐν κοιλίᾳ, πρός
τε μύκητας καὶ ἰξίαν καὶ σμίλακα σὺν ἁλσί, βδέλλας τε κατα-
ποθείσας καταρροφούμενον ἀποβάλλει, καὶ βῆχα χρόνιον πραΰ-
νει, τὴν δὲ πρόσφατον ἐρεθίζει· ἁρμόζει καὶ πρὸς ὀρθόπνοιαν
θερμὸν καταρροφούμενον. στέλλει δὲ ἀναγαργαριζόμενον ⟨καὶ⟩
τὰ ἐν βρόγχῳ ῥεύματα καὶ συναγχικοῖς ἁρμόζει καὶ πρὸς κιονίδα
κεχαλασμένην, καὶ πρὸς ὀδόντων πόνον θερμὸν ⟨διακρατούμενον
καὶ⟩ διακλυζόμενον.

14 ὀξύμελι σκευάζεται οὕτω· λαβὼν ὄξους κοτύλας πέντε καὶ ἁλὸς θαλασσίου μνᾶν μίαν, μέλιτος μνᾶς δέκα,

26 SIM. Pl. XXIII 60 (e S. N.); Gal. VI 271.

1 συναφεψόμενον E 3 στέλλει δὲ καὶ E 4 πρὸς οὖλα E αἱμορροοῦντα L: αἱμορραγοῦντα reliqui 5 καὶ ἐρυσιπέλατα HDi 10 ἐρίοις om. E τε] δὲ E 11 δυσηκόους Di 12 καὶ τοὺς ἐν αὐτοῖς σκ. E 13 χλιαρὸν QDi 15 καταντληθὲν E 16 πρὸς τὰ θανάσιμα πάντα Di 17 καὶ κωνίου καὶ ἀκονίτου EH: καὶ κωνείου καὶ ἀκονίτου καὶ κωνείου (sic) F: καὶ ἀκονίτου om. Di 19 σμίλακας HDi ἁλσὶν καὶ ὕδατι E ποθεῖσας QDi 20 ἐπιρροφούμενον E χρονίαν EDi 21 καὶ om. E 22 καὶ add. ex H 23 συναγχικοῖς τε (om. καὶ) HDi ἁρμόζει om. E κιονίδας καὶ χαλασμένας E 24 πρός τε (om. καὶ) E πόνους E διακρατούμενον καὶ addidi ex E: *tentum in ore* Dl

26 num. cap. χοη Q: χπ Di: ιε E tit. περὶ ὀξυμέλιτος HDi οὕτως QE 27 ε̄ EFDi θαλαττίου E μνᾶν μίαν] *minas* VII Dl: *libram quadrantem* Pl. XXIII 60, at cf. Pl. XIV 114 δέκα] ῑ EF

ὕδατος κοτύλας δέκα, μείξας ἕψησον, ἄχρις οὗ ἂν δεκάκις ἀναβράσῃ, καὶ ψύξας κατάγγισον.

δοκεῖ δὲ λαμβανόμενον πάχος ἄγειν, ὠφελοῦν ἰσχιαδικοὺς καὶ ἀρθριτικοὺς καὶ ἐπιληπτικούς· ἀρήγει δὲ καὶ τοῖς ὑπὸ ἐχίδνης τῆς καλουμένης σηπὸς δηχθεῖσι καὶ τοῖς μηκώνιον ἢ ἰξίαν πιοῦσιν, ἀναγαργάρισμά τέ ⟨ἐστι⟩ συναγχικοῖς ὠφέλιμον.

15 ὀξάλμη ὠφελεῖ καταντλουμένη νομάς, σηπεδόνας, κυνόδηκτα καὶ τὰ ἀπὸ τῶν ἰοβόλων δήγματα. στέλλει δὲ καὶ τὰς ἐπὶ τῶν λιθοτομηθέντων αἱμορραγίας, εὐθέως μετὰ τὴν χειρουργίαν θερμὴ ἐγκλυζομένη, ⟨καὶ ἐγκαθιζομένη⟩ καὶ ἕδραν προπεπτωκυῖαν, ἐγκλύζεταί τε ἐπὶ τῶν μετὰ νομῆς δυσεντερικῶν· δεῖ δὲ ἐπεγχυματίζειν γάλακτι. καταρροφουμένη δὲ καὶ ἀναγαργαριζομένη βδέλλας κενοῖ· σμήχει δὲ καὶ πίτυρα καὶ ἀχῶρας.

16 θυμοξάλμῃ ἐχρῶντο οἱ ἀρχαῖοι ἐπὶ τῶν ἀσθενῆ τὸν στόμαχον ἐχόντων, κατὰ τρεῖς ἢ τέσσαρας κυάθους πρὸς ὕδωρ θερμὸν κεραννύντες καὶ διδόντες, καὶ ἐπὶ ἀρθριτικῶν καὶ πνευματουμένων· ἄγει δὲ παχέα καὶ μέλανα. σκευάζεται δὲ οὕτω· θύμου λείου ὀξύβαφον, ἁλῶν ἴσον, ἀλφίτου, ⟨πηγάνου⟩, γλήχωνος, ἑκάστου ὀλίγον, βαλὼν εἰς ἄγγος ἐπίχει ὕδατος κοτύλας ϛ', ὄξους ἡμικοτύλιον, περιθείς τε ὀθόνιον ἐξαιθρίαζε.

---

7 SIM. Pl. XXIII 61, cf. D. eup. I 224 (210).

---

1 ὕδατος κοτύλας δέκα om. LQ: superscr. H², at cf. Dl *et aquae cotilas* X: *aquae sextarios quinque* (= δέκα κοτύλας), Pl. XXIII 60 ἄχρι ἂν οὗ E: ἄχρις οὗ reliqui ἀναβράσει Di 3 ἄγειν πάχος Q post ἄγειν desidero κατὰ κοιλίαν ὠψελεῖ Di ἰσχιαδικοὺς καὶ ἐπιλ. καὶ ἀρθρ. EDl: ἰσχιαδικοὺς ἀρθρ. καὶ ἐπιλ. LQDi (ἀρθρ. e mg. alieno loco in text. irrepsit) 5 καὶ τῆς Corn., at cf. Pl. l. s. *profuisse tamen fatentur contra serpentes quas sepas vocant* ἢ om. L 6 ἐστι add. ex E συναγχικοῖς E: συναγχικῶν (ut videtur) reliqui, cf. III 80 (96, 6)

7 num. cap. $\overline{\chi o \vartheta}$ Q: $\chi\overline{\pi}\alpha$ Di: $\overline{\iota ϛ}$ E tit. περὶ ὀξάλμης HDi πρὸς νομὰς Di 9 ἐπὶ] ὑπὸ H τῶν om. L λιθοτμηθέντων LF: λίθων τμηθέντων H (corr. H²) 10 καὶ ἐγκαθιζομένη addidi ex E coll. Dl *fomento revocat*: D. eup. I 224 (210) 11 σκευάζεται L τε] δὲ Di 12 καταρροφουμένη EDiD. eup. II 134 (325): ῥοφουμένη reliqui 13 κενοῖ L: *excludit* Dl: κτείνει EQDi: ἀποβάλλει D. eup. l. s. δὲ om. Di καὶ om. QL

14 num. cap. $\chi\overline{\pi}$ Q: $\chi\overline{\pi\beta}$ Di: $\overline{\iota\zeta}$ E tit. περὶ θυμοξάλμης HDi ἡ post θυμ. add. LQDi τὸν (ν add. E²) στόμαχον ἀσθενῆ E τὸν om. L 16 καὶ (alt.) om. Spr. 17 δὲ (pr.) om. QL: δὲ τὰ Spr. οὕτωσ EF 18 ἀλφίτων EDi: om. H πηγάνου addidi e DiDl γλήχους E 19 ὀλίγον] ἴσον E: *partes singulas modicas* Dl κοτύλας $\overline{\delta}$ ἢ $\overline{ϛ}$ E: *sex* Dl 20 καὶ ὄξους E

17 τὸ δὲ σκιλλητικὸν ὄξος σκευάζεται τὸν τρόπον τοῦτον· καθάρας λευκὴν σκίλλαν καὶ κατατεμὼν καὶ διείρας λίνῳ, ὥστε μὴ θιγγάνειν τοὺς τόμους ἀλλήλων, ξηράνας ἐν σκιᾷ ἐπὶ ἡμέρας τεσσαράκοντα, λαβὼν μνᾶν μίαν ἐξ αὐτῆς κάθες εἰς ξέστας ὄξους καλοῦ ιβʹ καὶ ἔα ἐν ἡλίῳ ἡμέρας ἑξήκοντα βρέχεσθαι, πωμάσας ἐπιμελῶς τὸ ἀγγεῖον· μετὰ δὲ ταῦτα ἀνελόμενος τὴν σκίλλαν καὶ ἐκπιέσας, αὐτὴν μὲν ῥῖψον, τὸ δὲ ὄξος ὑλίσας κατάγγιζε καὶ ἀποτίθεσο. ἔνιοι δὲ μνᾶν ⟨μίαν⟩ πρὸς 2 ὄξους ξέστας εʹ μίσγουσιν· οἱ δὲ αὐτόθεν καθάραντες δίχα τοῦ ξηρᾶναι τὸν ἴσον σταθμὸν βάλλουσι καὶ ἐῶσι μῆνας ϛʹ· γίνεται δὲ τὸ τοιοῦτον τμητικώτερον.

εὐθετεῖ δὲ διακλυζόμενον ⟨μὲν⟩ πρὸς οὖλα μυδῶντα, στέλλον καὶ στερροποιοῦν αὐτά, καὶ πρὸς ὀδόντας κινουμένους καὶ τὰς περὶ στόμα δυσωδίας, ἱκανῶς ἀνασκευάζον αὐτάς, καταρροφούμενον δὲ τόν τε βρόγχον στερεὸν καὶ τυλώδη ποιεῖ καὶ τὸν ἦχον εὔτονον καὶ λαμπρὸν ἀποτελεῖ. παραλαμβάνεται δὲ καὶ 3 πρὸς στομαχικοὺς καὶ δυσπεπτοῦντας καὶ ἐπιληπτικούς, σκοτοδινιῶντας, μελαγχολικούς, ἀπηλιθιωμένους, ἔτι δὲ καὶ πρὸς ὑστερικὰς πνίγας καὶ σπλῆνας ὑπερόγκους καὶ ἰσχιάδας· ἀναλαμβάνει δὲ καὶ τοὺς λίαν ἀσθενεῖς, καὶ τὸ σῶμα ὑγιεινὸν καὶ εὔχρουν κατασκευάζει. ἔστι δὲ καὶ ὀξυδερκές, καὶ πρὸς δυση-

---

1 SIM. Pl. XX 97 sq. XXIII 59; Col. r. r. XII 34; Gal. XI 377; Ps. Gal. XIV 567; Geop. VIII 42 (cf. Pall. VIII 8, 2).

1 EXC. Orib. I 397 D. (τὸ δὲ—ἀποτίθεσο, δίδου—πλεῖον); Pall. VIII 8, 1 (e G. M. — Diosc.); Paul. Aeg. VII 11 (167 ed. Bas.).

12 SIM. D. eup. I 78 (133) — I 77 (132) — I 84 (136) — I 92 (139) — 17 eup. I 18 (103) — II 86 (296).

---

1 num. cap. χπαʹ Q: χπ̅γ̅ Di: ι̅η̅ E tit. περὶ ὄξους σκιλλητικοῦ HDi: περὶ σκιλλ. ὄξους F σκιλλητικὸν libri: σκιλλιτικὸν F (in ind.), fort. recte 2 τοῦτον τὸν τρόπον Orib.QDi 3 καὶ ξηράνας E 4 ἐπὶ om. L μίαν om. EDi 5 ι̅β̅ libri: ἑξ Orib., at cf. Pall. l. s. *in aceti acerrimi duodecim sextariis merges* καὶ ἔα] ἄφες τε EDi ἡμέρας ξ̅ ἐν ἡλίω E: ἡμέρας ἐν ἡλίῳ ζʹ Di ἑξήκοντα L: ξ̅ EF Paul. Aeg: ζʹ (ut videtur) H: μ̅ Col. Pall.: *XL aut LX* Dl: μῆνας ἑξ Orib. 6 ἐμβρέχεσθαι E τὸ ἀγγ. ἐπιμελῶς Di 7 καὶ om. L ἐκπιάσας E 8 μίαν addidi e Paul. 9 ε̅] ϛ̅ ἢ ϑ̅ E: *quinque sextarios* Dl καθάραντες EDi: καθαίροντες L: καθήραντες Q 10 τὸν σταθμὸν ἴσον Di 11 τμητικότερον τὸ τοιοῦτον E 12 μὲν addidi ex E 13 στερεοποιοῦν E πρὸς om. QDi 14 τὸ στόμα EDi στόμαχον LQ σηπεδόνας καὶ δυσωδίας DiH² κατασκευάζον Q αὐτήν H: om. Di 15 στερεοῖ LQDi (om. καὶ τυλ. π. Di) τυλώδη] σαρκώδη Serap. ποιεῖ om. E τὸν ἦχον post λαμπρὸν colloc. LQ 16 καὶ (alt.) om. Di 17 καὶ (alt.) om. Di ἐπιλήπτους Q post σκοτοδινιῶντας add. τε καὶ E 18 post μελ. add. καὶ E ἀπηλιθωμένους LQ καὶ om. L 20 λίαν] ἄγαν E 21 δυσηκοίας EQ

κοίαν ἐνστῆναι δυνατόν, ἐὰν ἐγχυματίζηται· καὶ καθόλου δὲ πρὸς ἅπαντα ἐνεργεῖ πλὴν ἑλκώσεως τῶν ἐντός. δίδου δὲ καθ᾽ ἡμέραν ῥοφεῖν νήστει τὴν μὲν ἀρχὴν ὀλίγον, κατὰ βραχὺ δὲ παραύξων ἄχρι κυάθου· τινὲς δὲ κυάθους δύο διδόασιν ἢ καὶ πλεῖον.

18 ὁ δὲ ἀπὸ τῆς σκίλλης οἶνος γίνεται οὕτω· κατατεμών, ὡς εἴρηκα, τὴν σκίλλαν ξήρανον ἐν ἡλίῳ, ἔπειτα κόψον αὐτῆς μνᾶν μίαν καὶ διασήσας λεπτῷ κοσκίνῳ ἔνδησον ὀθονίῳ ἀραιῷ καὶ κάθες εἰς γλεύκους καλοῦ καὶ προσφάτου ξέστας εἴκοσι, τρίμηνόν τε ἔα βραχῆναι· μετὰ δὲ ταῦτα μετεράσας τὸν οἶνον εἰς ἕτερον ἀγγεῖον ἀπόθου περισφηκώσας ἐπιμελῶς.

2 ἔνεστι δὲ καὶ ὑγρᾷ χρῆσθαι τῇ σκίλλῃ ἐπιτέμνοντα αὐτὴν γογγυλοειδῶς [τρόπον] καὶ τὴν ὁλκὴν διπλασιάσαντα· δεῖ δὲ ἡλιάζειν ἐπὶ ἡμέρας μ΄ καὶ παλαιοῦν ἄγαν. ἔτι δὲ καὶ οὕτω σκευάζεται ὁ προειρημένος οἶνος· λαβὼν σκίλλης κεκαθαρμένης καὶ ἐντετμημένης μνᾶς τρεῖς κάθες εἰς γλεύκους καλοῦ μετρητὴν Ἰταλικὸν καὶ πωμάσας ἔασον μῆνας ἕξ, εἶτα ὑλίσας καὶ μετεράσας ἀπόθου.

3 εὐθετεῖ δὲ πρὸς ἀπεψίας καὶ διαφθορὰς τροφῆς καὶ τοὺς ἀπεμοῦντας ταύτην, ἐφ᾽ ὧν τε πάχος ἔγκειται στομάχῳ ἢ κοιλίᾳ, σπληνικοῖς, ἰκτερικοῖς, καχέκταις, ὑδρωπικοῖς, δυσουροῦσι, στροφουμένοις, πνευματουμένοις, παραλυτικοῖς, σκοτωματικοῖς, ῥίγεσι χρονίοις, σπάσμασι, καταμηνίων τε ἀγωγός·

5 SIM, Pl. XIV 106; XX 65. Col. r. r. XII 33; Pallad. VIII 6. cf. Gal. XI 377.

5 EXC. Orib. I 398 D.

1 *ἐνσταγῆναι* Di post *ἐγχυματίζηται* add. *τις* E *καὶ καθόλου δὲ*] *καθόλου τε* E *καὶ* om. H: post *δὲ* coll. LF *δὲ* om. Di 2 *πάντα* E *ἑλκώσεων* HDi post *ἐντός* add. *καὶ κεφαλαλγιῶν καὶ νευρικῶν* Di, superscr. H² *δίδοται* Di 3 *ἡμέραν*] *ἑκάστην* Q *προσαύξων* DiE² (*ρος* et *ων* in ras.) 4 *β̄* EF *διδόασιν πίνειν* E *ἢ* om. Orib. E *πλείω* Orib.

5 num. cap. *χπβ΄* Q: *χπδ̄* Di: *ιθ̄* E tit. *περὶ οἴνου τοῦ ἀπὸ σκίλλης* H: *οἶνος ἀπὸ σκίλλης* F: *περὶ οἴνου σκιλλητικοῦ* Di *οἶνος σκιλλητικὸς* E *οὕτω* QLDi: *οὕτως* E 6 *κόψον* L: *κόψας* reliqui 7 *μίαν*] *ᾱ* Di 8 *καταθὲς* L 9 *κ̄* HEDi *ἔασον ἐμβρέχεσθαι* E: *ἔασον βραχῆναι* Di *μεταρράσας* QL: *μετάρας* E: *μεταβαλὼν* Di 10 *περισφικώσας* Q 11 *ὑγρᾷ τῇ σκίλλῃ* QDi *ἐντέμνοντας* E: *ἐπιτέμνοντα* reliqui *γογγυλίδος τρόπον* Di 12 *τρόπον* add. QL: *τὸν τρόπον* E: delevi *διπλασιάσαντας* E 13 *καὶ* (alt.) om. L *οὕτως* E 14 *ἐντετμημένης καὶ κεκαθαρμένης* QDi 15 *γ̄* EDi 16 *καὶ μῆνας ἕξ* (*ϛ̄* F) *ἔασον πωμάσας* QDi *διυλίσας* Orib., fort. recte 17 *ἀποτίθου* E 19 *ἀφεμοῦντας* E *ἐν κοιλίᾳ παράκειται ἢ στομάχῳ* EDi 20 *ἰκτερικοῖς* post. *ὑδρωπικοῖς* coll. QLDi, at cf. Dl *spleniticis et ictericis et cacecticis prestat effectum* *καὶ καχέκταις* HDi *καὶ ὑδρωπικοῖς* HDi *δυσουριῶσιν* H 22 *ῥίγεσι χρονίοις σκοτωματικοῖς* QEDi *τε*] *δὲ* L

ἥκιστα δὲ νεῦρα λυπεῖ. ἀμείνων δὲ ὁ παλαιότερος· φυλάσσε-
σθαι δὲ δεῖ αὐτοῦ τὴν χρῆσιν ἔν τε πυρετοῖς καὶ ἐπὶ τῶν ἐντὸς
ἐχόντων ἕλκος.

19 οἱ δὲ διὰ θαλάττης οἶνοι ποικίλως σκευάζονται·
οἱ μὲν γὰρ εὐθέως μετὰ τὸ τρυγηθῆναι τὴν σταφυλὴν μειγ-
νύουσι θάλασσαν, οἱ δὲ προθειλοπεδεύουσι καὶ οὕτω πατοῦσι
μειγνύντες θάλασσαν, οἱ δὲ σταφιδώσαντες τὴν σταφυλὴν
βρέχουσιν ἐν πίθοις μετὰ θαλάσσης καὶ οὕτω πατοῦντες ἐκ-
θλίβουσι· γίνεται δὲ ὁ τοιοῦτος γλυκύς. οἱ μέντοι γε πρὸς 2
τὴν πόσιν αὐστηρότεροι σκευαζόμενοι ποιοῦσι καὶ πρὸς πυρε-
τῶν ἀνασκευήν, εἰ μή γε παρεῖεν Ἀμινναῖοι, καὶ πρὸς κοιλίας
ὑπαγωγήν, καὶ ἐμπύοις ⟨καὶ⟩ σκληροκοιλίοις καὶ ὅσοι ὑπὸ τῶν
Ἀμινναίων ψαύονται κεφαλῆς· κακοστόμαχοι μέντοι καὶ οὗτοι
καὶ πνευμάτων γεννητικοί.

οὐκ ἄχρηστον δὲ ὑπογράψαι νομίζομεν πρὸς τὸ πλήρη τὴν 3
ἱστορίαν τοῖς φιλιατροῦσι γενέσθαι καὶ τὴν τῶν ποικιλωτέρων
οἴνων σκευασίαν, οὐχ ὅτι πολλή ἐστιν ἢ ἀναγκαία ἡ χρῆσις
αὐτῶν ἀλλ᾽ ἵνα κατὰ μηδὲν αὐτῶν ἐλλείπειν δοκῶμεν. εἰσὶ δὲ
αὐτῶν ἔνιοι ἧττον περίεργοι καὶ πίπτοντες εἰς τὴν χρῆσιν, ὡς
οἱ διὰ τῶν κυδωνίων καὶ ἀπίων καὶ κερατίων, ἔτι καὶ μύρτων
σκευαζόμενοι.

20 ὁ μὲν οὖν κυδωνίτης, ὃν ἔνιοι μηλίτην καλοῦσι,

---

22 SIM. Garg. M. 211 (R.), unde Pall. XI 20; cf. Gal. VI 603. Col. XII 41. Geop. VIII 17. Philagr. (Orib. I 382).
22 EXC. Orib. I 399 D. (ὁ — ἀπόθου).

---

1 ἀργυρίων libri: correxi καὶ (tert.) om. Orib.Q κατὰ δὲ HADi 2 τὴν δύναμιν QDi 3 ἐγκρύβοντας POrib.E: ἐγκρύβοντες FL: ἐγκρύπτοντες HADi 4 πομφολυγγίσῃ F: πομφολυγήσῃ DiH: πομφολυγώδης ᾖ E 5 σκωρέα Orib. ἐν οἴνῳ om. Orib.: ἐν om. E σβεννύντας E: σβέννυνται P: σβεννύναι QDi: σβεννύειν Orib. ἀμιναίῳ F 6 οὕτως E καυθεῖσαν Orib. ἀναλεάναντες QDi μετ' οἴνου] οἴνῳ HDi 7 χύτρᾳ Orib.E κισηρώδης E θρύψιν] ὄψιν HDi: *colore pomicis faciat* Dl 8 πάλιν τε] πάντες δὲ (πάλιν superscr. A^2) A τε] δὲ Di μετ' οἴνου Orib.Di 9 τελέως Di 10 σποδοῦ Orib.: σποδίου δὲ E αὐτῇ] τῇ τοιαύτῃ EDi 11 τριβομένη ἐν θυίᾳ Orib. σὺν ὕδατι om. Orib.E 12 ἄχρις HA λιπαρόν PLOrib.E (ῥυπαρόν corr. E^2): ῥυπαρόν reliqui: *quamdiu aqua limpida invenias* Dl

14 num. cap. ψλθ' O ($\overline{ψλζ}$ A): $\overline{ψμα}$ Di: $\overline{οη}$ E tit. περὶ πομφόλυγος HADi σποδίου OEDl (cf. Gal. XII 234): σποδοῦ Orib.E^2 15 ἡ μὲν Orib.EDi βαρυτέρα Orib.EDi 16 δὲ] τε Orib.E: om. Di ἔυπλεον P: ἔμπλεων Q: ἔμπλεος Orib.: ἔμπλεως EDi 17 ἀπόψημά τι P: ἀπόσμιγμα Orib.: ἀφέψημά τι E (ἀπόψημα in mg. corr. E^2): ἀποψήματα F: ἀποψύγματα H: ἀπόψυγμά τι Di ἐν] ἐπὶ Q μεταλλουργίοις Orib.: χαλκουργίοις E ἐδάφων E (ἐδαφῶν corr. E^2): ἐδάφνων Di 18 post καμίνων add. οὖσα EDi 19 ἔτι δὲ κ. om. Di ἔτι δὲ καὶ Orib.: ἔστι δὲ H ἐπιπε(ε in ras.)τάσθαι E: ἐπιπωτασθαι P

*ταύτης δὲ δύο ἐστὶν εἴδη· τὸ μὲν ἀερίζον καὶ ὑποπίμελον, τὸ
δὲ λίαν λευκὸν καὶ ἄκραν ἔχον κουφότητα.*
γίνεται δὲ ἡ λευκὴ πομφόλυξ, ὅταν ἐν τῇ κατεργασίᾳ καὶ 2
*τελειώσει τοῦ χαλκοῦ πυκνότερον οἱ ἀπὸ τῶν χαλκουργείων
συνεμπάσσωσι λελεασμένην καδμείαν, βελτιοῦν αὐτὴν βουλόμενοι· ἡ γὰρ ἀπὸ ταύτης ἀναφερομένη αἰθάλη, λευκοτάτη οὖσα,
πομφολυγοῦται. οὐ μόνον δὲ ἐκ τῆς τοῦ χαλκοῦ κατεργασίας
τε καὶ ὕλης γίνεται πομφόλυξ, ἀλλὰ καὶ ἐκ καδμείας προηγουμένως ἐκφυσωμένης εἰς γένεσιν αὐτῆς. ποιεῖται δὲ οὕτως·* 3
*ἐν οἴκῳ διστέγῳ κατασκευάζεται κάμινος, καὶ κατ᾿ αὐτὴν πρὸς
τὸ ὑπερῷον ἐκτομὴ σύμμετρός τε καὶ ἐκ τῶν ἄνωθεν μερῶν
ἀνεῳγμένη, ὁ δὲ τοῖχος τοῦ οἰκήματος, ᾧ πλησιάζει ἡ κάμινος,
τιτρᾶται λεπτῷ τρήματι ἄχρι αὐτῆς τῆς χώνης εἰς παραδοχὴν
φυσήματος· ἔχει δὲ καὶ θύραν σύμμετρον πρὸς εἴσοδον καὶ
ἔξοδον κατεσκευασμένην ὑπὸ τοῦ τεχνίτου. συνῆπται δὲ τούτῳ* 4
*τῷ οἰκήματι ὁ ἕτερος οἶκος, ἐν ᾧ αἵ τε φῦσαι καὶ ὁ φυσητὴς
ἐργάζεται. λοιπὸν ἄνθρακες ἐντίθενται τῇ καμίνῳ καὶ πυροῦνται, ἔπειτα παρεστὼς ὁ τεχνίτης ἐμπάσσει λελεπτοκοπημένην τὴν καδμείαν ἐκ τῶν ὑπὲρ τὴν κεφαλὴν τῆς χώνης τόπων,
ὑπὸ χεῖρά τε τὸ αὐτὸ ποιεῖ, ἅμα καὶ ἀνθρακιὰν προσεμβάλλει,
ἄχρι ἂν ὃ προστέθειται πλῆθος ἀναλωθῇ. ἐκθυμιωμένης δὲ* 5
*αὐτῆς τὸ μὲν λεπτομερὲς καὶ κοῦφον εἰς τὸν ἄνω φέρεται οἶκον
καὶ προσίζει τοῖς τοίχοις αὐτοῦ καὶ τῇ ὀροφῇ, ὃ δὴ σωματοποιούμενον ὑπὸ τῶν ἐπιφερομένων κατ᾿ ἀρχὰς μὲν ταῖς ἐπανισταμέναις ⟨ἐκ⟩ τῶν ὑδάτων πομφόλυξιν ἐοικὸς γίνεται, ὕστερον
δὲ πλείονος τῆς παραυξήσεως συμβαινούσης ἐρίων τολύπαις
ἀφομοιοῦται. τὸ δὲ βαρύτερον εἰς τοὺς ὑπὸ πόδα χωρεῖ τό-* 6
*πους, καὶ περιχεῖται τοῦτο μὲν τῇ καμίνῳ τοῦτο δὲ τῷ ἐδάφει
τοῦ οἴκου, ὃ καὶ φαυλότερον τοῦ λεπτομεροῦς ἡγητέον διὰ τὸ*

---

1 *δὲ* om. H   *εἰσὶν* Q   2 *λίαν λευκὸν*] *λεῖον ὂν* Q   4 *ἀπὸ*] *ἐκ* QDi   5 *συνενπάσσουσι* P: *συνεμπάσσουσι* Q: *συνεμπάσουσι* Di   6 *ἀναφερομένη ἀπὸ ταύτης* E   *λεπτοτάτη* Ald.   10 *διστεγεῖ* Di   *κάμινος δίστεγος* Di   *κατὰ ταύτης* Di   *πρὸς* om. Di   13 *τιτράται* E (*τίτραται* E²)   *ἄχρι* PE: *ἄχρις* reliqui   14 *φυσιτῆρος* E: *φυσητῆρος* HDi   15 *κατασκευασμένην* E   16 *ὁ* (pr.) om. HDi   *ἐν* om. QDi   *τε* om. QDi   *φυσητὴρ* QDi   17 *πυροῦται* E   18 *ἐμπάζει* F   *λελεπτοκομένην* PF: *λεπτοπεποιημένην* (*πε* superscr.) E: *λελεπτοποιημένην* Di   19 *τὴν* (alt.) om. QEDi   20 *ὁ ὑπὸ* HDi   21 *ἄχρι* PE: *ἄχρις* reliqui   *προτέθηται* E   *ἀναλώσῃ* libri: correxi   *δὲ*] *οὖν* EDi   22 *ἀναφέρεται* HDi   23 *προσιζάνει* EH   *τὸ δὲ σωματοποιούμενον* E: *τὸ δὲ σῶμα τὸ ποιούμενον* HDi   25 *ἐκ* addidi ex E   26 *αὐξήσεως* QDi   27 *χωρεῖται* F

γεῶδες καὶ ἔμπλεον ἀκαθαρσίας ἐν τῇ συγκομιδῇ εἶναι. τινὲς
δὲ μόνως οὕτως οἴονται γίνεσθαι τὴν προειρημένην σποδόν.
7 ἀρίστην δὲ ἡγητέον τὴν Κυπρίαν, ἔν τε ὄξει φυραθεῖσαν
ἀποφορὰν μὲν ἔχουσαν χαλκοῦ, χρόαν δὲ ἰίζουσαν ποσῶς, ἔτι
δὲ βορβορίζουσαν ἐν τῇ γεύσει· κἂν ἐπ᾽ ἄνθρακος διαπύρου
ἐπιτεθῇ, ἡ ἄδολος ἐπιζεῖ ἀερόχρους γενομένη. ἐπιμελῶς δὲ
προσεκτέον τοῖς προειρημένοις κριτηρίοις· δολοῦται γὰρ ὑπό
τινων ταυροκόλλῃ ἢ πνεύμοσιν ἀρνείοις ἢ θαλασσίοις ἢ κεκαυ-
μένοις ὀλύνθοις καὶ τισιν ἄλλοις παραπλησίοις. εὐχερὲς δὲ τὸ
διαγνῶναι· οὐδὲν γὰρ τῶν προειρημένων ἐν τῇ δοκιμασίᾳ ἐπὶ
τοιούτων εὑρίσκεται.
8 πλυτέον δὲ κοινῶς πομφόλυγα τὸν τρόπον τοῦτον· ἐνδή-
σας αὐτὴν ἐν καθαρῷ ὀθονίῳ μέσως ἔχοντι ἀραιότητος ἢ ξη-
ρὰν ἢ ὕδατι πεφυραμένην, κάθες εἰς λεκάνην ὕδωρ ἔχουσαν
ὄμβριον, καὶ ἔγκλυζε ὧδε κἀκεῖσε διαφέρων τὸν ἔνδεσμον· οὕ-
τως γὰρ τὸ μὲν ἰλυῶδες καὶ νόστιμον αὐτῆς ἀπορρυήσεται,
τὸ δὲ σκύβαλον πᾶν ἐν τῷ ὀθονίῳ μενεῖ. εἶτα ἐάσας κατα-
στῆναι ἀπήθησον τὸ ὕδωρ σὺν τῇ σποδῷ, καὶ πάλιν ἄλλο
ἐπιχέας ἀνατάρασσε καὶ ἀπόχει, καὶ ταῦτα ποίει ἀπηθῶν τε
καὶ ἐπιχέων, μέχρι ἂν ἀμμῶδες μηδὲν ἐφιζάνῃ· λοιπὸν τὸ μὲν
9 ὕδωρ ἐξίπωσον, τὴν δὲ σποδὸν ξηράνας ἀποτίθεσο. τινὲς δὲ
ξηράναντες ⟨αὐτήν⟩, ἐφ᾽ ὅσον ἐνδέχεται, ⟨καὶ⟩ ταῖς χερσὶ
λεάναντες μεθ᾽ ὕδατος καὶ μελιτώδη τὴν σύστασιν ποιήσαντες

3 EXC. Orib. XIII s. v. (*ἀρίστην — ξηράνας ἀποτίθεσο*), unde Aet. II 196, cf. Orib. Syn. II 56 (V 82 D.).

1 *ἔμπλεων* (ut videtur) QDi: *ἔμπλεον* PE (corr. E[2]) *εἶναι ἐν τῇ* QDi 3 *ἔν τε ὄξει* P: *ἔν τε* (*δὲ* Orib. V 82) *τῷ ὄξει* Orib.: *ἐν τῷ ὄξει* reliqui 4 *μὲν* om. Orib. *χαλκοῦ ἔχουσαν* E *ἰάζουσαν* Orib.: *colorem eraminis* (i. e. eruginis) *habet* Dl: *χρόαν δὲ ὥσπερ ἰώδη* Aet.: *πισσίζουσαν* OEDi: corr. Sar. 5 *βορβορύζουσαν* PE *ἐν* om. Orib. 6 *ἡ ἄδολος* post *ἐπιζεῖ* transpos. Q *ἡ* om. Di *ἐπιίζει* ODi: *ἐπιάζει* Orib.E: corr. *γινομένη* Orib.EQDi 7 *εἰρημένοις* Orib. 8 *ἢ* (alt.)] *καὶ* Orib. *θαλαττίοις* E *ἢ* (tert.) om. Orib. 9 *ὀλύνθοις τε* Orib. 11 *τοιούτων* PE: *τοιούτον* Q: *τούτων* Orib.Di 12 *τοῦτον τὸν τρόπον* Q 13 *ἐν* om. Orib.E *ἔχοντι* POrib.E: *ἔχοντα* QDi: *ἔχουσαν* vulgo 14 *πεφυρομένην* P 15 *μεταφέρων* E *οὕτω* Orib.HDi 16 *τὸ νόστιμον* E *ὑπορρυήσεται* Orib.: *ὑπεκρυήσεται* E 17 *ἅπαν* Orib.E *μένει* Orib. *εἶτ᾽ ἐάσας* Orib.E 18 *τὸ ὕδωρ ἀπήθησον* Orib. *τὸ*] *τῷ* P 19 *τὸ αὐτὸ* Orib.: *τὰ αὐτὰ* E 20 *ἀποχέων* Orib.QDi *μέχρις ἂν* DiQ: *ἄχρις ἂν* Orib. *μηδὲν ἀμμῶδες* Orib.EDi *ὑφιζάνῃ* EDi 21 *ἐκσιφώνισον* Orib.: *ἐκσιφώνισον ἢ ἐξείπωσον* E 22 *καθάραντες* E *αὐτὴν* addidi ex E *καὶ* addidi 23 *λεαίνουσιν ταῖς χερσὶν* E: *ταῖς χ. λεαίνουσι* Di

διηθοῦσι δι᾿ ὀθονίου, περιπετάσαντες αὐτὸ τῷ ὑποδέχεσθαι
μέλλοντι ἀγγείῳ καὶ ἀποδήσαντες οὐ λίαν ἀποτεταμένον· πρὸς
⟨δὲ⟩ τὸ ῥᾳδίως διεξελθεῖν δαψιλὲς ὕδωρ ἐπιχέουσι τῷ ὀθονίῳ καὶ
ἀναταράσσουσι τὴν σποδόν. εἶτα τὸ διυλισθὲν καὶ ἐπινηχόμενον 10
αὐτῆς τῷ ἀγγείῳ ἀφρῶδες ὂν αὐτόθεν μύακι ἀναλαμβάνουσι
καὶ ἀποτίθενται εἰς ὀστράκινον καινὸν ἀγγεῖον, τὸ δ᾿ ἐγκαθή-
μενον πράως διασήσαντες καταχέουσιν εἰς ἕτερον ἀγγεῖον ὑπο-
λειπομένου τοῦ ἐν τῷ πυθμένι ἀμμώδους· πάλιν δὲ ἐάσαν-
τες ὑποστῆναι τὰ λιθώδη εἰς ἄλλο ἀγγεῖον καθαρὸν ἀπηθοῦσι,
καὶ τοῦτο πολλάκις δρῶσιν, ἕως ἂν καθαρὰ καὶ ἀμέτοχος ἄμμου
γένηται ἡ σποδός. ἄλλοι δὲ ὡς ἔστιν ὁλομερὴς εἰς ὕδωρ κατ᾿ 11
ὀλίγον ἐμπάσσουσι τὴν προειρημένην, οἰόμενοι ἄμμον μὲν
καὶ τὰ λιθώδη τῷ ἰδίῳ βάρει εἰς τὸν πυθμένα τοῦ ἀγγείου
καταρρυήσεσθαι, τρίχας δὲ καὶ κάρφη καὶ τὰ ὅμοια ἐπαιωρη-
θήσεσθαι διὰ τὴν κουφότητα· λοιπὸν χωρίσαντες τὴν σποδὸν ἐν
μέσῳ οὖσαν καὶ εἰς θυίαν βαλόντες πλύνουσιν ὡς ⟨τὴν⟩ καδμείαν.
πλύνεται δὲ καὶ οἴνῳ Χίῳ ἀθαλάσσῳ κατὰ τοὺς προειρημένους
τρόπους, καὶ γίνεται στυπτικωτέρα τῆς ὕδατι πλυνομένης.
δύναμιν δὲ ἔχει ἡ πομφόλυξ στυπτικὴν καὶ ψυκτικὴν καὶ 12
ἀναπληρωτικήν, καθαρτικήν ⟨τε⟩ καὶ προσπλαστικὴν καὶ ποσῶς
ξηραντικήν· ἔστι δὲ καὶ τῶν πράως ἐσχαρούντων. ἐὰν δὲ
ὀπτῆσαι δέῃ τὴν σποδόν, λεάνας ἐπιμελῶς αὐτὴν καὶ ἀνα-
δεύσας ὕδατι ⟨καὶ⟩ ποιήσας τροχίσκους θὲς ἐπ᾿ ὄστρακον και-
νόν — ἐπιτίθει δὲ τοῦτο ἐπὶ λεπτὴν καὶ κούφην ἀνθρακιάν —
καὶ στρέφε τοὺς κυκλίσκους συνεχῶς, ἄχρι ἂν ξηροὶ καὶ πυρροὶ
γένωνται. γνωστέον δὲ ὅτι καὶ ἐκ τοῦ χρυσοῦ καὶ ἀργύρου, 13

---

21 EXC. Orib. XIII s. v. (*ἐὰν — ἀρίστη*).

---

2 *ἢ καὶ* Di 3 *δὲ* addidi ex ADi, del. (ut videtur) E^2, superscr. H^2 *ἐπιχέαντες* (om. *καὶ*) Di 5 *τὸ ἀγγεῖον* Di *αὐτόθι* OE: *θεν* superscr. E^2 *ἀναλαμβάνοντες* (*καὶ* delevit E^2) *ἀποτίθενται* EDi 6 *κενὸν* O (*αι* superscr. H^2) 7 *πραέως* E *διασείσαντες* QDi *μεταχέουσιν* EDi *ἀγγεῖον ἕτερον* Q *ἀπολειπομένου* QDi 9 *ἀπειθοῦσι* Q: *ἀφηθοῦσιν* E 11 *ὁλομερὲς ὕδωρ* Q: *ὁλομερὴς ὕδωρ* P 13 *τὰ*] *τἄλλα* E 15 *χωρίσαντες αὐτῶν* EDi *τὴν* addidi 17 *καὶ* om. Di *ἀθαλάσσῳ* PDl: *ἢ ἄλλω ἀθαλάσσω* (*τεθαλασσωμένω* corr. E^2) E: *τεθαλασσωμένῳ* reliqui *εἰρημένους* E 18 *ἐν ὕδατι* E 19 *καὶ* (pr.)] *τε καὶ* E: om. QDi *καὶ* (alt.) om. QDi 20 *πληροτικὴν* E *ἀνακαθαρτικὴν* E *τε* addidi ex E *καὶ* (pr.) om. QDi 21 *ἔστι — ἐσχαρούντων* om. O: *virtus est . . . scarotica* Dl 22 *ἀνάδευσον* Orib. 23 *καὶ* addidi ex EOrib. *κάθες εἰς ὄστρακον* E 24 *ἐπέρεισαί τε τοῦτο* Orib. *λεπτῆς καὶ κούφης ἀνθρακιᾶς* $Orib.^E$ 25 *ἄχρι ἂν* P: *ἄχρις ἂν* reliqui *πυρροὶ καὶ ξηροὶ* HDi *κατάπυρροι* $Orib.^E$ 26 *καὶ* (pr.) om. QDi *τοῦ* om. $Orib.^E$

ἔτι δὲ μολύβδου γίνεται σποδός· καὶ ἔστι μετὰ τὴν Κυπρίαν
ἡ ἐκ τοῦ μολύβδου ἀρίστη.
ἐπειδὴ δὲ καὶ τὰ ἀντίσποδα ἱκανῶς εὐχρηστεῖ ὑστερού-
σης πολλάκις σποδοῦ, τὰ ἰσοδυναμοῦντα ἀναγκαῖόν ἐστιν ὑπο-
14 δεῖξαι, τίνα τε ὑπάρχει καὶ ὃν τρόπον παραλημφθείη. λαβὼν
τοίνυν μυρσίνης τὰ φύλλα σὺν τοῖς ἄνθεσι καὶ τοῖς μύρτοις
ἀώροις ἔτι οὖσιν ἔμβαλε εἰς ὠμὴν κύθραν, καὶ περιπλάσας τὸ
πῶμα κατατετρημένον συνεχέσιν ὀπαῖς δὸς εἰς κάμινον κεραμει-
κὴν ⟨ὀπτᾶν⟩· ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος, εἰς ἄλλην χύτραν
ὠμὴν μετέρασον αὐτό, καὶ πάλιν κατοπτηθείσης καὶ τῆς
15 δευτέρας ἐξελὼν πλῦνε καὶ χρῶ. ὡσαύτως δὲ καὶ θαλλίαν
σκευάσας παραλάμβανε· ἔστω δὲ τῆς ἀγρίας ἐλαίας, εἰ δὲ μή,
τῆς ἡμέρου σὺν τοῖς ἄνθεσιν ἢ μῆλα κυδώνια κατατετμημένα
καὶ ἐξωστεισμένα ἢ κηκίδα ἢ ῥάκη λινᾶ ἢ ἄωρα συκάμινα λευκὰ
προεξηραμμένα ἐν ἡλίῳ ἢ [βοτάνην] σχῖνον ἢ τέρμινθον ἢ οἰ-
νάνθην ἢ βάτου τὰ ἁπαλὰ φύλλα ἢ πύξου κόμας ἢ τὴν λεγο-
16 μένην ψευδοκύπερον σὺν τῷ ἄνθει. τινὲς δὲ κλάδους συκῆς
προεξηραμμένας ἐν ἡλίῳ ὡσαύτως σκευάζουσιν· ἄλλοι δὲ ταυ-

---

3 SIM. Pl. XXXIV 133 (e S. N.).
3 EXC. Orib. XIII l. s. (*ἐπειδὴ — σκευάζουσιν*).

---

1 *ἔτι δὲ*] *καὶ* E: *ἔτι δὲ καὶ* Orib.QDi *μολίβδου* OEDi: *μολίβου* Orib. *σποδὸς γίνεται* Orib. *σποδιὰ* Q 3 mg. add. *ἀντίσποδα* P: nov. cap. incip. *ψλθ* Q, *ψμα* Di tit. *περὶ ἀντισπόδων* QDi *ἐπεὶ* (in ras.) E[2] 4 *τὰ* om. E *ἐστιν καὶ περὶ τούτων* E 5 *τρόπον ἂν* Orib.E 6 *τὰ* om. Orib. post *μύρτοις* c. 6 litt. del. E[2] 7 *ἀέροις* Orib.: *ἀώροις* post *οὖσιν* colloc. E *ἔμβαλλε* Orib.F *ὠμὴν*] *καινήν* Orib., *καὶ κενὴν* add. E *κύθραν* ODi: *χύτραν* reliqui 9 *ὀπτᾶν* addidi ex E 10 *καινὴν ὠμὴν* Di *μετάρασον* HDi: *μετέρασσον* F: *μετάρας* (om. *καὶ*) Orib. *αὐτὰ* coni. Sarac. *πάλιν ὄπτα* Orib. post *κατοπτησείσης* add. *δὲ* Orib. 11 *β'* Q *ὡσαύτως — παραλάμβανε* om. H 12 *ἀγριελαίου* Orib. E, ad rem cf. D. I 105, 3 (97, 23 W.) fort. *μή γε* 13 *ἢ*] *εἰ δὲ μὴ* Q 14 *ἐξωσταισμένα* P: *ἐξοσταισμένα* Orib.: *ἐξοστεισμένα* Di *ἢ ἄωρα κικίδια* E: *ἢ κικίδια* Orib.: *ἢ κικίδα* Q *ἢ ῥάκη λινᾶ* om. Orib.EDl 15 *προεξηραυμένα* PE: *προεξηρασμένα* Orib.: *προεξηραμένα* reliqui *βοτάνην* om. Di, delevi *σχῖνον* POrib.EDl: *vel lentisci* Pl.: *σχοῖνος* Q 16 *φύλλα* om. Orib.E 17 *ψευδοκύπερον* A: *ψευδοκύπειρον* Orib.Di: *pseudocypiri* Pl.: *ψευδοκύπρ*(post *ρ* 1 litt. del. E[2])*ον* E: *ψευδόκυπρον* reliqui *κράδας* Orib.EDi: *κλάδας* H *συκίνας* Orib.E 18 *προσξηραμμένας* P: *προεξηρασμένας* Orib. post *σκευάζουσιν* mg. add. A[2] *τούτων ὁπότερον* (sic) *πληρώσας χύτραν ὠμὴν καὶ καύσας ἐν καμίνῳ ἀποτελέσεις ἄκρων σπονδιᾶν* (sic)

ρεῖαν κόλλαν, οἱ δὲ ἔρια οἰσυπηρὰ τραχέα πίσσῃ ἢ μέλιτι δεύσαντες ὁμοίως καίουσιν.

76 ὁ δὲ κεκαυμένος χαλκός ἐστι καλὸς ὁ ἐρυθρὸς καὶ ἐν τῇ τρίψει κινναβαρίζων, ὁ δὲ μέλας πλεῖον ἢ δεῖ κέκαυται. σκευάζεται δ᾽ ἐκ τῶν ναυτίλων ἥλων συντιθεμένων ἐν ὠμῇ κύθρᾳ, ὑποπασσομένου θείου μετὰ ἁλῶν ἴσων καὶ ἐπιπασσομένου ἐναλλάξ· πωμασθεῖσα δὲ ἡ κύθρα καὶ περιπλασθεῖσα πηλῷ κεραμεικῷ δίδοται εἰς κάμινον, ἄχρι ἂν οὗ τελείως ὀπτηθῇ. οἱ δὲ ἀντὶ τοῦ θείου στυπτηρίαν παρεμπάσσουσιν· ἔνιοι δὲ 2
δίχα τοῦ θείου καὶ τῶν ἁλῶν συνθέντες ἐν χύτρᾳ καίουσιν ἐφ᾽ ἱκανὰς ἡμέρας. οἱ δὲ τῷ θείῳ μόνῳ χρῶνται, ἀπασβολοῦνται μέντοι. ἄλλοι δὲ χρίοντες τοὺς ἥλους σχιστῇ στυπτηρίᾳ μετὰ θείου καὶ ὄξους καίουσιν ἐν ὠμῇ χύτρᾳ. ἄλλοι δὲ ἐν χαλκῇ χύτρᾳ ὄξει καταρραίνοντες αὐτοὺς οὕτως ὀπτῶσι· μετὰ δὲ τὸ καῆναι πάλιν τὸ αὐτὸ ποιοῦσιν ἐπὶ τρίς, ἔπειτα ἀποτίθενται. πρωτεύει δὲ ὁ ἐν Μέμφιδι καιόμενος, ἔπειτα ὁ ἐν Κύπρῳ.

δύναται δὲ στύφειν, ξηραίνειν, λεπτύνειν, καταστέλλειν, 3
ἐπισπᾶσθαι, ἀνακαθαίρειν ἕλκη καὶ ἀπουλοῦν, σμήχειν τὰ ἐν

---

3 SIM. Pl. XXXIV 105 sq. (e S. N.).

3 EXC. Orib. XIII s. v. *χαλκός* (*χαλκός — ὀπτηθῇ, κινεῖ — μέντοι*), cf. Orib. Syn. II 56 (V 83); Gal. XII 242 (unde Aet. II 79. Paul. Aeg. VII 3 s. v.); Ps. Gal. simpl. ad Pat. s. v. aes ustum.

17 SIM. Pl. XXXIV 105 sq. Zop. (Orib. II 587. 553. 578. 554. 578) D. eup. I 33. 34 (109) I 200 (197) — Pl. XXXIV 107.

---

1 *κόλλαν ταυρείαν* Orib. *ὑγροπίσσῃ* Orib. 2 *καίουσιν* Orib A[2](in mg.)Dl: *σκευάζουσιν* reliqui post *καίουσιν* add. *χρῆσις δὲ πάντων τῶν εἰρημένων πεποίηται εἰς τὰ ἀντισπόδια* Di, mg. A[2]

3 num. cap. *ψμ´* O: *ψμβ* Di: *οθ* E tit. *περὶ τοῦ κεκαυμένου χαλκοῦ* HADi *χαλκὸς κεκαυμένος καλός ἐστιν* Orib.: *χαλκὸς κεκαυμένος· ἔστι καλὸς* E *ὁ* (alt.) om. HA 4 *πλεῖον* POrib.E: *πλέον* reliqui, fort. *ἐπὶ πλεῖον* 5 *δὲ καὶ* Orib. *ναυτύλων* Orib.: *ναυλυτῶν* OE (*ν.* del. et *τῶν λελυμένων πλοίων* superscr. H[2]): *αὐλητῶν* A: *ἥλων τῶν λελυμένων πλοίων* (mg. add. *τὸ ῥασούχτην*) Di: correxi 6 *ἐπιπλασσομένου* Orib.: *ὑποπασσομένων* Di *μεθ᾽ ἁλῶν* E: *καὶ ἁλῶν* Di *ἐπιπασσομένων* Di 7 *δὲ* Di: *τε* reliqui *περιχρισθεῖσα* Orib.EDi: *ὑποχρισθεῖσα* vulgo *κεραμικῷ πηλῷ* Orib. 8 *ἄχρι ἂν οὗ* PE: *ἄχρις ἂν οὗ* Orib.: *ἄχρι οὗ ἂν* F: *ἄχρις ἂν* HA: *ἄχρις οὗ* Di 9 post *θεῖον* add. *καὶ τῶν ἁλῶν* DiA (superscr. H[2]), at cf. Dl *multi vero pro sulfur stipterias mittunt*, Pl. *aliqui alumen pro sulpure addunt* *παρεμπλάσσουσιν* ODi 10 *συντιθέντες* E 11 *μόνῳ τῷ θείῳ* E *ἀπασβολοῦνται* P 12 *στυπτηρίᾳ σχιστῇ* E 13 *ἄλλοι*] *οἱ* E *δὲ* om. PF 15 *τρίς*] *τρεῖς* EA, cf. Act. 10, 16; 11, 10 *εἶτα* E 16 *ἔπειθ᾽ ὁ* E: *ἔπειτα δὲ* A 17 *στύφειν*] *φειν* (in conf. vers.) P 18 *καὶ* om. vulgo *ἐπουλοῦν* Q

ὀφθαλμοῖς, τήκειν τὰ ὑπερσαρκοῦντα, νομὰς ἱστάνειν· κινεῖ δὲ καὶ ἐμέτους μετὰ ὑδρομέλιτος ποθεὶς ἢ ἐκλειχθεὶς σὺν μέλιτι ἢ διακλυζόμενος. πλύνεται δὲ ὡς ἡ καδμεία τετράκις τῆς ἡμέρας ἀλλασσομένου τοῦ ὕδατος, ἄχρι μηδεμία ἐφίστηται λάμπη. καὶ ἡ σκωρία δὲ αὐτοῦ ὡσαύτως πλυνομένη τὴν αὐτὴν ἔχει δύναμιν, ἀσθενεστέραν μέντοι.

77 *χαλκοῦ δὲ ἄνθος*, ὅ τινες τῶν παλαιῶν ἥλων ψῆγμα ἐκάλεσαν, ἄριστόν ἐστι τὸ εὔθρυπτον καὶ κατάπυρρον ἐν τῷ λεαίνεσθαι, κεγχροειδές τε τῷ ῥυθμῷ καὶ βαρὺ καὶ μέσως στίλβον, ἔτι δὲ ῥινημάτων χαλκοῦ ἀμέτοχον, οἷς δολοῦται· ἀπελέγχεται δὲ πλατυνομένων αὐτῶν ταῖς τῶν ὀδόντων ἐπερείσεσι.

2 γίνεται δὲ οὕτως· ὅταν ἐν ταῖς μεταλλικαῖς χώναις τακεὶς ὁ χαλκὸς εἰς τὰς δεξαμενὰς καταρρυῇ διὰ [τῶν ἠθμῶν] τῶν διηκόντων σωλήνων, διακαθαίροντες τὴν ἀκαθαρσίαν οἱ πρὸς τούτοις ὄντες ὕδωρ ἐπιχέουσιν ἀκραιφνέστατον αὐτῷ, ψύξαι προαιρούμενοι· ὑπὸ τῆς οὖν αἰφνιδίου πυκνώσεως καὶ συναγωγῆς ὡσπερεὶ ἐκπτύεται καὶ ἐπανθεῖ τὸ προειρημένον.

---

7 SIM. Pl. XXXIV 107 sq. (e S. N.).

7 EXC. Orib. XIII s. v. (*χαλκοῦ — ἐπερείσεσι*), cf. Gal. XII 242 (unde Aet. II 80. Paul. Aeg. VII 3 s. v.); Isid. XVI 20, 13 (e D.); Ps. Gal. simpl. s. v. chalcanthum.

---

1 *ἱστάνειν* P: *ἱστᾶν* reliqui, cf. *Blass* Gr. d. N. T. 50; *Meisterhans* Gr. d. att. I.^{3} 177 2 *μεθ' ὑδρομέλιτος* Orib. 3 *διαχριόμενος* libri, corr. Marc. *ὥσπερ* Orib E (*ὡς* Orib. V 83) 4 *ἄχρις* HA 5 *πλύνεται ὡσαύτως· δύναμιν δὲ ἔχει τὴν αὐτὴν* (*τὴν αὐτὴν ἔχει* E) *πλὴν ὅτι ἀσθενέστερον ἐνεργεῖ* Orib.E *πλυναμένη* A

7 num. cap. *ψμα'* O: *$\overline{\psi\mu\gamma}$* Di: *$\overline{\pi}$* E tit. *περὶ ἄνθους χαλκοῦ* HADi *δὲ* om. Orib.A *ἥλων* Di, mg. add. A^{2}, superscr. H^{2}: om. reliqui *ψῆγμα* POrib.EHA: *ψίγμα* F: *psima* Dl: *ψύγμα* coni. Salm. l. s. 759 8 *καλοῦσιν* Orib. *ἄριστον δὲ* E (*δὲ* del. E^{2}) *εὔθραυστον* HA (*θρυπτον* superscr. A^{2}) *κατάπυρρον* HA^{2} (*κατάπορρον* A): *καπυρὸν* Orib.E: *κατάξηρον* PF Ps. Gal. (ex glossa voci *καπυρὸν* superscr. ort.): *utilis vero qui in tritura fragilis est et rufus* Dl, cf. Pl. l. s. 107 9 *ῥυθμῷ*] *ῥυθμῶ ἢ τῶ ῥωομένω* E (corr. E^{2}): *rotundum* Ps. Gal.: *colore bonu habet* (sic) Dl: Sar. suspectum, at cf. D. V 118 post *ῥυθμῷ* c. 8 litt. del. E^{2}: *καὶ βραχὺ* add. Di, superscr. H^{2} *μέσον* Q: *mediocriter limpidus* Dl: *aliquatenus splendidum* Ps. Gal. *ἐνστίλβον* E post *στίλβον* add. *καὶ ἐπιστύφον* Di 10 *ῥινισμάτων* Q *ἐλέγχεται* Di 11 *δὲ* om. add. E^{2} *τῇ τῶν ὀδόντων ἐπερείσει* Orib.E 12 *ταῖς* om. HADi 13 *διαρέῃ* E *τῶν ἠθμῶν*] *ἠθμοῖς* (post *σωλήνων* colloc.) E: glossam delevi 14 *διακαθάραντες* E 15 *ἐπιχέουσιν αὐτῷ* E 16 *προσαιρούμενοι* Q *ὑπὸ οὖν* QDi

στύφει δὲ καὶ τοῦτο καὶ καταστέλλει τὰς ὑπεροχὰς καὶ 3
σμήχει τὰ ταῖς κόραις ἐπισκοτοῦντα, δάκνον ἱκανῶς. ἔστι δὲ
καὶ πάχους ἀγωγὸν τετρωβόλου πλῆθος διδόμενον· ἐκτήκει δὲ
καὶ τὰ ἐν μυκτῆρσι σαρκώματα καὶ ⟨ἐν⟩ δακτυλίῳ, καὶ ἐξαν-
θήματα σὺν οἴνῳ στέλλει, καὶ πρὸς δυσκωφίας χρονίους τὸ
λευκὸν ἐμφυσᾶται διὰ σίφωνος λεῖον· στέλλει δὲ καὶ κιονίδας
καὶ παρίσθμια λεῖον σὺν μέλιτι προσαπτόμενον.

78 λεπὶς δὲ ἡ μὲν ἐκ τῶν Κυπρίων μετάλλων παχεῖα,
καλουμένη δὲ ἡλῖτις, καλή· φαύλη δὲ ἡ ἐκ τοῦ λευκοῦ χαλκοῦ,
λεπτὴ καὶ ἀσθενὴς ὑπάρχουσα, ἣν ἀποδοκιμάζομεν, ἐγκρίνοντες
τὴν παχεῖαν καὶ ἔγκιρρον καὶ ὄξους ἐπιρραινομένου ἰουμένην.

δύναμιν δὲ ἔχει στυπτικήν, σταλτικήν, λεπτυντικήν, σηπτι-
κήν, νομῶν ἐφεκτικήν, ἀπουλωτικήν· πινομένη δὲ μετὰ μελι-
κράτου ὕδωρ ἄγει. τινὲς δὲ φυρῶντες αὐτὴν μετὰ ἀλεύρου 2

1 Cels. V 7 — D. eup. I 41 (113) — Ruf. (Orib. II 124) — Pl. l. s. 109 eup. I 219 (208) — eup. I 64 (125) Pl. l. s. — eup. I 86 (137) Pl. l. s. — eup. I 85 (136) Pl. l. s.

8 SIM. Pl. XXXIV 107 sq. (e S. N.).

8 EXC. Orib. XIII s. v. (*λεπὶς — ἰουμένην*); Gal. XII 223 (unde Aet. II 59. Paul. Aeg. VII 3 s. v.), Ps. Gal. simpl. s. v. lepis.

12 SIM. Cels. V 6. 7. 8 — Zop. (Orib. II 579) D. eup. I 200 (196) — Cels. V 5 Pl. l. s. 109 Ruf. (Orib. II 124) Zop. (Orib. II 555) — eup. I 46 (114).

3 ad rem cf. Ruf. (Orib. II 124) *τετραβόλου* F: *τετροβόλου* E: *τετραωβόλου* ADi *πλῆθος*] *βάρους* E (*υ* del. E[2]) 4 *ἐν* addidi *δακτυλίῳ* PE (compend. scr. Q): *δακτύλια* A: *δακτυλίων* Di, cf. Pl. XXXIV 109 *lavantur … ad eosdem usuus, et amplius narium carnosa vitia, item sedis* (sic corrige) *καὶ* (tert.) om. Di 5 *δυσκώφους* Di 6 *ἐμφυσσᾶται* H, ad rem cf. D. eup. I 64 (125)

8 num. cap. *ψμβʹ* O: *ψμδ* Di: *πα* E tit. *περὶ λεπίδος* HADi *χαλκοῦ λεπίς· ἡ μὲν* Orib.: *λεπίδες δὲ ἡ μὲν* E fort. *Κυπριακῶν* coll. D. V 79 *μετάλλων*] *χαλκουργικῶν ἥλων* Di: *χαλκουργηματικῶν ἥλων* A[2] (superscr.): *bona est, qui ex acutis* (*ἥλοις?*) *cyprinis fit, quae et pacia dicitur aut elitis* Dl *ἡ παχεῖα* Orib. *παχεῖα* om. HA (superscr. A[2]) 9 *ἡλῖτις*] *ἡλίτης ἢ πλακίτην* E (*ἢ πλ.* del E[2]), at cf. Gal. l. s. *ὀνομάζουσι δέ τινες καὶ ἡλῖτιν λεπίδα* *λευκοῦ*] *λεπτοῦ* Dl: *φαύλου* Di: *λευκοῦ καὶ φαύλου χαλκοῦ* E: *ἐκ τοῦ φαύλου ἢ* mg. add. A[2]: *fit ex candido aere squama longe Cypria inefficacior* Pl post *χαλκοῦ* add. *ἢ ἐκ τοῦ λευκοῦ* Di 10 *ἐκκρίνοντες* F 12 *στυπτικήν* om. Q: *virtus est ei stiptica* Dl *κατασταλτικήν* HA (*κατα* superscr. F) *λεπτυντικήν, σταλτικήν* E: *λεπτυντικήν* om. Di *σηπτικήν* (*στυπτικήν* superscr. A[2]) A 13 *νομῶν ἐφεκτικήν, σηπτικήν* Di *ἐπουλωτικήν* Q 14 post *ἄγει* mg. add. *διδομένον τριόβολον ἢ* <· *αι* *ἢ τὸ πολὺ* <· *β*· *ἐπιπινέτω δὲ καὶ ὀλίγον ὄξος ἢ ἐπιροφήτω διὰ τὸ μὴ ἐμεθῆναι* E[2]

ἐν καταποτίῳ διδόασι. μείγνυται δὲ καὶ ταῖς ὀφθαλμικαῖς
δυνάμεσι, ξηραίνουσα ⟨τὰ⟩ ῥεύματα καὶ βλέφαρα τραχέα ἀπο-
τήκουσα.
3 πλύνεται δὲ οὕτως· καθάρας τῆς ξηρᾶς λεπίδος ἡμι-
μναῖον βάλε εἰς θυίαν μεθ' ὕδατος διαυγοῦς, καὶ συναναταράξας
τῇ χειρὶ ἐπιμελῶς, ἄχρι ἂν ὑποστῇ ἡ λεπίς, ἀφαίρει τὰ ἐφ-
εστῶτα, ἀποχέας τε τὸ ὕδωρ ἐπίχει ὀμβρίου ὕδατος κύαθον
ἕνα, πλατείᾳ τε τῇ χειρὶ τρῖβε εὐτόνως πρὸς τῇ θυίᾳ οἱονεὶ
4 ἀποψώχων. ὅταν δὲ ἄρξηται ἀνιέναι τινὰ γλισχρότητα, κατὰ
μικρὸν ὕδωρ προσεπίχει ἄχρι κυάθων ἓξ τρίβων συντόνως,
ἀναλαβών τε τὴν λεπίδα τῇ χειρὶ ὡς πρὸς τὸ πλευρὸν τῆς
θυίας τρῖβε εὐτόνως, καὶ ἐξιπώσας ἀνελοῦ τὸ ἀπορρυὲν εἰς
πυξίδα ἐρυθροῦ χαλκοῦ· τοῦτο γάρ ἐστι τὸ ὥσπερ ἄνθος τῆς
λεπίδος καὶ εὔτονον τῇ δυνάμει καὶ εὔθετον εἰς τὰ ὀφθαλμι-
5 κά, τὸ δὲ λοιπὸν ἄτονον. καὶ τὸ καταλειφθὲν δὲ ὁμοίως
πλύνων ἀναιροῦ, ἄχρι ἂν μηδεμίαν γλισχρότητα ἀποκρίνῃ, τὸ
δὲ λοιπὸν δεῖ σκεπάσαντα ὀθονίῳ ἐᾶσαι ἀκίνητον ἐπὶ δύο
ἡμέρας, εἶτα ἀποχέαντα τὸ ἐφεστηκὸς ὕδωρ καὶ ξηράναντα
ἀποτίθεσθαι εἰς πυξίδα. ἔνιοι δὲ καὶ ταύτην πλύνουσιν ὡς
τὴν καδμείαν καὶ ἀποτίθενται.

---

4 EXC. Orib. XIII s. v. (*πλύνεται — ἀποτίθενται*)

---

1 *καταποτίοις* E 2 *ξηραίνει γὰρ* Di *τὰ* addidi ex EDi *ῥεύματα* E: *τραύματα* (ex *τὰ ῥεύμ.* ort.) P: *φάρμακα* Q (*ῥεύματα* corr. H², *τὰ ῥεύματα* superscr. A²): *quia rheuma abstinet* Dl *ἀποτήκτουσα* P: *ἀποτίκτουσα* F 4 *οὕτω* HA *ξηρᾶς τῆς λεπίδος* Orib. *ἡμίμναιον* E 5 *βάλλε* F *μετὰ* Orib. *συναντα-ράξας* E: *συναταράξας* Orib.: *συνταράξας* reliqui 6 *ἄχρι ἂν* P: *ἄχρι οὗ ἂν* FE: *ἄχρις ἂν οὗ* Orib.: *ἄχρις οὗ* HDi: *ἄχρις ἂν* A *ὑφεστῶτα* HADi 7 *κύα-θον ἕνα* POrib.E: *κύ.* (comp. scr.) *ᾱ* HADi: *κύ.* (comp. scr.) *ἕνα* F: *κοτύλην α'* Di: *cotila una* Dl 8 *καὶ πλατείᾳ* E (*τε* del. E²) *πρὸς*] *ἐν* QDi *θυίῃ* P 9*ἀποψώχων* Q (*ψύχων* superscr. A²); *ἀποψωδων* P: *ἀποψύχων* (*ο* superscr.) Orib.: *ἀποψύχων* reliqui, cf. Luc. 6, 1 *ἐπὰν* Di *τινὰ* om. A 10 *παρεπίχει* Orib. *κυ.* (c. scr.) *ϛ'* HDi: *κοτύλων ἓξ* Orib. *εὐτόνως* Orib.DiH² 11 *ἀναλαμβάνων* Orib.E *ὡς* om. Orib. 12 *ἀπορρέον* Orib.E 13 *τὸ* om. Orib. *ὡσπερεὶ* Orib. *τῆς* om. mg. add. E² 14 *εὐτονοῦν* HADi *εἰς*] *πρὸς* E 15 *ἄτο-πον* Ald. *καὶ*] *εἶτα πάλιν* Orib. *τὸ περιλειπόμενον* Orib.: *τὸ καταληφθὲν* A *δὲ* om. Orib.A *πάλιν ὁμοίως* E 16 *μέχρις* HADi *ἂν* om. Orib. 17 *δὲ*] *τε* E *δεήσει* Orib. *σκεπάσαντα δεῖ* QDi post *ὀθονίῳ* add. *τὸ πλύμα* Orib.E *ἡμέρας δύο* Orib. 18 *ἀποχέας* Orib.: *ἀπόχεε*(*ας* superscr.) E: *ἀποχέοντα* PF (com. scr.): *ἀποχέαντας* HADi *ἀφεστηκός* FA *ξηράνας* Orib.: *ξηράναν-τας* Di 19 *ἀπόθου* Orib. *πλύναντες* (om. *καὶ*) QDi *ὡς*] *εἰς* Q (corr. H²)

λεπίδος δὲ *στομώματος* δύναμίς ἐστιν ἡ αὐτὴ τῇ τοῦ
χαλκοῦ λεπίδι, καὶ πλύσις καὶ ἀπόθεσις ὁμοία, ἐν μέντοι τῷ
τὴν κοιλίαν καθαίρειν λείπεται τῆς τοῦ χαλκοῦ.

79 ἰὸν δὲ τὸν *ξυστὸν* οὕτως σκευαστέον· εἰς πιθάκνην
ἢ ἄλλο ὅμοιον ἀγγεῖον ἐγχέας δριμύτατον ὄξος ἐπικατάστρεψον
χαλκοῦν ἀγγεῖον· καλὸν μέν, εἰ καμαροειδὲς ⟨εἴη⟩, εἰ δὲ μή γε,
ἰσόπεδον· ἔστω δὲ ἐσμηγμένον καὶ διαπνοὴν μηδεμίαν ἔχον· διὰ
δὲ ἡμερῶν δέκα ἀναιρούμενος τὸ πῶμα ἀπόξυε τὸν ἐπιτρέχοντα
ἰόν. ἢ λεπίδα ἀπὸ τοῦ αὐτοῦ ποιήσας χαλκοῦ ἐγκρέμασον εἰς
τὸ ⟨αὐτὸ⟩ ἀγγεῖον, ἵνα μὴ ψαύσῃ τοῦ ὄξους, καὶ διὰ τῶν ἴσων
ἡμερῶν ἀπόξυε. ἢ εἰς τὰ στέμφυλα μὴ πρόσφατα ὄντα, ὀξί- 2
ζοντα ἐγκρύψας μᾶζαν ἢ λεπίδα μίαν ἢ καὶ πλείονας ὡσαύτως
ἀναστρέφου. ἔνεστι δὲ καὶ ἐκ ῥινημάτων ποιῆσαι ἢ λεπίδων,
αἷς περιεχόμενα τὰ χρυσᾶ πέταλα ἐλαύνεται, ἐάν τις αὐτὰ ἐπιρ-
ραίνων ὄξει ἀνακινῇ τρὶς ἢ τετράκις ⟨τῆς⟩ ἡμέρας, ἄχρι ἂν παν-
τελῶς ἰωθῇ.

γεννᾶσθαι δέ φασιν ἰὸν καὶ ἐν τοῖς Κυπριακοῖς μετάλλοις, 3
τὸν μὲν λίθοις τισὶν ἐπανθοῦντα τῶν ἐχόντων τὸν χαλκόν, τὸν
δὲ ἔκ τινος σπηλαίου στάζοντα ἐν τοῖς ὑπὸ κύνα καύμασι· καὶ

---

1 SIM. Pl. XXXIV 108 (e S. N.).

1 EXC. Orib. XIII s. v. *χαλκός* (*λεπίδος — χαλκοῦ*), cf. Gal. XII 223.

4 SIM. Th. lap. 57; Pl. XXXIV 110 sq. (e S. N.), unde Isid. XVI 20, 14; cf. Vitr. VII 12.

4 EXC. Orib. XIII s. v. (*ἰὸν — ἐπιτρέχοντα ἴον, γεννᾶσθαι — χρόαν*), cf. Gal. XII 218 (unde Aet. II 55. Paul. Aeg. VII 3 s. v.), Ps. Gal. simpl. s. v. aerugo.

---

1 nov. cap. incip. E (πβ), Di (ψμε), Dl: mg. add. *λεπὶς στομώματος* P tit. *περὶ λεπίδος στομώματος* Di *λεπὶς στομώματος· δύναμις* E *ἡ* om. O *τῇ* om. Orib.: *τῆς τοῦ χαλκοῦ λεπίδος* E 2 *ὁμοίως* E 3 *καθάραι* E

4 num. cap. *ψμγ'* O: ψμϛ Di: πγ E tit. *περὶ ἰοῦ ξυστοῦ* HADi *τὸν* om. HADi *οὕτω* HADi *σκεύαζε* E 5 *ἢ ἄλλο τι* Orib.: *ἤ τι ἄλλο* E *ὅμοιον*] *ἐοικὸς* Orib.E 6 *ἀγγεῖον*] *κῦτος* Orib. *εἴη* addidi ex E *γε* om. Orib.HA 7 *κἂν ἐπίπεδον* Orib.E *ἐσφιγμένον* (*φι* in ras.) E[2] *τε καὶ* Orib.E *μηδεμίαν διαπνοὴν* Orib. 8 *δὲ* om. E *δέκα*] ῑ EA 9 *ἀπὸ* om. HA (mg. add. A[2]) 10 *αὐτὸ* addidi ex E *ψαύσει* P: *ψαύῃ* E 11 *τὰ* om. Di *μὴ* om. Di *ὄντα* EDi (del. E[2]): om. reliqui 13 *ἀνάστρεφε* Di *ἔστιν* E *ῥινισμάτων* Q 14 *αὐτὰς* E 15 *τῆς* addidi ex E *ἡμέρας* om. QDi *ἄχρι ἂν* PLF: *ἄχρις ἂν* HEDi: om. ADi 17 *γίγνεσθαι* E *τοῦτον τὸν ἰὸν* Di 18 *τὸν* (pr.)] *τῶν* Q *ἐν λίθοις* (*ἐν* dittogr.) E *τῶν* om. HADi *ἔχουσι* Spr. *τὸν* (tert.)] *τῶν* H (corr. H[2]) 19 *καύμασιν· τὸν μὲν* Orib.

τὸν μὲν ὀλίγον τε καὶ κάλλιστον εἶναι, τὸν δὲ ἐκ τοῦ σπηλαίου δαψιλῆ μὲν ἐπιρρεῖν καὶ εὔχρουν, φαῦλον δὲ ὑπάρχειν διὰ τὸ πολλοῖς ἀναμεμεῖχθαι λιθώδεσι.

4 δολοῦται δὲ καὶ ἄλλοις πολλοῖς μισγομένοις, μᾶλλον δὲ τούτοις· τινὲς μὲν γὰρ κισήρει, οἱ δὲ μαρμάρῳ, ἄλλοι δὲ χαλκάνθῳ κυκῶσιν αὐτόν. καταλημψόμεθα δὲ τὴν μὲν κίσηριν καὶ τὸ μάρμαρον διὰ τοῦ νοτίσαι τὸν ἀντίχειρα τῆς εὐωνύμου χειρὸς καὶ τῷ ἑτέρῳ προστρίβειν τοῦ ἰοῦ τι μέρος· συμβαίνει γὰρ τὸν μὲν διαχεῖσθαι, τὸ δὲ ἀπὸ τῆς κισήρεως καὶ μαρμάρου μένειν ἀδιάχυτον καὶ τέλος ἀπολευκαίνεσθαι τῇ ἐπὶ

5 πλεῖον παρατρίψει καὶ τῇ τοῦ ὑγροῦ παραπλοκῇ. οὐ μὴν ἀλλὰ καὶ διὰ τῆς τῶν ὀδόντων ἐπερείσεως· λεῖον γὰρ ὑποπίπτει καὶ οὐ τραχὺ τὸ ἀμιγές. τὸ δὲ χαλκανθὲς ἀπελέγχεται τῷ πυρί· εἰ γάρ τις ἐμπάσας τὸν οὕτως δεδολωμένον ἰὸν ἐπὶ λεπίδα ἢ ὄστρακον, τούτων τὸ ἕτερον ἐπὶ θερμῆς τέφρας ἢ ἀνθρακιᾶς θείη, μεταβάλλει καὶ κατερυθραίνεται τὸ χαλκανθὲς διὰ τὸ φύσει καιόμενον αὐτὸ τοιαύτην ἔχειν χρόαν.

6 τοῦ δὲ λεγομένου σκώληκος ἰοῦ δισσὸν εἶδος ὑπάρχει· ὁ μὲν γὰρ ὀρυκτός ἐστιν, ὁ δὲ σκευάζεται οὕτως· εἰς θυίαν Κυπρίου χαλκοῦ, ἔχουσαν δὲ καὶ δοίδυκα ἀπὸ τῆς αὐτῆς πε-

---

18 SIM. Pl. XXXIV 116.
18 EXC. Orib. XIII s. v. *ἰός* (*τοῦ δὲ — ξυστῷ*), Aet. II 56 (*εἰς θυίαν — προείρηται*).

---

1 *τὸν — σπηλαίου* om. mg. add. A² 2 *μὲν* om. Orib. *εὔχροον* Orib. 4 *δὲ ἄλλοις τε* Orib E *μισγομένοις* POrib: *μισγόμενος* reliqui 5 *κισσίρηδι* E: *κισσήρει* Orib.QDi 6 *κυκῶσιν αὐτόν* om. Di 7 *τὸ* om. Orib. *μάρμαρον καὶ τὰ ὅμοια* Orib.E 8 *τῷ*] *τὸ* P *τι τοῦ ἰοῦ μέρος* Orib.E: *τι μέρος τοῦ ἰοῦ* Di 9 *τὸν μὲν* Orib.E: *τὸ μὲν* cett. *μὲν αὐτοῦ* Di *τὰ δ' ἀπὸ* Orib.EDi 10 *μαρμάρου μέρη εἶναι* Orib.: *μαρμάρου μέρη μένειν* E: *μαρμάρου μέρη ἀδιάχυτα μένειν* Di: *μαρμάρου μένειν ἀδυάχιτον* A (*ρει ἀδιάλυτα μένειν* superscr. A²) *ἀδιάλυτα* Orib.E *ἐκ τῆς ἐπιπλέον* (*ἐπϊπλεῖον* E) *παρατρίψεως καὶ τῆς τοῦ ὑγροῦ παραπλοκῆς* Orib.E 11 *τῇ* om. O *παρατροπῇ* HA (corr. A²) 12 *καὶ* (pr.) post *τῆς* colloc. Ald. 13 *χάλκανθες* Orib.E: *χάλκανθον* Q (*χαλκανθῶδες* superscr. A²) Di 14 *ἐμπλάσας* ODi: *ἐπιπάσσοι* Orib.: *ἐπιπάσαι* E: corr. Sar. *οὕτως* PFE: *οὕτω* reliqui 15 *ἔπειτα τούτων* Orib.E *καὶ τὸ ἕτερον τούτων ἐπιθήσει ἐν θερμῇ τέφρᾳ ἢ ἐπὶ ἄνθραξι* Di *εἰ ἐπὶ* HA *τῆς θερμῆς* Orib. 16 *θείης* HA *μεταβάλλεται* Di *καὶ καὶ ἐρυθραίνεται* P: *καὶ ἐρυθραίνεται* reliqui: correxi *χάλκανθες* POrib.E: *χάλκανθον* (. . *όν* F) Q: *χαλκανθῶδες* Di, superscr. A² 17 *χροιάν* P 18 nov. cap. inc. (*πδ*) EDl, *ψμζ* Di tit. *περὶ ἰοῦ σκώληκος* Di *ἰοῦ* om. Orib. 19 *ὃς μὲν* E *οὕτω* Di 20 *δὲ καὶ* om. Aet. Di *πεποιημένης* Orib.

ποιημένον ὕλης, ἐγχέας ὄξους λευκοῦ καὶ δριμέος κοτύλης ἥμισυ
τρῖβε, ἕως οὗ γλοιωθῇ, εἶτα ἔμβαλε στυπτηρίας στρογγύλης
<· δ' καὶ ἁλὸς ὀρυκτοῦ διαφανοῦς ἢ θαλασσίου ὡς ὅτι λευκο-
τάτου καὶ στερεοῦ, εἰ δὲ μή γε, νίτρου τὸ ἴσον· εἶτα λέαινε ἐν
ἡλίῳ ⟨ἐν⟩ τοῖς ὑπὸ κύνα καύμασιν, ἕως τῇ μὲν χρόᾳ ἰώδης, τῇ δὲ
συστάσει ῥυσώδης γένηται, καὶ οὕτως ἀναπλάσας σκώληκας
τοῖς Ῥοδιακοῖς ὁμοίους ἀποτίθεσο. ἐνεργὴς δὲ καὶ εὔχρους 7
γίνεται ἄγαν, ἐὰν ὄξους μὲν λάβῃ μέρος ἕν, οὔρου δὲ παιδίου
μέρη δύο, τὰ δ' ἄλλα ὡς προείρηται. τινὲς δὲ ἀποτετευγμένῳ
⟨τῷ⟩ ξυστῷ κόμι μείξαντες ἀναπλάσσουσι ⟨καὶ πωλοῦσιν⟩, ὃν
παραιτητέον ὡς φαῦλον. ἔστι δέ τις καὶ ὑπὸ τῶν χρυσοχόων
γινόμενος ἰὸς διὰ θυίας καὶ δοίδυκος Κυπρίου χαλκοῦ, ἔτι δὲ
οὔρου παιδίου, ᾧ τὸ χρυσίον κολλῶσιν. ἀναλογοῦσι δὲ κοινῶς 8
οἱ προειρημένοι ἰοὶ κεκαυμένῳ χαλκῷ, μᾶλλον δὲ ἐρρωμένοι
περὶ τὴν ἐνέργειαν. ἰστέον δὲ ὅτι προέχει μὲν αὐτῶν ὁ ὀρυ-
κτὸς σκώληξ· ἐχόμενος δ' ἐστὶν ὁ ξυστός, εἶτα ὁ σκευαστός·
δηκτικώτερος μέντοι καὶ μᾶλλον στύφων οὗτος ὑπάρχει, ὁ δὲ
τῶν χρυσοχόων ἀνάλογος τῷ ξυστῷ.
δύναται δὲ πᾶς ἰὸς στύφειν, θερμαίνειν, ἀποσμᾶν τὰς ἐν 9

19 SIM. Cels. V 2. 5. 6. 7 — Pl. XXXIV 113 D. eup. I 41 (112) — eup. I 200 (196) — Pl. l. s. 115 — Cels. V 9 Pl. 115 eup. I 183 (190) — Pl. l. s. 115 eup. I 207 (201) — Pl. 115 eup. I 79 (134) — Pl. 113 eup. I 46 (114) — Pl. 115 eup. I 128 (157).

1 ἐκχέας E καὶ om. Aet. δριμέος superscr. H^2: καὶ δριμέος mg. add. A^2 2 τρῖβε ἐν ἡλίῳ Aet. οὗ] om. Orib.Aet.: ἂν E γλοιῶδες γένηται Aet. ἔμβαλλε FOrib.: ἐπίβαλλε E: ὑπέμβαλε Aet. 3 <·δ̄ PFEDl: <ᾱ Di: τριώβολα τέσσαρα Orib.: οὐγγίας δ' (comp. scr.) HA καὶ om Orib. post ὀρυκτοῦ add. δραχμὰς δ̄ καὶ Aet. ἢ — ὅτι om. Aet. ὡς om. Orib. λευκοῦ Aet. 4 post στερεοῦ add. τουτέστι σπεκλαρίου (errore) Aet. τὸ om. PFOrib.E λέαινε] τρῖβε (post καύμασιν coll.) Aet. 5 ἐν add. e QDi ἕως ἂν Aet.E 6 ῥυπώδης P: γλοιώδης QDi: γλοιώδης ἢ ῥυπώδης Orib.Aet.E (ἢ ῥυπ. del. E^2): καὶ γλοιώδης καὶ ῥυπώδης mg. add. A^2: correxi coll. Pl. l. s 116 *donec viride fiat contrahatque se vermiculorum specie* 7 τοῖς μὲν AH (μὲν del. H^2) ὁμοίους τοῖς ῥοδιακοῖς Orib.E ὁμοίως Q (corr. A^2) 8 ἄγαν om. Orib. μὲν om. Orib. ἕν] ᾱ HA παιδίου L: παλαιοῦ reliqui, at cf. Pl. l. s. 116 9 β' F τὰ δ' ἄλλα PA: om. Q (superscr. H^2): καὶ τὰ ἄλλα δὲ Orib.: καὶ τἄλλα E δὲ τὸν Di ἀποττευγμένως (sic) P: ἀποτετευμένως A: ἀποτετευγμένον QDi: ἀποδεδουμένον Orib.: ἀποτετηγμένω E (ἀποτετευγμένω mg. add. E^2): *erugine rasiciu* Dl 10 ἐν τῷ Di τῷ addidi ex Orib.EDi κόμι POrib.: κόμη E: κόμμι AH: κόμει F: κόμμει Di καὶ πωλοῦσιν addidi ex EDiDl 12 δὲ καὶ A 13 παιδιακοῦ Orib.: παιδικοῦ E, ad rem cf. Pl. XXXIII 93 κοινῶς] καὶ Orib.: om. E 14 δὲ om. Orib. 16 ἐχομένως H^2ADi ἐστὶν om. Di εἶθ' ὁ E 18 ἀναλογεῖ Orib.

ὀφθαλμοῖς οὐλὰς καὶ λεπτύνειν, δάκρυον ἄγειν, νομὰς ἴσχειν,
τραύματα ἀφλέγμαντα τηρεῖν, ⟨τὰ παλαιὰ⟩ ἀπουλοῦν ἕλκη σὺν
ἐλαίῳ καὶ κηρῷ. σὺν μέλιτι δὲ ἑψηθέντες τύλους καὶ τὰ ῥυ-
10 *παρὰ τῶν ἑλκῶν ἀνακαθαίρουσιν. ἀμμωνιακῷ δὲ ἀναλημ-*
φθέντες εἰς κολλούρια σύριγγας καὶ τύλους ἐκτήκουσι, χρήσιμοι
δὲ καὶ πρὸς ἐπουλίδας καὶ τὰς τῶν οὔλων ἐξοχάς. ἱκανῶς
δὲ καὶ βλέφαρα λεπτύνουσι σὺν μέλιτι ἐγχριόμενοι· δεῖ δὲ
πυριᾶν μετὰ τὴν ἔγχρισιν σπόγγῳ ἐξ ὕδατος θερμοῦ· ἀναλημ-
φθέντες δὲ ῥητίνῃ τερεβινθίνῃ σὺν χαλκάνθῳ ἢ νίτρῳ λέπρας
ἐξάγουσι.
11 *καυστέον δὲ ὃν ἂν θέλῃς ἰὸν οὕτως· θλάσας αὐτὸν εἰς*
ὁλοσχερέστερα μέρη καὶ τηγάνῳ κεραμεῷ ἐπιθεὶς ἀπέρεισαι
ἐπ᾿ ἀνθράκων διαπύρων, κίνει τε, ἕως ἂν μεταβάλῃ καὶ ὑπο-
σποδίσῃ τῇ χρόᾳ· λοιπὸν δὲ ψύξας ἀποτίθεσο καὶ χρῶ. τινὲς
δὲ ἐν ὠμῇ χύτρᾳ αὐτὸν καίουσιν ὡς προείρηται, οὐκ εἰς τὸ
αὐτὸ δὲ πάντοτε καιόμενος μεταβάλλει χρῶμα.

80 *ἰὸς ⟨δὲ⟩ σιδήρου στύφει, ῥοῦν τε γυναικεῖον προστεθεὶς*
ἴσχει, πινόμενός τε ἀσυλλημψίαν ποιεῖ. ἐπιχριόμενος δὲ σὺν
ὄξει ἐρυσιπέλατα καὶ ἐξανθήματα ἐνεργῶς ἰᾶται, πρός τε παρ-
ωνυχίας καὶ πτερύγια καὶ τραχέα βλέφαρα εὔχρηστος καὶ κον-
δυλώματα, καὶ οὖλα κρατύνει, ποδαγρικούς τε ὠφελεῖ περι-

---

11 EXC. Orib. XIII s. v. (*καυστέον — χρῶμα*).

17 SIM. Pl. XXXIV 153 — Pl. l. s. D. eup. II 83 (294) — 19 Pl. l. s. eup. I 168 (181) — Pl. l. s. eup. I 190 (193) — 20 eup. I 46 (114) — 21 Pl. l. s. — eup. I 79 (134) — Pl. l. s. eup. I 235 (216) — Pl. l. s. eup. I 95 (140) — Pl. l. s. 151 — eup. II 61 (274) — eup. II 137 (327).

---

2 *τὰ παλαιὰ* addidi ex E coll. D. eup. I 183 (190)   3 *καὶ κικίδη καὶ κηρῷ* E   5 *κολλούρια* E: *κολλύρια* reliqui   *τύλους καὶ σύριγγας* Q   6 *τῶν τύλων καὶ οὔλων* E   8 post *πυριᾶν* iter. *μεταχριόμενοι· δεῖ δὲ μυριᾶν* (sic) P   *σπόγγῳ* om. E   9 *τερμινθίνη* E   *χαλκῷ* libri: corr. Sar. coll. D. eup. I 128 (158)   11 *οὕτως* PEOrib.: *οὕτω* reliqui   12 *ὁλοσχερέστερα* POrib.: *ὁλοσχερέστατα* reliqui   *κεραμέῳ* Orib.E   *ἐπέρεισον* Orib.E: *ἀπέρεισαι* reliqui, cf. D. II 76, 9   13 *ἐπὶ ἀνθράκων* Orib.: *ἐπ᾿ ἄνθρακας* E   *πεπυρωμένων* Orib.: *πεπυρωμένους* E   *μεταβάλλῃ* Q   14 *δὲ* om. Orib.   *ψύξας* A (*στύψας* superscr A²)   15 *ὠμῷ χυτριδίῳ* E   *αὐτὸ* E: om. Orib.   *ἀνωτέρω εἴρηται* Orib.E   16 *δὲ*] *μέντοι* Orib.E   *καιόμενος* om. Orib.   *μεταβάλλουσι* Orib.

17 num. cap. *ψμδ′* O: *ψμη* Di: *πε* E   tit. *περὶ ἰοῦ σιδήρου* HADi   *δὲ* addidi ex EDi   19 *ἐνεργῶς* om. QDi mg. add. A²   20 fort. *εὐχρηστεῖ*   21 *τε* om. PF: *καὶ ποδαγρικοῖς εὔχριστος· ἐπιχριόμενος ἀλωπεκίας* (*τε* superscr.) *δασύνει* E   *περιχριόμενος* P: *ἐπιχριόμενος* reliqui

χριόμενος καὶ ἀλωπεκίας δασύνει. σίδηρος δὲ πεπυρωμένος 2
ἐνσβεσθεὶς ὕδατι ἢ οἴνῳ καὶ πινόμενος ἁρμόζει κοιλιακοῖς,
δυσεντερικοῖς, σπληνικοῖς, χολεριῶσι, στομάχῳ ἀναλελυμένῳ.
ἡ δὲ σκωρία τοῦ σιδήρου δύναται ὅσα καὶ ὁ ἰὸς τοῦ σιδήρου,
ἐπ' ἔλαττον δέ· βοηθεῖ καὶ ἀκονίτῳ ποθεῖσα μετ' ὀξυμέλιτος.

81 σκευάζεται καὶ ὁ πεπλυμένος μόλυβδος τὸν τρόπον
τοῦτον· βαλὼν εἰς μολυβῆν θυίαν ὕδωρ τρῖβε δοίδυκι μολυβῷ,
ἕως ἂν μελανθῇ τὸ ὕδωρ καὶ γένηται ὑλῶδες, εἶτα διήθει αὐτὸ
δι' ὀθονίου προσεπιχέων τὸ ὕδωρ, ἵνα πᾶν τὸ διαχυθὲν ὑλι-
σθῇ, καὶ ποίει τὸ αὐτὸ πάλιν, μέχρι οὗ ἂν σοι δόξῃ αὐτάρκως
ἔχειν· εἶτα ἐάσας ὑποστῆναι τὸν πεπλυμένον ⟨μόλυβδον⟩, ἀποχέας
τε τὸ ὕδωρ καὶ ἄλλο ἐπιχέας πλῦνε ὡς τὴν καδμείαν, ἄχρι ἂν
μηκέτι ἐφίστηται μελανία, εἶτα ἀναπλάσας τροχίσκους ἀποτί-
θεσο. οἱ δὲ καθαρὸν μόλυβδον ῥινήσαντες τρίβουσιν ἐν λιθίνῃ 2
θυίᾳ δοίδυκι λιθίνῳ ἢ ταῖς χερσὶ μεθ' ὕδατος, ὑπὸ χεῖρα
ἀποχέοντες τὸ μελαινόμενον, ὅπερ ἐάσαντες ὑποστῆναι ⟨καὶ⟩
ἀποχέαντες ἀναπλάσσουσιν εὐθέως· τὸ γὰρ ἐφ' ἱκανὸν τριβό-

---

6 SIM. Pl. XXXIV 168 sq. (e S. N.).

6 EXC. Orib. XIII s. v. *μόλιβος* (*σκευάζεται — πλυνόμενον μόλυβδον*); cf. Gal. XII 230 (unde Aet. II 66. Paul. Aeg. VII 3 s. v.).

---

1 nov. cap. (πϙ̄) a *σίδηρος* inc. E tit. *περὶ σιδήρου πεπυρωμένου* mg. add. Di *σιδήρου* P, mg. add. *σίδηρος* 2 *κοιλιακοῖς ἁρμόζει* Q 3 *καὶ χολεριῶσιν* E *καὶ στομάχῳ* Di, fort. recte *ἀναλυομένω* E 4 ab *ἡ δὲ σκωρία* cap. πζ̄ inc. E, cap. ψμθ̄· *περὶ σκωρίας σιδήρου* Di *δύναται — σιδήρου* bis habet P 5 *βοηθεῖ· ποιεῖ δὲ καὶ πρὸς ἀκόνιτον* E *καὶ*] *δὲ* Di *σὺν ὀξυμέλιτι* Q *μετ' ὀξυμέλιτος ποθεὶς* (*ποθεῖσα* Di) EDi

6 num. cap. *ψμε'* O: ψν̄ Di: πη̄ E tit. *περὶ πεπλυμένου μολίβδου* H: *περὶ πεπλημένου μολύβδου* A: *περὶ μολίβδου πεπλ.* Di *μόλιβος· πλύνεται τὸν τρόπον τοῦτον* Orib. *καὶ*] *δὲ* E *ὁ* om. L *μόλιβος* Orib.: *μόλιβδος* OEDi 7 *τοῦτον τὸν τρόπον* QDi *μολιβῆν* P: *μολιβίνην* (*ίνην* in ras.) E²: *μολιβδαίνην* HADi *θυίαν* om. mg. add. P post *τρῖβε* ins. *τοῦτον τὸν τρόπον* HA *δοίδυκι* post *μολυβῷ* transpos. HAEDi *μολιβδίνῳ* H: *μολιβδίνῃ* Di: *μολυβδίνῳ* F: *μολύβδῳ* L 8 *ὑλῶδες ἢ γλυῶδες* E²: *ὑλ. ἢ χυλῶδες ἢ πηλῶδες* Di: *ἢ χυλῶδες ἢ πηλῶδες* superscr. H², mg. add. A²: *ἰλυῶδες* coni. Marc. 9 *τὸ* (pr.)] om. Orib. Di: in ras. E²: *τε* H *διαλυθὲν* Di 10 *μέχρι οὗ ἂν* PFE: *μέχρις οὗ ἂν* L: *μέχρις ἂν οὗ* Orib.: *μέχρις ἂν* H: *ἄχρις ἂν* Di *σοι* om. Orib. 11 *καταστῆναι* Orib.Di *τὸ πεπλ.* Di *μόλυβδον* addidi ex E *ἀπόχει* Orib. 12 *τε* om. Orib.O *μέχρι ἂν* E: *ἄχρις ἂν* QDi: *ἄχρις* (om. *ἂν*) A: *ἄχρι* (om. *ἂν*) Orib. 13 *μέλαν* Orib. *εἶτα* om. Orib.EDi *ἀναπλάσας τε* Orib.E: *ἀναπλ. δὲ* Di 14 *οἱ δὲ*] *τινὲς δὲ* E *ῥινίσαντες* LQ 15 *ὑπὸ χεῖρας* Orib. post *ὑπὸ χεῖρα* add. *κατ' ὀλίγον* QDi, ante *ὑπὸ χεῖρα* L, mg. PE²: incerta sedes evincit glossema, cf. D. II 76, 1 16 *ἐπιχέοντες* QDi: *ἀποχέαντες* E *καὶ* addidi ex EDi *καὶ ἀποχέαντες* om. Orib. 17 *ἀποχέαντες* E: *ἀποχέοντες* reliqui

μενον γίνεται ψιμυθίῳ ὅμοιον. ἔνιοι δὲ προσεμβάλλουσι τοῖς ῥινήμασιν ὀλίγην μολύβδαιναν, φάσκοντες βελτίονα εἶναι τὸν οὕτως πλυνόμενον μόλυβδον.

3 δύναται δὲ στύφειν, ψύχειν, παρεμπλάττειν, μαλάττειν πληροῦν τὰ κοιλώματα, στέλλειν τὰ ἐν τοῖς ὀφθαλμοῖς ῥεύματα καὶ τὰ ὑπερσαρκοῦντα τῶν ἑλκῶν. ἔστι δὲ καὶ ἴσχαιμος, καὶ ⟨ποιεῖ⟩ πρὸς τὰ ἐν δακτυλίῳ ἕλκη, κονδυλώματα, αἱμορροΐδας μετὰ ῥοδίνου καὶ τὰ δυσκατούλωτα, καὶ καθόλου ποιεῖ, ὅσα καὶ ἡ σποδὸς δίχα τοῦ ἐσχαροῦν. ὁ δὲ ἀκέραιος μόλυβδος παρατριβόμενος βοηθεῖ σκορπίου θαλασσίου καὶ δράκοντος πληγῇ.

4 καίεται δὲ ὁ μόλυβδος οὕτως· λαβὼν μολύβδου ἐλάσματα ὡς ὅτι λεπτότατα ἐπίθες ἐπὶ καινὴν λοπάδα, καὶ ἐπιπάσας θεῖον πάλιν ἕτερα ἐπίθες πέταλα καὶ θεῖον ἐπίπασσε καὶ πάλιν ἕτερα, καὶ τὸ αὐτὸ ποίει, ἄχρι οὗ πληρώσῃς τὴν λοπάδα, εἶτα ὑπόκαιε· ἀναφθέντος δὲ τοῦ μολύβδου κίνει σιδήρῳ, ἄχρι ἂν ἀποτεφρωθῇ τελέως καὶ μηδὲν ἐντρέχῃ μολυβδῶδες, καὶ ἀναιροῦ, σκεπάσας τοὺς ῥώθωνας· βλαβερὰ γὰρ ἡ ἀποφορά.
5 ἢ ῥινήματα μολύβδου βαλὼν μετὰ θείου εἰς λοπάδα οὕτως καῖε· οἱ δὲ εἰς κύθραν ὠμὴν βαλόντες τὰ πέταλα, ὡς εἴρηται, ἐν καμίνῳ ἐντιθέασιν ἢ ἐπὶ ἐσχάρας, περιπλάσαντες τὸ πῶμα

---

4 SIM. Pl. l. s. 169 — 5 Cels. VI 6, 5 Pl. l. s. — 6 D. eup. I 189 (193) — Cels. V 1 — 7 Pl. l. s. eup. I 212 (205) — eup. I 182 (190).
12 EXC. Orib. XIII s. v. (*καίεται — ἀποφορά, δεῖ δὲ πλύνειν — μᾶλλον*).

---

2 *ῥινίσμασιν* Q 3 *οὕτω* HADi *μόλυβδον* om. E 4 *ὁ δὲ πεπλυμένος μόλιβος δύναται* E *ψύχειν, στύφειν* QDiDl post *ψύχειν* add. *σμίχειν* E 5 *καὶ στέλλειν* E 7 *ποιεῖ* addidi *τοῖς δακτύλοις* H: *τῷ δακτυλίῳ* Di *καὶ αἱμορροΐδας καὶ κονδυλώματα* E 9 *ἡ* om. L 10 *βοηθεῖ τῇ* (om. F) *τοῦ θαλασσίου σκορπίου* QDi 11 *πληγάς* E 12 nov. cap. (*ψνα*) *περὶ μολίβδου κεκαυμένου* inc. Di 13 *ὡς*] *ἐς* F *ἐπίθες* om. Orib. *ἐπὶ*] *εἰς* Di *ἐπίπασσε* E: *ἐπιπας* (sic) P *ἐπίθες ἕτερα πάλιν πέταλα* Orib.: *πάλιν ἐπίθες ἄλλα πέταλα μεγάλα* E 14 *ἐπίπασσε — ἕτερα* om. Orib. *ἐπίπασον* E *καὶ* (alt.) — *ἕτερα* om. EDi 15 *τὸ αὐτὸ δὲ* E: *τοῦτο* Di *ἄχρι οὗ* P: *ἄχρις ἂν οὗ* E: *ἄχρις ἂν* Orib.HADi: *ἄχρι οὗ ἂν* F 16 *ὑπόκαε* Orib. *ἀφθέντος* PL *ἄχρις ἂν* Orib.HADi: *ἄχρι οὗ ἂν* F 17 *παντελῶς ἐκτεφρωθῇ* Orib.E *καὶ* (pr.) om. Orib.E *μηδενὸς φαινομένου* (*ἐντρέχοντος* E) *μολιβδώδους* Orib.E *ἐντρέχῃ* Di: *.τρέχῃ* P: *τι ἔχῃ* LFA (*ἐντρέχει ἀκαὲς μολυβδῶδες* superscr. A[2]): *ἔχῃ* H *ἀκαὲς μολιβδῶδες* Di *καὶ ἀναιροῦ* om. E. 18 *σκέπεται δὲ* Orib.: *κατάσκεπε δὲ* E 19 *ἐν λωπάδι* E *οὕτω* HDi 20 *ἔνιοι δὲ* E *βάλλοντες* PLF: *ἐμβάλλοντες* E: *βαλόντες* reliqui 21 *ἐν* om. EDi *ἐπιτιθέασιν* L: *τιθέασιν* HA

καὶ ὀλίγην δόντες ἀναπνοήν. οἱ δὲ ψιμύθιον παρεπιπάττουσιν ἀντὶ τοῦ θείου ἢ κριθάς. οἱ δὲ ἀκεραίους τὰς λεπίδας ἐπι- 6
θέντες ὀξεῖ πυρὶ χρῶνται καὶ κινοῦσιν ἐπιτεταμένως σιδήρῳ, ἄχρι ἂν ἐκτεφρωθῇ· ἔστι δὲ δυσχερὴς ἡ τοιαύτη καῦσις· καὶ ἐπὶ πλεῖον δὲ καεὶς λιθαργύρου λαμβάνει ⟨τὸ⟩ χρῶμα. ἡμῖν μέντοι ἀρέσκει ἡ πρώτη καῦσις· δεῖ δὲ πλύνειν αὐτὸν ὡς τὴν καδμείαν καὶ ἀποτίθεσθαι.

δύναμιν δὲ ἔχει, ἣν καὶ ὁ πεπλυμένος μόλυβδος, εὐτονωτέραν δὲ μᾶλλον.

82 σκωρία δὲ μολύβδου ἐστὶν ἀρίστη ἡ ψιμυθιοφανής, πυκνὴ δὲ καὶ δύσθραυστος, μηδὲν ἔχουσα μολυβδῶδες, μηλινοειδὴς δὲ τῷ χρώματι καὶ ὑαλίζουσα.

δύναται δὲ τὰ αὐτὰ τῷ κεκαυμένῳ μολύβδῳ, στύφουσα μᾶλλον.

πλύνεται δ' ἐν θυίᾳ ἐπιχεομένου ὕδατος καὶ ἀποχεομένου τοῦ ἐφισταμένου μηλίνου χρώματος. πολλάκις δὲ τοῦτο γίνεται, ἄχρι οὗ ἂν ἀναλωθῇ ἡ σκωρία, τό τε λοιπὸν ἐάσαντες ὑποστῆναι αὐτὴν ἀποχέομεν τὸ ὕδωρ καὶ οὕτως ἀναπλάσσομεν.

83 καὶ ὁ μολυβδοειδὴς δὲ λίθος ἀνάλογον ἔχει τὴν δύναμιν τῇ σκωρίᾳ· πλύνεται δὲ ὁμοίως.

84 στίβι δὲ κράτιστόν ἐστι τὸ στίλβον καὶ λαμπυρίζον,

10 SIM. Pl. XXXIV 171 (e S. N.).

20 SIM. Pl. XXXIII 101 sq. (e S. N.); Erot. s. v. φαρμάκοισι πλατυοφθάλμοις (133, 3).

20 EXC. Orib. XIII s. v. (στίβι — ἐκάλεσαν, ὀπτᾶται — σκωρίᾳ); cf. Orib. Syn. II 56 (V 82 D.) Ps. Gal. simpl. s. v. Gal. XII 236 (unde Aet. II 72. PA VII 3 s. v.).

1 post ἀναπνοήν add. οὕτως καίουσιν E: καίουσιν Di ἐπιπάσσουσιν E: παρεμπάσσουσιν Di 2 ἐπιτιθέντες HAE² (in ras.) 3 ἐπιτεταμένῳ Q σιδηρίῳ Di 4 ἄχρις ἂν HADi καὶ — καῦσις (v. 6) om. E 5 πλεῖον scripsi: πλέον libri καεὶς οὕτω Di τὸ addidi e Di 6 αὐτὸν HEDi: αὐτὸ Orib.: αὐτὴν PLF τὴν om. Orib. 7 ἀποθέσθαι Orib.

10 num. cap. ψμϙʹ O: ψνβ Di: πθ E tit. περὶ σκωρίας H: περὶ σκωρίας μολίβδου Di ψιμμιθιοφανής Di: μὴ θειοφανής PFE: μιθειοφανής L: *quae cerusse visum habet* Dl 11 μηλοειδὴς libri: corr. Sar. coll. Pl. l. s. *optima quae maxime ad luteum colorem accedit* 12 ὑελίζουσα QDi 13 στύφουσα δὲ E 14 τοῦ ὕδατος Di 15 τοῦ ἐφισταμένου om. superscr. H δὲ] τε HDi 16 ἄχρις ἂν HDi ἂν om. P post ἂν add. πᾶσα E σκωρία τοῦ μολίβου E 17 ὑποχεομένου τοῦ ὕδατος (om. καὶ) O

18 num. cap. ψμζʹ O: ψνγ Di: ϙ E tit. περὶ λίθου μολιβδοειδοῦς HDi μολιβδίτης E: μολοβδοειδὴς P 19 δὲ] τε E

20 num. cap. ψμηʹ O: ψνδ Di: ϙα E tit. περὶ στίμμεως QDi στίβι PL: *stibu* Dl: *stimi appellant, alii stibi* Pl: στίμι Orib.E: στίμμι reliqui δὲ om. Orib. στιλβότατον E: στιλπνότατον HADi

ἐν τῇ θραύσει πλακῶδες, μηδὲν ἔχον γεῶδες ἢ ῥυπαρόν, εὐχερῶς τε θλώμενον. τοῦτο ἔνιοι πλατυόφθαλμον, οἱ δὲ λάρβασον ἐκάλεσαν.

2 δύναμιν δὲ ἔχει παρεμπλαστικήν, στυπτικήν, ψυκτικήν, σταλτικὴν τῶν ὑπερσαρκούντων, ἀπουλωτικὴν ἑλκῶν καὶ καθαρτικὴν ῥυπαριῶν καὶ τῶν ἐν ὀφθαλμοῖς ἑλκῶν. ἐπέχει δὲ καὶ τὰς ἐκ μήνιγγος αἱμορραγίας, καὶ καθόλου δὲ ἐμφερής ἐστιν ἡ δύναμις αὐτοῦ τῷ κεκαυμένῳ μολύβδῳ. ἰδίως δὲ κατακαύματα οὐκ ἐᾷ ἐσχαροῦσθαι σὺν στέατι νεαρῷ καταχρισθὲν καὶ ἀπουλοῖ τὰ ἐσχαρωθέντα κηροῦ καὶ ὀλίγου ψιμυθίου μιγέντων.

3 ὀπτᾶται δὲ στέατι περιπλασθὲν καὶ ἐγκρυβὲν εἰς ἄνθρακας, ἄχρι ἂν ἀνθρακωθῇ τὸ στέαρ· ἐξαιρεθὲν δὲ σβέννυται γάλακτι ἀρρενοτόκου γυναικὸς ἢ οἴνῳ παλαιῷ. καίεται δὲ ἐπ᾽ ἀνθράκων ἐπιτεθὲν καὶ ἐμφυσηθὲν ἄχρι πυρώσεως· ἐὰν γὰρ ἐπὶ πλεῖον καῇ, μολυβδοῦται. πλύνεται δὲ ὡς ἡ καδμεία καὶ ὁ χαλκὸς ⟨κεκαυμένος⟩· ἔνιοι δὲ ὁμοίως τῇ τοῦ μολύβδου πλύνουσι σκωρίᾳ.

85 μολύβδαινα δέ ἐστιν ἀρίστη ἡ λιθαργυροφανής, ξανθή, ὑποστίλβουσα καὶ κιρρὰ ἐν τῷ λειοτριβεῖσθαι, ἑψηθεῖσά

---

8 SIM. D. eup. I 178 (187) Pl. l. s. 102.
11 SIM. Pl. l. s. 103.
18 SIM. Pl. XXXIV 173 sq. (e S. N.).
18 EXC. Orib. XIII s. v. (*μολύβδαινα — δυνάμεσιν*); Orib. Syn. II 56 (V 81); Gal. XII 229 (unde Aet. II 65 PA VII 3 s. v.); Ps. Gal. simpl. s. v.

---

1 *θραύσει* (*καύσει* superscr. A^2) A post *θραύσει* dist. Orib. *εὐχερῶς* (*εὐθέως* superscr. A^2) A 2 *θραυόμενον* Orib. post *τοῦτο* add. *οἱ μὲν στίβι* ADi, superscr. H^2 *ἔνιοι μὲν* E: *οἱ δὲ* HDi ad *πλατυόφθαλμον* cf. Pl. l. s. 102. Erot. l. s. *χάρβασον* Orib.: *λάβαρσον* LA (corr. A^2): *larvoson* Dl: *larbasim* Pl. post *λάρβ.* add. *οἱ δὲ γυναικεῖον· οἱ δὲ χαλκιδόνιον* Di, mg. add. *οἱ δὲ γυναικεῖον, οἱ δὲ χαλκιδόνιον, οἱ δὲ στίβι ἐκάλεσαν* H^2 4 *ἐμπλαστικήν* OADi: correxi ex $EDlA^2$ *ψυκτικήν, στυπτικήν* E 5 *ἑλκῶν* om. Di *καὶ* om. Di, delevit E^2 6 *ῥυπαρῶν* PLE *ἐπέχει*] *ἴσχει* E 7 *δὲ* om. E *ἐστὶν ἐμφερὴς* E 8 *τὰ κατακαύματα* EDi 9 *νεαρῷ* post *καταχρισθὲν* coll. QDi, at cf. D. eup. l. s. 10 *ἐσχαροῦντα* QDi *μιγέντος* E 11 *στέατι*] *σταιτὶ* Orib.E^2, at cf. Pl. l. s. 104 *quidam non fimo utuntur coquentes, sed adipe.* *στέαρ* hoc loco idem significat ac *σταῖς*, ut recte monet Sar., cf. D. II 158 (224, 11) 12 *ἄχρις ἂν* QDi: *μέχρις* Orib.: *μέχρι* E post *ἀνθρακωθῇ* c. 8 litt. del. E^2 *σταῖς* Orib.E: *στέαρ* E^2 13 *ἀρρενογόνου* Orib.E 14 *ἐκφυσηθὲν* Orib.E 15 *πλέον* QDi *μολιβδοῦται* Orib. 16 *κεκαυμένος* addidi e Dl 17 *πλύνουσιν αὐτὸ σκωρίᾳ* Orib.E

18 num. cap. *ψμθ'* O: *ψνε* Di: *ϙβ* E tit. *περὶ μολιβδαίνης* QDi *μολίβδαινα* Orib.EA *καλὴ* Orib.E *ἀρίστη ἐστὶν* Di *λιθαργυροειδής* Orib.E

τε ⟨ἐν⟩ ἐλαίῳ ἠπατοειδὴς τῷ χρώματι· ἡ δὲ ἀερίζουσα ἢ μολυβδόχρους φαύλη. γεννᾶται δὲ ἐξ ἀργύρου καὶ χρυσοῦ. ἔστι δέ τις καὶ ὀρυκτὴ κατὰ Σεβαστὴν καὶ Κώρυκον εὑρισκομένη, ἧς καὶ αὐτῆς ἐστι βελτίων ἡ μὴ σκωριοειδὴς μηδὲ λιθώδης, ξανθὴ δὲ καὶ στίλβουσα.

δύναμιν δὲ ἔχει ὁμοίαν λιθαργύρῳ καὶ σκωρίᾳ μολύβδου, 2 *πλύσιν τε καὶ καῦσιν τὴν αὐτήν. μείγνυται δὲ ἐπιτηδειότερον αὕτη καὶ ταῖς λιπαραῖς καὶ ἀνεπιδέτοις ⟨ἐμπλάστροις⟩ χρησίμως, οὖσα σαρκωτικὴ καὶ ἀπουλωτική, ταῖς μέντοι σμηκτικαῖς οὐχ ἁρμόζει δυνάμεσιν.*

86 *ἡ δὲ τοῦ ἀργύρου σκωρία καλεῖται ἕλκυσμα.*

τὴν δ᾽ αὐτὴν ἔχει τῇ μολυβδαίνῃ δύναμιν, ὅθεν ἐμπλάστροις ⟨τε⟩ φαιαῖς μείγνυται καὶ ἀπουλωτικαῖς, στυπτικὴ οὖσα καὶ ἐμπλαστική.

87 *λιθάργυρος· ἡ μέν τις ἐκ τῆς μολυβδίτιδος καλουμένης ἄμμου γεννᾶται, χωνευομένης ἄχρι τῆς τελείας ἐκπυρώσεως, ἡ*

---

11 SIM. Pl. XXXIII 105 (e S. N.).

11 EXC. Orib. XIII s. v. *σκωρία (ἀργύρου — δύναμιν)*; cf. Gal. XII 236 (unde Aet. II 71).

15 SIM. Pl. XXXIII 106 sq. (e S. N.).

15 EXC. Orib. XIII s. v. (*λιθάργυρος — ἀποτίθεσο*); cf. Syn. II 56 (V 80 D.); Gal. XII 224. Aet. II 60. PA VII 3 s. v. Ps. Gal. simpl. s. v. spuma argenti.

---

1 *τε*] *δὲ* Orib. *ἐν* addidi: *μετ᾽ ἐλαίου* Orib.E: *coctura in oleo* Dl *τὸ χρῶμα* E post *χρ.* add. *γίνεται* EDi *ἐαρίζουσα* F *μολιβώδης* Orib.: *μολιβδόχρους* E 2 *γίνεται* E accuratius Pl. l. s. *adhaerescit et auri argentique fornacibus* 3 *σεβάστειαν* QDi: *σεβάστιν* (*α* extr. syll. superscr. E²) E, cf. Steph. B. s. v. *Ἐλαιοῦσσα* *ἧς καὶ αὐτῆς*] *καὶ ταύτης* EDi 4 *βελτίων ἐστὶ* Q *σκωροειδὴς* Orib.E 7 *τε*] *δὲ* Orib.Di 8 *αὕτη* Orib.Di: *αὐτὴ* reliqui *τοῖς* HA *λιπαραῖς*] *ἐμπλάστροις* EQA (*λιπαραῖς* superscr. A²) ad *λιπαραῖς* cf. Cels. V 19, 25 *ἀνεπιδέτοις* Orib.: *ἀνεπιτοῖς* PL: *ἀνεπιδεήτοις* F: *ἀνεπιδήκτοις* HADi: *emplastris quae non inligantur, sed inlita ad cicatricem perducunt* Pl. *ἐμπλάστροις* addidi e Di *χρήσιμος* Orib. 9 *καὶ* om. E: *καὶ ἀπουλωτική* om. O, mg. add. A², at cf. DlPl. *κολλητικαῖς* pro *σμηκτικαῖς* Di 10 *οὐκ* P

11 num. cap. *ψν′* O: $\overline{ψνϙ}$ Di: $\overline{ϙγ}$ E tit. *περὶ σκωρίας ἀργύρου* QDi *σκωρέα* Orib. *ἔγκαυσμα* QA (*ἕλκυσμα* superscr. A²): *ἔγκλυσμα* Di: *elpis* Dl 12 *τὴν αὐτὴν δὲ* EADi *τῇ* om. Orib.PQ *δύναμιν τῇ μολυβδαίνῃ* ADi 13 *τε* addidi ex E *φαιοῖς* P, de emplastris nigris cf. Cels. V 19, 2. 20 *καὶ* (pr.) om. HA *ἐπουλωτικὴ* HA *οὖσα* post *ἐμπλ.* colloc. HA *ἐμπλαστική* corr. Sar., *ἐπισπαστική* libri

15 num. cap. *ψνα′* O: $\overline{ψνζ}$ Di: $\overline{ϙδ}$ E tit. *περὶ λιθαργύρου* QDi *λιθάργυρος δὲ* E *μολυβδαίτιδος* P: *μολιβδαίτιδος* QL: *μολιβδίτιδος* E *λεγομένης* Orib.E 16 *γίνεται* Orib.E *χωνευομένη* E *τῆς* om. Orib.EDi *τελέας* Orib.

δὲ ἐξ ἀργύρου ἡ δὲ ἐκ μολύβδου. διαφέρει δὲ ἡ Ἀττική, δευ-
τερεύει δὲ ἡ Σπάνη, μεθ' ἃς ἡ ἐν Δικαιαρχίᾳ καὶ Σικελίᾳ·
πλείστη γὰρ ἐν τοῖς τόποις ⟨τούτοις⟩ γεννᾶται μολυβῶν ἐλασ-
2 μάτων ἐκφλογουμένων. καλεῖται δὲ ἡ μὲν ξανθὴ καὶ στίλβουσα
χρυσῖτις, ἥτις ἐστὶ κρείττων, ἡ δὲ πελιὰ ἀργυρῖτις, ἡ δὲ ἐκ
τοῦ ἀργύρου σκαλανθρῖτις.

δύναμιν δὲ ἔχει στυπτικήν, μαλακτικήν, ψυκτικήν, παρεμ-
πλαστικήν, κοιλωμάτων πληρωτικήν, σταλτικὴν τῶν ἐκσαρκούν-
των καὶ ἀπουλωτικήν.

3 καύσεις δὲ αὐτὴν οὕτως· κατακόψας εἰς καρύων μεγέθη
⟨καὶ⟩ ἐπιθεὶς ἐπ' ἄνθρακας, ἐκριπίσας τε ἄχρι πυρώσεως καὶ
περιμάξας τὴν περικειμένην ἀκαθαρσίαν ἀποτίθεσο. ἔνιοι
δὲ ὄξει ἢ οἴνῳ σβεννύντες αὐτὴν ἐπὶ τρὶς πάλιν καίουσι, καὶ
ταῦτα ποιοῦντες ἀποτίθενται. πλύνεται δὲ ὡς ἡ καδμεία.

4 λευκαίνεται δὲ οὕτως· λαβὼν τῆς ἀργυρίτιδος λεγομένης,
εἰ δὲ μή γε, τῆς ἄλλης θραῦσον εἰς μεγέθη κυάμων ὅσον χοί-
νικα Ἀττικήν, βαλών τε εἰς καινὴν χύτραν ἐπίχει ὕδωρ, προσ-
εμβάλλων πυρῶν λευκῶν χοίνικα καὶ ἰδίᾳ ἐν ὀθονίῳ καθαρῷ
ἀραιῷ κριθῶν δράκα ⟨δήσας⟩ ἀπὸ τοῦ ὠτὸς τῆς κύθρας κρέμασον,
5 ἕψε τε, ἕως ἂν ῥαγῶσιν αἱ κριθαί. εἶτα κατεράσας πάντα εἰς
κρατῆρα πλατύστομον, τοὺς μὲν πυροὺς ῥῖψον χωρίσας, τὴν

---

2 *σπανή* LHEDi: *ἰσπανή* Orib. *ἐν* (in ras), post *ἐν* c. 14 litt. del. E² *δικαρχία* (*δικαρ* in ras.) E² post *Δικ.* add. *καὶ ἐν καμπανίᾳ*Di, superscr. H²: *τῆς καμπανίας* coni. Sar. *ἐν σικελίᾳ* E post *σικελίᾳ* addidit *καὶ ποτιόλους καὶ βαίας* Di, cf. Pl. l. s. 3 *ἐν τοῖσδε τοῖς* Di: *τοῖσδε* post *γεννᾶται* add. A, superscr. H² *τούτοις* addidi ex E *μολύβων* PL: *μολιβδῶν* QDi: *μολίβου* E 4 *ἀποστίλβουσα* Orib.E 5 *πελιὰ*] *ἐν Σικελίᾳ* DiH, at cf. Dl *fusca vero argiritis dicitur*: *πολιὰ* coni. Salm. hom. 224 6 *σκαλαυρῖτις* E: *σκαλανθρίς* Orib.: *καλαυρῖτις* reliqui: *calautris* Dl: *scelerelythris* Pl. l. s. 108: *Λαυρῖτις* coni. Fallopius: correxi 7 *μαλακτικήν* post *παρεμπλαστικήν* coll. Orib.E *ψυκτικήν* om. E *ψυκτικήν, παρεμπλαστικήν* post *ἀπουλωτικὴν* transpos. Di 8 *σταλτικὴν* om. E *ὑπερσαρκούντων* Orib.E 9 *καὶ* om. E 10 *καῦσις δὲ αὐτῆς* (om. *οὕτως*) E *αὐτὴν οὕτ.* om. Orib. *οὕτως* PF: *οὑτωσί* L: *οὕτω* H: om. Di *καταθραύσας αὐτὴν* Orib. *μέγεθος* L 11 *καὶ* (pr.) addidi e Di *ἐπιθεὶς* PL: *ἐπιτίθει* H: *ἐπίθει* F: *ἐπίθες* EDi 12 *προσκειμένην* Orib. 13 *σβέσαντες* Orib.E *πάλιν* om. Di 14 *τὰ αὐτὰ* E *ποιήσαντες* Orib.EDi 15 *οὕτω* HDi 16 *εἰ*] *ἢ* P *κατάθραυσον* Orib.Di: *κατάθραυστον* E *κυάμου* Q *ὅσον*] *ὡς* L: *ὅσων* P 17 *καὶ βαλὼν* ||||| (3 litt. del. E²) E *προσεμβαλὼν* ||||| (5 litt. del. E²) *χοίνικα λευκῶν πυρῶν* E 19 *ἀραιῷ καθαρῷ* Q: *ἀραιῷ* om. Orib.E (mg. add. E²) *δήσας* addidi e Di: *ἢ καὶ* Orib.: *καὶ* L *κρεμάσας ἕψε* Orib.: *κρέμασον* om. Di 20 *τε* scripsi: om. Di: *δὲ* reliqui *καταράσας* Orib.: *μετεράσας* E 21 *πλατύστομον καινὸν* QDi *χωρὶς* O

δὲ λιθάργυρον ἐπιχέας ὕδωρ πλῦνε βιαίως ταῖς χερσὶ προστρί-
βων ἅμα, εἶτα ἀνελόμενός τε αὐτὴν καὶ ξηράνας τρῖβε ἐν θυίᾳ
Θηβαικῇ ἐπιχέων θερμὸν ὕδωρ, ἕως ἂν διαλυθῇ, καὶ ἀπηθήσας
τὸ ὕδωρ πάλιν τρῖβε δι᾽ ὅλης τῆς ἡμέρας· εἰς ἑσπέραν δὲ ἐπιχέας
ὕδωρ θερμὸν ἔασον, καὶ πρωὶ ἀπηθήσας ἄλλο ἐπίχει καὶ ἀπή-
θει τῆς ἡμέρας τρίς· τοῦτο ποίει ἐπὶ ἡμέρας ἑπτά. εἶτα μεί- 6
ξας τῇ μνᾷ τῆς λιθαργύρου ἁλῶν ὀρυκτῶν <-ε′, θερμόν τε
παραχέων λέαινε τρὶς τῆς ἡμέρας, ἀπηθῶν καὶ μειγνὺς ὕδωρ.
ὅταν δὲ λευκὴ γένηται, θερμὸν ἐπιχέων τὸ αὐτὸ ποίει, ἄχρι
ἂν μηδεμίαν ἔμφασιν ἁλυκότητος ἔχῃ, καὶ ξηράνας ⟨ἐν⟩ ὀξυ-
τάτῳ ἡλίῳ προεκβάλλων τὴν ἰκμάδα ἀποτίθεσο. ἢ λαβὼν 7
τῆς ἀργυρίτιδος μνᾶν μίαν λέανον ἐπιμελῶς, καὶ τρίψας μεῖξον
ἁλῶν τριπλάσιον λείων ὀρυκτῶν, καὶ βάλε εἰς καινὴν χύτραν, ἐπι-
χέας τε ὕδωρ ὥστε ὑπερέχειν κίνει ἑκάστης ἡμέρας πρωὶ καὶ δεί-
λης, προσεπιχέας ὕδωρ μηδὲν τοῦ πρώτου ἀποχέων, καὶ ποίει
τοῦτο ἐπὶ ἡμέρας τριάκοντα· μὴ κινουμένη γὰρ ἀποστρακοῦται.
μετὰ δὲ ταῦτα ἀποχέας πραέως τὴν ἅλμην, ἐν Θηβαικῇ θυίᾳ τὴν 8
λιθάργυρον λέαινε, καὶ βαλὼν αὐτὴν εἰς κεραμεοῦν ἀγγεῖον
ἐπιχέας τε ὕδωρ κίνει ταῖς χερσὶν ἐπιμελῶς, ἀποχέων τὸ
πρῶτον καὶ ἕτερον ἐπιχέων, ἄχρι οὗ ἂν μηδεμίαν ἔμφασιν τῆς
ἁλυκότητος ἔχῃ· εἶτα ἀποχέας τὸ λευκὸν τῆς λιθαργύρου εἰς
ἄλλο ἀγγεῖον ἀνάπλασσε τροχίσκους καὶ ἀπόθου εἰς μολυβῆν
καταχρισθὲν ὠφελεῖ, καὶ δυσηκοίαν ὑποθυμιώμενον διὰ σίφω-
νος. θεραπεύει καὶ ληθαργικοὺς ὑποθυμιώμενον, αἱμορραγίας τε
ἴσχει, θλάσεις τε ὤτων σὺν οἴνῳ καὶ σμύρνῃ καταχριόμενον ἰᾶται.

108 κίσηριν δὲ προκριτέον τὴν κούφην ἄγαν καὶ

---

5 SIM. schol. Nic. l. s. eup. I 128 (157) — Pl. 177. eup. I 119 (153) — 7 Pl. 177. eup. II 122. 126 (321. 322) — 9 eup. II 56 (267) — 11 Zop. (Orib. II 574). eup. II 27 (237) — 12 Pl. 177. eup. I 235 (217) — schol. Nic. l. s. — 14 eup. I 209 (203) — 15 eup. I 66 (126).

16 SIM. Th. lap. 19sq. Pl. XXXVI 155sq. (e S. N.), unde Isid. XVI 3, 7.

16 EXC. Orib. XIII s. v. (*κίσηριν — χρῶ, Θεόφραστος — ζέσιν*), cf. Orib. V 80 (D.); Gal. XII 221.

---

2 fort. *ᾠῷ ῥοφητῷ* coll. D. eup. II 31 (242) 3 *ἔτι δὲ καὶ* E 4 *τερμινθίνῃ ῥειτίνῃ* E *μιχθὲν* Di *σὺν — ῥητίνῃ* (v. 6) om. QDl, mg. add. H², cf. D. eup. I 128 (157) *θεῖον ἄπυρον σὺν ὄξει ἢ τερεβινθίνῃ ῥητίνῃ ἀναλημφθέν* (sc. *λέπραν θεραπεύει*) 5 *μὲν* om. E (at *ποιεῖ* in ras.) 6 *δὲ* (pr.) om. LADi *σκορπιοπλήκτας* A *σὺν ὄξει — παραιτεῖται* om. A, mg. add. A² *καταχριόμενον* E: *καὶ* Di: om. cett., correxi ex E coll. D. eup. II 126 *σκορπίου θαλασσίου πληγὴν ἰᾶται θεῖον ἄπυρον σὺν ὄξει ἀνατριβόμενον* 7 *δρακοντίου θαλασσίου καὶ σκορπίου πληγὴν ἰᾶται* Di *θαλαττίου* ad *σκορπίου* quoque pertinet 8 ante *κνησμοὺς* mg. add. *τρόμους καὶ* A²: post *κνησμοὺς* mg. add. (cum -|-) *καὶ πόνους* E 9 *δὲ* om. PF 10 *ἐπιπαττόμενον* E *τῷ ποτῷ*] *τῷ μετώπῳ* HADi, at cf. D. eup. II 56 *θείου ἀπύρου κοχλιάριον ἐπιπασσόμενον ὕδατι καὶ ῥοφούμενον* 11 *πρὸς* (alt.) om. EQDi *ἱδρῶτα* PQ 12 *καταπλασσόμενον* O, at cf. D. eup. II 27 *ἵστησι δὲ ἱδρῶτας ἐπὶ τῶν διαφορουμένων καταπασσόμενα γῇ Σαμίᾳ . . . θεῖον ἄπυρον* post *καταπασσόμενον* deest cod. P *ποδαγρικοῖς . . . συμβάλλεται* Di 13 *χρισθὲν* HA *ὠφελεῖ* om. E *πρὸς δυσηκοίαν* E *διὰ — ὑποθυμιώμενον* om. L 14 *ὑποθυμιώμενον* om. Q *αἱμορραγίαν* QDi 15 *σμύρνῃ*] *μέλιτι* LQ (corr. H²), at cf. D. eup. I 66 *θεῖον ἄπυρον σὺν σμύρνῃ καὶ οἴνῳ καὶ λιβάνῳ καὶ πίσσῃ καταχριόμενον* (sc. *θλάσεις τῶν ὠτίων ἰᾶται*)

16 num. cap. *ψοβ'* Q: *ψση* Di: *ρις* E tit. *περὶ κισσήρεως* QDi *κίσηριν* E: *κίσσηριν* reliqui *ἄγαν* om. Orib.: ante *κούφην* transpos. QDi

πολύκενον, σχιστήν τε καὶ ἄλιθον, ἔτι δὲ ψαθυράν τε καὶ λευκήν.

καυστέον δὲ οὕτως· λαβὼν αὐτῆς ὁπόσον ἂν θέλῃς διαπύροις ἔγκρυψον ἄνθραξιν· ὡς δ' ἂν ἐκπυρωθῇ, ἀνελόμενος σβέσον οἴνῳ εὐώδει καὶ πάλιν πυρώσας σβέσον· τὸ δὲ τρίτον δι' ἑαυτῆς ἔασον ψυγῆναι καὶ ἀπόθου καὶ χρῶ.

δύναμιν δὲ ἔχει στυπτικήν ⟨τε⟩ καὶ σμηκτικὴν οὔλων καὶ 2 *ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κόραις μετὰ τοῦ θερμαίνειν, πληρωτικήν τε ἑλκῶν καὶ κατουλωτικήν, ἔτι δὲ καὶ κατασταλτικὴν ὑπεροχῶν καὶ σμηκτικὴν ὀδόντων λεία καὶ σώματος εἰς ψίλωσιν τριχῶν. Θεόφραστος* (h. pl. IX 17, 3) *δὲ ἱστορεῖ, ἐὰν εἰς ζέοντα οἴνου πίθον καθῇ τις κίσηριν, παύεσθαι παραχρῆμα τὴν ζέσιν.*

109 *τῶν δὲ ἁλῶν ἐνεργέστατον μέν ἐστι τὸ ὀρυκτόν. τούτου δὲ κοινῶς μὲν τὸ ⟨λευκὸν καὶ⟩ ἄλιθον καὶ διαφανές, πυκνόν τε καὶ ὁμαλὸν τῇ συγκρίσει· ἰδίως δὲ τὸ ἀμμωνιακὸν τῷ γένει, σχιστόν τε καὶ εὐθείας τὰς διαφύσεις ἔχον. τοῦ δὲ θαλασσίου τὸ πυκνὸν παραληπτέον καὶ λευκὸν καὶ ὁμαλόν. κάλλιστον δὲ ἐν Κύπρῳ καὶ Σαλαμῖνι τῆς Κύπρου γίνεται καὶ ἐν*

7 SIM. Pl. l. s. 155. Cels. V 5. 12 — D. eup. I 76 (132). Pl. 156 — eup. I 45 (114) I 102. 101 (144).

14 SIM. Pl. XXXI 73 sq. 98 sq.

14 EXC. Orib. XIII s. v. (*ἁλῶν — διαφύσεις ἔχον, καυστέον — κατακαῇ*), Gal. XII 210. Aet. II 43.

1 *τε* (alt.) om. Di 2 *λεπτήν* (*ευκ* superscr.) H: *λεπτικήν* A (*λευκήν* superscr. A²) 3 *οὕτω* HADi 4 *ἕως διαπυρωθῇ· ἀνελ.* E *σβέσον ἀνελόμενος* Q 5 *τὸ δὲ — δύναμιν δὲ* om. mg. add. Di (alt. m.) *τρίτον δὲ* H post *τρίτον* haec habet Di *ἀνελόμενος αὐτὴν καθ' ἑαυτὴν ἔα ψυγῆναι καὶ ἀποθέμενος χρῶ* 6 *ἐάσας ψυγῆναι ἀπόθου* Orib. 7 *τε* addidi ex EDi *καὶ σμηκτικὴν* om. LQ, superscr. H²: post *οὔλων* inser. A, at cf. Dl *virtus est ei . . . purgatoria* *οὔλων καὶ ὀδόντων* E *καὶ* (alt.) om. Di 9 *ἑλκῶν τε πληρωτικήν* Di post *καὶ* (alt.) add. *ἑλκῶν* E 10 *λείαν* E *καὶ ἐσχαρωτικὴν σώματος καὶ εἰς ψίλωσιν τριχῶν ἐπιτήδειον* Di: *καὶ ἐσχαρωτικὴν καὶ μετὰ σώματος εἰς ψ. τρ. ἐπιτήδειος* A *μετὰ σώματος* FH (post *καὶ* superscr. *ἐσχαρωτικήν*, post *ψίλωσιν* add. *ἐπιτήδειος* H²) 12 *ζέοντά τις* Di *οἴνου τις ἐμβάλῃ πίθον* Orib. *τις καεῖσαν κίσηριν βάλῃ* E 13 *ζέσιν τοῦ οἴνου* Di

14 num. cap. *ψογ'* Q: *ψοθ* Di: *ρις* E tit. *περὶ ἁλῶν* QDi *ἐνεργέστερον* Di *μὲν* om. Orib.E *τοῦ δὲ κοινοῦ* corr. Orib. (pr. m.) 15 *λευκὸν καὶ* addidi ex Orib. coll. Pl. l. s. 85. 86 *ad medicinae usus antiqui Tarentinum maxime laudabant . . . suavissimus omnium Tarentinus atque candidissimus est*: post *ἄλιθον* add. Di, post *διαφανές* A, superscr. H² 17 *εὔσχιστόν* Di: ///*σχιστόν* E², aliter Pl. 79 *similis est colore alumini quod schiston vocant* *τε*] *δὲ* LQE² (in ras.) 19 *ἐν Σαλαμῖνι* E *ἐν* (alt.) om. Di

*Μεγάροις, εἶτα ἐν Σικελίᾳ καὶ Λιβύῃ, καὶ ἐν τοῖς προειρη-
μένοις τὰ λιμναῖα προκριτέον· εὐτονώτατον δέ ἐστιν αὐτοῦ τὸ
Φρύγιον, καλούμενον δὲ Ταρταῖον.*
2 *δύναμιν δὲ ἔχουσι κοινῶς οἱ προειρημένοι ἅλες ὄντες πολύ-
χρηστοι στυπτικήν τε καὶ σμηκτικὴν καὶ ἀποκαθαρτικὴν καὶ
διαχυτικήν, ἔτι δὲ κατασταλτικὴν καὶ ἐσχαρωτικήν, τῷ μᾶλλον
καὶ ἧττον διαφέροντες. εἰσὶ δὲ καὶ σηπεδόνων ἐφεκτικοὶ καὶ
σμήξεσι ψωρικαῖς μείγνυνται· στέλλουσι καὶ τὰς ἐν ὀφθαλμοῖς
ὑπεροχὰς καὶ πτερύγια τήκουσι, καὶ τὰς ἄλλας δὲ ὑπερσαρ-
κώσεις, κλυσμοῖς τε εὔθετοι καὶ κόπου λυτήριοι σὺν ἐλαίῳ συγ-
χριόμενοι καὶ πρὸς τὰ οἰδήματα τῶν ὑδρωπικῶν, πυρία τε ἡ
3 δι' αὐτῶν ἐν σακκίοις πραυντικὴ ἀλγημάτων. καὶ κνησμοὺς δὲ
παύουσι μετ' ἐλαίου καὶ ὄξους συγχριόμενοι παρὰ πυρί, ἄχρι
ἂν ἱδρώσωσιν· ὁμοίως καὶ λέπρας καὶ λειχῆνας καὶ ψώρας
συναγχικούς τε κουφίζουσι σὺν μέλιτι καὶ ὄξει καὶ ἐλαίῳ δια-
χριόμενοι. πρὸς δὲ παρίσθμια καὶ κιονίδας σὺν μέλιτι καὶ
ἄφθας καὶ οὔλων πλάδον, καὶ πρὸς φαγεδαίνας σὺν ἀλφίτῳ
4 κεκαυμένοι καταπλάσσονται. πρὸς δὲ σκορπίων πληγὰς σὺν
λινοσπέρμῳ, πρὸς δὲ ἔχεων δήγματα σὺν ὀριγάνῳ καὶ μέλιτι
καὶ ὑσσώπῳ, πρὸς δὲ κεράστου μετὰ πίσσης ἢ κεδρίας ἢ μέλι-*

4 SIM. Pl. l. s. 98 — 7 D. eup. I 200 (196) — 9 eup. I 45 (114) — 10 eup. II 25 (237) — 11 eup. II 65 (280) — 12 eup. I 123 (155) — 15 Pl. l. s. eup. I 87 (137) — 16 eup. I 85. 86 (136sq.) — 17 eup. I 204 (199) — 18 eup. II 117 (317) 122 (320) 123 (321).

1 *εἶτα*] *καὶ* Di *ἐν Λιβύῃ* E *καὶ* (alt.) om. EDi *λεγομένοις* Di post *προειρημένοις* add. *δὲ καὶ* EDi 2 *προκριτέον*] *κρείττονα* E: *κριτέον* Di *αὐτοῦ ἐστιν* EDi 3 post *Φρύγιον* c. 9 litt. del. E^{2} *τάπαιον* E: *τάπεον ἢ τάγγεον* LF: *τάπεον ἢ τριταῖον* (corr. H^{2}) *ἢ γανταῖον* (add. H^{2}) AHDi: corr. Marc. coll. Pl. l. s. 84. 100 4 *κοινῶς* post *προειρημένοι* transp. E, post *ἅλες* Di *ὄντες πολύχρηστοι*] *πολύχρηστον* Di 5 *καὶ ἀποκαθαρτικὴν* om. H 6 post *διαχυτικὴν* add. *καὶ διαλυτικὴν* E: *dialectica* Dl *ἔτι δὲ καὶ* A post *καταστ.* add. *καὶ ἰσχνωτικὴν* Di, mg. A^{2} 7 *ἧσσον* E 8 *σμήξεσι* om. QE, superscr. H^{2} 9 *ὑπερσαρκώσεις αἴρουσι καὶ κλυσμοῖς* Di 12 *σάκοις* Di: *σηκίοις* A *δὲ* om. LQ 13 *ἄχρις ἂν* HADi 14 *ἐξιδρώσωσι* D. eup. I 123 (155) *καὶ λειχῆνας καὶ ψώρας* (om. *καὶ λέπρας*) Q: *καὶ λειχῆνας καὶ ψώρας καὶ λέπρας* Di 15 *ἐλαίῳ*] *νίτρῳ* D. eup. I 87 (137), at cf. Pl. 101 16 post *μέλιτι* add. *ὀπτοί* Di 17 *ἄφθαν* Di *ἀλφίτῳ* Di D. eup. I 204: *ἀλφίτοις* reliqui (E in ras.) 18 *κεκαυμένοις* LFE (corr. E^{2}): *κεκομμένοις* HA *καταπάσσονται* Spr. Corn. secutus, at cf. Pl. l. s. 103 D. eup. I 204 19 *ἔχεων*] *ὄφεων* Di

τος, πρὸς δὲ σκολοπένδρης σὺν ὄξει καὶ μέλιτι καὶ πρὸς σφη-
κῶν πληγὰς καὶ τενθρηδόνων· πρὸς δὲ ψυδράκια τὰ ἐν κεφαλῇ
καὶ θύμους τε καὶ φύματα στέατι μοσχείῳ ἀναλημφθέντες. σὺν 5
σταφίδι δὲ ἢ στέατι βοείῳ ἢ μέλιτι δοθιῆνας διαφοροῦσι καὶ
ὄρχεων οἰδήματα, σὺν ὀριγάνῳ ⟨δὲ⟩ καὶ ζύμῃ θᾶττον ⟨δοθιῆνας⟩
πεπαίνουσι, καὶ κροκοδειλοδήκτοις δὲ βοηθοῦσιν ἐνδεθέντες εἰς
ὀθόνιον λεῖοι καὶ βαφέντες ἐν ὄξει στυφομένων τῶν μερῶν τοῖς
ἐνδέσμοις, θηριοδήκτοις τε βοηθοῦσι, καὶ πρὸς ὑπώπια προσ-
ώπου σὺν μέλιτι, καὶ πρὸς ὀποῦ μήκωνος πόσιν καὶ πρὸς μύ-
κητας ἐν ὀξυμέλιτι πινόμενοι. πρὸς στρέμματα δὲ σὺν ἀλεύρῳ 6
καὶ μέλιτι, πρὸς δὲ πυρίκαυτα σὺν ἐλαίῳ ἐπιτεθέντες οὐκ ἐῶσι
φλυκταινοῦσθαι, ποδαγρικοῖς τε ὁμοίως ἐπιτίθενται, πρὸς
ὠταλγίας τε σὺν ὄξει, ἐρυσιπέλατά τε καὶ ἕρπητας ἴσχουσι
μετ᾽ ὄξους καταπλασθέντες ἢ καταχρισθέντες σὺν ὑσσώπῳ.
καυστέον δὲ αὐτοὺς εἰς ὀστράκινον ἀγγεῖον ἐμβαλόντας
καὶ ἐπιμελῶς πωμάσαντας, ἵνα μὴ ἐξάλλωνται, ἀνθρακιᾷ τε
ἐγκρύψαντας ἄχρις ἐκπυρώσεως. τινὲς δὲ τοὺς ὀρυκτοὺς σταιτὶ 7
περιπλάσαντες ἀνθράκων ὑποτεθέντων ἐῶσιν, ἄχρι ἂν τὸ σταῖς
κατακαῇ. ἔνεστι δὲ καὶ τοὺς κοινοὺς ἅλας τὸν τρόπον τοῦτον

---

2 SIM. Pl. l. s. D. eup. I 105 (146) I 150 (171) — 4 eup. I 144 (166) — 9 eup. II 147 (330) 160 (336) — 10 eup. I 226 (210) — 12 eup. I 178 (187) 235 (215) I 57 (120).

---

1 *σκολοπένδρης* corr. E[2]: *σκολοπένδραις* LE: *σκολοπένδρας* Di: *σκολοπένδραν* Q post *σκολ.* add. *δῆγμα* Di *σὺν μέλιτι καὶ ὄξει* Spr. *καὶ* (alt.) om. Di *πρὸς δὲ σφηκῶν καὶ* Di: *πρὸς σφῆκας καὶ* E 2 *τενθρηδόνων* L: *τερθρηδόνα* Q: *τερηδόνας* EDi *καὶ πρὸς ψ.* Di: *πρὸς ψ. δὲ* E 3 *θύμους*] *θύμια* L *τε καὶ φύματα* om. LQE, at cf. D. eup. I 150. 151 (171) *ἅμα στέατι* E: *σὺν στέατι* Di 4 *στέατι βοείῳ ἢ* om. LQ (*στ. ὑείῳ* superscr. H[2]): *βοείῳ ἢ μέλιτι* om. E *βοείῳ* scripsi, *ὑείῳ* ADiH[2], cf. Pl. 101 *furunculos . . . emendat cum passa uva . . et sebo bubulo*, D. eup. I 144 (166) *ἅλες σὺν στέατι βοείῳ καὶ σταφίδι*, cf. Dl *διαφθείρουσι* L 5 *δὲ* addidi e Di, *τε* E *δοθιῆνας* addidi ex EDi, mg. add. A[2], cf. Pl. l. s. 101 6 *δὲ* om. QDi *ἐνδεθέντες* EDi: *ἐντεθέντες* LQ: *ἐντιθέντες* A *δὲ εἰς* EA 7 *λεῖοι*] *λινοῦν* E *βαπτόμενοι εἰς* Di: *βαπτομένοις εἰς* E *στυφομένων ἢ θρυπτομένων* E 8 *τε* om. LFE *προσώπου* om. E 9 *σὺν ὀξυμ.* QDi 11 *πρὸς πυρίκαυτα δὲ* Di 12 *ἐπιτεθέντες* E 13 *ὠταλγίαν* (comp. scr.) Di *τε* (alt.)] *δὲ* E 14 *καταχρισθέντες ἢ καταπλασθέντες* E 15 *ἐμβάλλοντες ἐπιμελῶς καὶ πωμάσαντες* E 16 *ἐξέλωνται* L 17 *ἄχρι πυρώσεως* Q: *ἄχρι ἂν ἐκπυρωθῶσιν* Orib.E *στέατι* EA[2] (*σταιτί* superscr. E[2]): *στακτῇ* L 18 *εἰς ἄνθρακας ὑποτιθέντες* Di: *ἄνθραξιν ὑποτεθέντες* H: *ὑποτεθέντες ἄνθραξιν* A: *ἐπ᾽ ἄνθρακας ἐγκρύβουσιν* Orib. *ἐῶσιν* om. L *ἄχρις ἂν* Orib.HADi *στέαρ* E (*σταῖς* superscr. E[2]) 19 *τοῦτον τὸν τρόπον* HADi: *τοῦτον τὸν τρόπον τοῦτον* F

καίειν· ἀποκλύσας αὐτοὺς ἅπαξ ὕδατι καὶ ἐάσας ξηρανθῆναι ἔμβαλε εἰς χύτραν καὶ πωμάσας ὑπόκαιε κινῶν, ἕως ἂν μηκέτι ἐξάλλωνται.

110 *ἁλὸς ἄχνη ἐπίψημά ἐστιν ἁλὸς ἀφρῶδες, εὑρισκόμενον ἐπὶ τῶν πετριδίων, δύναμιν ἔχον τὴν αὐτὴν τοῖς ἁλσίν.*

111 *ἅλμη τὴν αὐτὴν ἔχει τοῖς ἁλσὶν ἐνέργειαν στυπτικήν, σμηκτικήν, λεπτυντικήν, δυσεντερικοῖς τέ ἐστι τοῖς καὶ νομὴν ἔχουσιν ἔγκλυσμα καὶ ἰσχιάδων χρονίων, πρός τε τὰς καταντλήσεις ἁρμόζει, ἐφ' ὧν θάλαττά ἐστι χρησίμη.*

112 *ἄνθος δὲ ἁλὸς καταρρεῖ μὲν ⟨ἐν⟩ τῷ Νείλῳ ποταμῷ, ἐφίσταται δὲ λίμναις τισί. παραληπτέον δὲ τὸ κροκίζον τῇ χρόᾳ, ὑποδυσῶδες ὥσπερ γάρος, ἐνίοτε δὲ καὶ δυσωδέστερον μᾶλλον, καὶ τῇ γεύσει δηκτικώτατον καὶ ὑπολίπαρον· τὸ δὲ ἔμμιλτον ἢ θρόμβους ἔχον φαῦλον ἡγητέον· ἔτι τὸ ἀκέραιον ἐλαίῳ συνανίεται μόνῳ, τὸ δὲ δεδολωμένον ἐκ μέρους καὶ ὕδατι.*
2 *ποιεῖ δὲ πρὸς τὰ κακοήθη καὶ φαγεδαινικὰ ἕλκη καὶ νομὰς*

4 SIM. Pl. XXXI 74. 105 (e S. N.).

4 EXC. Orib. XIII s. v. (*ἁλὸς — ἁλσίν*), cf. Gal. XII 374 (unde Aet. II 46) Paul. Aeg. VII 3 s. v.

6 SIM. Pl. XXXI 97 (e S. N.). D. eup. II 52 (265), cf. Gal. XII 377 (unde Aet. II 151).

10 SIM. Pl. XXXI 90sq. (e S. N.).

10 EXC. Orib. XIII s. v. (*ἄνθος — φαῦλον*), cf. Gal. XII 374 (unde Aet. II 45, Paul. Aeg. VII 3 s. v.).

---

1 *ἀποκαύσας* E: *ἀποκλείσας* F   *ὕδατι ἅπαξ ἢ δὶς* E   2 *ἔμβαλλε* E: *ἔμβαλε* (ut videtur) reliqui

4 num. cap. *ψοδ'* Q: $\overline{\psi\pi}$ Di: $\overline{\rho\iota\eta}$ E   tit. *περὶ ἄχνης ἁλός* QDi   *ἐπίψημα* LQDi: *ἐφίζημα* E: *ἀφίζημα* Orib.: *ἐπίψηγμα* Spr.   *ἀφρώδους* DiH^2A   5 *πετρωδῶν* LQ: *πετρῶν* E   *δύναμιν ἔχον* Orib.L: *δ. δὲ ἔχει* EQDi   post *ἁλσίν* add. virtutes medicas muriae (*καὶ ἐνέργειαν στ.* cf. v. 6) A, mg. add. (cum *ὅ*) H^2

6 num. cap. *ψοε'* Q: $\overline{\psi\pi\alpha}$ Di: om. E   tit. *περὶ ἅλμης* Q: om. Di (spat. rel.)   *καὶ ἡ ἅλμη δὲ* E   *τοῖς ἁλσὶν ἔχει* Di: *ἐνέργειαν ἔχει* Q   *τοῖς ἁλσὶ* post *ἐνέργειαν* coll. A   *στυπτικήν* et *λεπτυντικήν* om. QDi, at cf. Dl *stiptica, smictica et leptintica est*, cf. D. V 109. Pl. 97 *muria . . . spissat, mordet, extenuat, siccat*   7 *καὶ νομὴν*] *κατὰ νομὴν* (om. *ἔχ.*) EDi, dissentit D. eup. l. s.   8 *ἰσχιακῶν* LH: *ἰσχιαδικῶν* EFA: *ἰσχιαδικοῖς χρονίοις* Di: corr.   *τὰς* om. Di   9 *χρήσιμος* Q

10 num. cap. *ψοϛ'* Q: $\overline{\psi\pi\alpha}$ Di: $\overline{\rho\iota\vartheta}$ E   tit. *περὶ ἄνθους ἁλός* QDi   *ἁλὸς δὲ* (om. Orib.) *ἄνθος* DiOrib.   *ἐν* addidi   11 *ἐν λίμναις* Orib.   12 *ὑποδυσωδέστερον* EHADiOrib. (verbis perturbatis)   *ἔνιοι* (*τε* add. E^2) *εὐωδέστερον μᾶλλον* /// (4 litt. del. E^2) *τῇ γεύσῃ* E   13 *δηκτικώτατον* Orib.L: *δηκτικώτερον* reliqui   14 *ἔμμιλτρον* Orib.H: *μίλτρον* A (*ἔμμιλτον* superscr. A^2)   *ἔτι*] *ἔστι τε* (*τε* om. F) Q   15 *συνίεται* A   *μόνον* EDi, de re cf. Pl. l. s.   *τὸ δεδολωμένον δὲ* Di   *ὕδατος* QDi   16 *πρὸς δὲ τὰ κ. κ. φ. ἕλκη ποιεῖ* A   *τὰ φαγεδαινικὰ* E   *πρὸς νομὰς* Q

τὰς ἐν αἰδοίοις, ὦτά τε πυορροοῦντα καὶ ἀμβλυωπίας, οὐλάς ⟨τε⟩ καὶ λευκώματα· μείγνυται καὶ ἐμπλάστροις καὶ μύροις εἰς χρῶσιν, ὡς καὶ τῷ ῥοδίνῳ. ἔστι δὲ καὶ ἱδρώτων κινητικὸν καὶ κοιλίας ταρακτικὸν σὺν οἴνῳ καὶ ὕδατι λημφθέν, κακοστόμαχον δέ· μείγνυται καὶ ἀκόποις καὶ σμήγμασι πρὸς τριχῶν λεπτυσμόν, καὶ καθόλου ἐστὶ δριμύ, πυρωτικὸν ὥσπερ οἱ ἅλες.

113 *νίτρον* δὲ προκριτέον τὸ κοῦφον καὶ ῥοδωπὸν ἢ λευκὸν τὴν χρόαν, κατατετρημένον, οἱονεὶ σπογγῶδες· τοιοῦτον δέ ἐστι τὸ ἐκ τῶν Βρυγῶν.

ἀφρὸς δὲ *νίτρου* ἄριστος ⟨μὲν⟩ εἶναι δοκεῖ ὁ κουφότατος καὶ πλακώδης, εὔθρυπτός τε καὶ ἐμπόρφυρος καὶ ἀφρώδης, ἔτι δὲ δηκτικός, οἷός ἐστιν ὁ ἐκ Φιλαδελφίας κομιζόμενος τῆς ἐν Λυδίᾳ· δευτερεύει δὲ ὁ Αἰγύπτιος, γεννᾶται δὲ καὶ ἐν Μαγνησίᾳ τῆς Καρίας.

δύναμιν δὲ ἔχει καὶ καῦσιν οὗτός τε καὶ τὸ νίτρον ἁλσὶν ἐμ- 2
φερῆ· ἐκ περισσοῦ δὲ τὸ νίτρον καὶ στρόφους παύει λεανθὲν μετὰ κυμίνου καὶ ποθὲν μετὰ ὑδρομέλιτος ἢ μετὰ ἑψήματος ἢ τινος τῶν διαφορεῖν δυναμένων πνεύματα, οἷον πηγάνου ἢ ἀνήθου.

---

1 SIM. Pl. l. s. 92. D. eup. II 24 (236).

8 SIM. Pl. XXXI 114. 109 sq. (unde Isid. XVI 2, 7. 8). D. eup. II 40 (255).

8 EXC. Pap. Lugd. II 247 (*νίτρον — κατατετρημένον*); Orib. XIII s. v. (*νίτρον — ἐμφερῆ, ἔνιοι — ἐκπυρωθῇ*); cf. Orib. V 81 (D.). Gal. XII 225. 212 (unde Aet. II 50. Paul. Aeg. VII 3 s. v.); Ps. Gal. simpl. s. aphronitrum.

---

1 *καὶ ὦτα* (om. *τε*) Di *πρὸς ἀμβλυωπίας* E *καὶ τὰς οὐλὰς* Di 2 *τε* addidi ex E post *οὐλὰς* add. *αἴρει* DiA, superscr. H² *καὶ ῥεύματα καὶ λευκώματα* E 3 *χρῆσιν* E (*χρῶσιν* superscr. E²) *καὶ* (pr.) om. E 4 *καὶ* (pr.) om. Di 5 *δέ* om. Di *καὶ* (alt.) om. E 6 *λευκασμόν* Di, *capillos tenuat* Dl

8 num. cap. *ψοζ'* Q: *ψπβ* Di: *ρκ* E tit. *περὶ νίτρου* QDi *δὲ* om. Di 9 *τῇ χρώᾳ* pap. *καὶ κατατετρημένον* E post *κατατ.* transit L (lacuna signata) ad cap. 115 *σπογγῶδές τι* Di *τοιοῦτο* Orib. 10 *Βρυγῶν* scripsi: *βουνῶν* AH²Di: *βιήτων* (ut videtur) H: *βίκων* FE: *νήσων* Orib.: *ex bevio* Dl: *optimum copiosumque in Clitis* (sic) *Macedoniae* Pl. l. s. 107 post *βουνῶν* add. *δύναμιν δὲ ἔχει μετασυγκριτικήν* ADi 11 nov. cap. (*ψπγ* Di: *ρκα* E) cum titulo *περὶ ἀφροῦ νίτρου* inc. EDi *ἀφρὸς νίτρου ἢ ἀφρόνιτρον* E *μὲν* addidi e Di 12 *καὶ* (tert.)] *ἢ* DiAH²: om. Orib., at cf. Orib. V 81 13 *ἔτι τε* E *οἷος* om. HA 14 *ὁ δὲ αἰγύπτιος ἐν δευτέρᾳ τάσσεται χώρᾳ* Orib. *καὶ* om. Q *κατὰ μαγνησίαν* Orib. 16 *καὶ* (alt.) om. Di *τοῖς ἁλσὶν* E 18 *ἑψήματος* libri, fort. *ἀφεψήματός τινος* coll. D. eup. II 40 (255) *νίτρον ἢ ἀφρόνιτρον μετὰ πηγάνου ἢ κυμίνου ἢ ἀψινθίου ἀποζέματος* 19 *οἷον*] *ὡς* Di *ἢ* om. HA

*ἔστι δὲ καὶ περιοδικῶν σύγχρισμα πρὸ τῆς ὑπόπτου προσβολῆς·
μείγνυται καὶ διαφορητικαῖς καὶ ἐπισπαστικαῖς καὶ λεπρικαῖς
3 ἐμπλάστροις. σὺν ὕδατι δὲ ἢ οἴνῳ ἐγχεόμενον ἐμπνευματώ-
σεις τε καὶ ἤχους ὤτων ἰᾶται καὶ πυορροίας· καθαίρει δὲ καὶ
ῥύπον σὺν ὄξει ἐγχεόμενον, κυνοδήκτους τε ἰᾶται σὺν στέατι
ὀνείῳ ἢ ὑείῳ· ἀναστομοῖ δὲ καὶ δοθιῆνας ἀναλημφθὲν τερμιν-
θίνῃ ῥητίνῃ. μετὰ σύκων δὲ ὑδρωπικῶν ἐστι κατάπλασμα, σὺν
μέλιτι δὲ ἐγχριόμενον ὀξυδερκές, καὶ πρὸς μύκητας σὺν ὀξυ-
κράτῳ ποθὲν ἁρμόζει, πρὸς δὲ βουπρήστεις σὺν ὕδατι, πρὸς
4 ταύρειον δὲ αἷμα σὺν σιλφίῳ· ἀτροφοῦσί τε χρήσιμον κατά-
πλασμα, παρακμάζουσί τε ὀπισθοτονικοῖς πάθεσι σὺν κηρωτῇ
καὶ στρέμμασι· μείγνυται καὶ ἄρτῳ ὠφελίμως ἐπὶ τῶν τὴν
γλῶτταν παραλελυμένων.*

ἔνιοι δὲ καίουσι τὰ προειρημένα ἐπ᾽ ἄνθρακας πεπυρωμένους ἀπερεισάμενοι, προυποκειμένου καινοῦ ὀστράκου, ἕως ἂν ἐκπυρωθῇ.

114 *τρύγα δὲ παραληπτέον μάλιστα μὲν τὴν ἀπὸ οἴνου παλαιοῦ Ἰταλικοῦ, εἰ δὲ μή γε, καὶ ἀπὸ ἄλλου ὁμοίου· ἡ δὲ ἀπὸ ὄξους ἐπιτέταται τῇ δυνάμει.*

καυστέον δὲ ὡς ἀλκυόνιον προεξηραμμένην ἐπιμελῶς.

---

1 Pl. XXXI 122. D. eup. II 24 (236) — Zop. (Orib. II 588) Cels. V 12 Pl. 115 sq. — Pl. 122 eup. I 131 (160) — Pl. 117 eup. I 63 (125) — Pl. 118 eup. II 65 (280) — Pl. 117 eup. I 41 (112) — Nic. Al. 532 Pl. 119 — Nic. Al. 327 Pl. 120 D. eup. II 158 (335) — Pl. 122 eup. I 226 (211) — Pl. 120.
17 SIM. Pl. XXIII 64 (e S. N.).
17 EXC. Orib. XIII s. v. (*τρύγα — πομφόλυξ*); cf. Orib. V 83 (D.) cf. Gal. II 137.

---

2 *καὶ ἐπισπαστικαῖς* post *ἐμπλάστροις* transpos. E 3 post *ἐμπλάστροις* add. *καὶ λεπτυντικαῖς* Di, mg. A² post *δὲ* add. *θερμῷ* Di, post *οἴνῳ* AH² (mg.) *πνευματώσεις* QE 4 *τε* om. Di 5 *κυνόδηκτά τε* E 6 *ὀνείῳ*] *αἰγείῳ* cod. Matt.: *ὑείῳ στέατι ἢ ταυρείῳ* E, fort. *ὀνείῳ ἢ* delendum coll. Dl *absungiae porcinae mixta* *στομοῖ* EDi *καὶ* om. Q 8 *σὺν ὀξυκράτῳ* post *ἁρμόζει* coll. A 9 *δὲ* om. E *βουπρίστην* E: *βουπρῆστας* Di *πρὸς δὲ ταύρειον* E 10 *ἀτροφοῦσι*] *τρέμουσίν τε ἢ καὶ στροφουμένοις* E, at cf. Pl. 122 *solia nitri prosunt atrophis* *ἔνπλασμά τε* E 12 *καὶ ἄρτῳ* om. E *τὴν* om. EQ, ad rem cf. Pl. l. s. 120 15 *ὀστράκου καινοῦ* E 16 *πυρωθῇ* Orib.

17 num. cap. *ψοη'* Q: *ψπδ* Di: *ρκβ* E tit. *περὶ τρυγός* QDi *δὲ* om. Orib. *μὲν* om. Orib.DiE (add. E²) *οἴνου οὖσαν ἰταλικοῦ καὶ παλαιοῦ* Orib. 18 *ἰταλικοῦ παλαιοῦ* E *γε* om. Di *καὶ*] *κἂν* Orib.EDi *ἀπὸ* om. Q post *ἄλλου* add. *οἴνου* Di *δὲ* (alt.)] *γὰρ* Orib.EDi 20 *προεξηραμένην* libri, correxi

τινὲς δὲ ἐπ' ὄστρακον καινὸν θέντες καίουσι πυρὶ δαψιλεῖ,
ἕως ἂν ἐκπυρωθῇ κατὰ βάθος. ἄλλοι δὲ εἰς ἄνθρακας πεπυρω-
μένους ἐγκρύψαντες βῶλον ὁμοίως ποιοῦσι. σημεῖον δὲ τῆς 2
δεούσης καύσεως ἡγητέον τὸ λευκὸν ἢ ἀερόχρουν τοῦ χρώματος
καὶ τὸ προσενεχθεῖσαν τῇ γλώσσῃ οἱονεὶ φλέγειν αὐτήν. ὡσαύ-
τως δὲ καὶ ἡ ἀπὸ ὄξους καίεται.

δύναμιν δὲ ἔχει καυστικὴν σφόδρα καὶ σμηκτικήν, κατα-
σταλτικήν τε καὶ στυπτικὴν καὶ σηπτικὴν ἄγαν καὶ ξηραντικήν.
χρηστέον δὲ τῇ τρυγὶ προσφάτῳ οὔσῃ· ταχὺ γὰρ διαπνεῖται,
ὅθεν οὐδὲ ἀσκέπαστον οὐδὲ χωρὶς ἄγγους αὐτὴν ἀποθετέον.
πλύνεται δὲ αὕτη ὡς ⟨ἡ⟩ πομφόλυξ. ἡ δὲ ἄκαυστος στέλλει 3
οἰδήματα καθ' ἑαυτὴν καὶ μετὰ μυρσίνης, καὶ κοιλίαν καὶ στό-
μαχον ῥευματιζόμενον καταπλασθεῖσα στέλλει, καὶ ῥοῦν γυναι-
κεῖον κατὰ ἤτρου καὶ αἰδοίου καταπλασσομένη πραΰνει, καὶ
φύγεθλα ἀνέλκωτα διαφορεῖ καὶ φύματα, μαστούς τε σπαργῶντας
σβέννυσιν. ἡ δὲ κεκαυμένη λεπροὺς ἀφίστησιν ὄνυχας σὺν ῥη-
τίνῃ, καὶ μετὰ σχινίνου ἐλαίου συγχρισθεῖσα νύκτα ὅλην ξαν-
θὰς ποιεῖ τὰς τρίχας. πλυθεῖσα δὲ μείγνυται εἰς τὰ ὀφθαλ-
μικὰ ὡς ἡ σποδός· σμήχει δὲ οὐλὰς καὶ ἀχλῦς τὰς ἐν ὀφθαλμοῖς
ἡ τοιαύτη.

115 ἄσβεστος δὲ γίνεται μὲν οὕτως· τῶν θαλαττίων

---

11 SIM. Pl. XXIII 66. D. eup. I 147 (168) — Pl. 67. eup. II 85 (295) — Pl. 63. 65. 66. eup. I 141 (164) — Pl. 67. eup. I 135 (162) — Pl. 67. 64. eup. I 129 (159) — Pl. 67. eup. I 98 (143) — Pl. 65.

21 SIM. Pl. XXXVI 174 sq. (e S. N.).

21 EXC. Orib. XIII s. v. (*ἄσβεστος — ἀποτίθεσο*), cf. Gal. XII 237.

---

1 *ὀστράκων καινῶν* Orib. *ἐπιθέντες* E: *θέντες* reliqui *πῦρ δαψιλῶς περικαίουσιν* Orib.: *πυρὶ δαψιλεῖ περικαίουσιν* E 2 *ἐμπυρωθῇ* Q *βάθους* E: *ους* superscr. Orib., cf. V 100, 4 3 *ὁμοίως*] *τὸ ὅμοιον* EDi 4 *σώματος* Orib. 5 *προσενεχθὲν* E 7 *καυστικὴν ἀναξηραντικὴν καὶ στυπτικήν* Orib.: *καυστικὴν σφόδρα· σμηκτικήν· κατουλωτικήν· στυπτικήν· καὶ ἄγαν ξηρ.* Di *κατασταλτικήν*] *κατουλωτικήν* A, superscr. H² 8 *καὶ σηπτικὴν* om. E 9 *ἐκπνεῖ* Orib.: *διαπνεῖν εἴωθεν* E: *διαπνεῖ* mg. add. A² 10 *ἀγγείου* Orib. *ἀποθετέον αὐτὴν* Orib.E 11 *αὕτη* om. EDi *ἡ* (pr.) add. ex A 12 *αὐτὴν* Di *κοιλίαν τε* (om. *καὶ* alt.) EDi 15 *φύγεθλα*] *φύματα* F, *φύματα* superscr. A², at cf. Pl. 66 *panos* (= *φύγεθλα* coll. Cels. V 28, 10) *discutit nondum exulceratos* *καὶ φύματα* om. EDiA (spatio 10 litt. relicto) *φύματα*] *φύγεθλα* FH (corr. H²) post *σπαργῶντας* add. *γάλακτι* E: *ῥέοντας γάλα* ADi, mg. add. H² 16 *σβέννυσι σὺν ὄξει καταχρισθεῖσα* ADi, superscr. H², at D. eup. I 135 (162) *μετὰ ἀλφίτου καταπλασθεῖσα* 17 *σχοινίνου* HA *εἰς νύκτα* E 19 *ἡ* om. Di *δὲ*] *τε* Di

21 num. cap. *ψοθ'* Q: *ψπε* Di: *ρκγ* E tit. *περὶ ἀσβέστου* QDi *δὲ* om. Orib.EDi *μὲν* FE: om. reliqui *οὕτω* HADi

κηρύκων τὰ ὄστρακα λαβὼν πυρὶ ἔγκρυψον ἢ εἰς κλίβανον διάπυρον καθεὶς ἄφες ἐννυκτερεῦσαι. τῇ δὲ ἐχομένῃ, ἐὰν μὲν λευκότατα γένηται, ἀνελοῦ· εἰ δὲ μή, πάλιν καῖε, ἄχρις ἂν ἱκανῶς λευκανθῇ. εἶτα ἀποβάψας αὐτὰ εἰς ψυχρὸν ὕδωρ ἔμβαλε εἰς χύτραν καινὴν καὶ σκεπάσας αὐτὰ ῥάκεσιν ἐπιμελῶς ἔασον ἐνταῦθα νύκτα μίαν. πρωὶ δὲ ἀνελόμενος ἀπειληφυῖαν τὸ παντελὲς τῆς κατεργασίας ἀποτίθεσο.

2 σκευάζεται δὲ καὶ ἐκ λίθων κοχλάκων καὶ τῆς χυδαίας μαρμάρου, ἥτις καὶ προκρίνεται τῶν ἄλλων ἀσβέστων.

δύναμιν δὲ ἔχει πᾶσα κοινῶς ἄσβεστος πυρωτικήν, δηκτικήν, καυστικήν, ἐσχαρωτικήν. μειγνυμένη δέ τισιν ἑτέροις ὡς στέατι ἢ ἐλαίῳ γίνεται πεπτική, μαλακτική, διασκεδαστική, κατουλωτική. ἐνεργεστέραν δὲ καὶ ταύτης ἡγητέον τὴν πρόσφατον καὶ ἄβροχον.

116 *γύψος* δύναμιν ἔχει στυπτικήν, ἐμπλαστικήν, αἱμορραγίας τε καὶ ἱδρώτων ἐφεκτικήν. ποθεῖσα δὲ κτείνει τῷ κατὰ πνιγμὸν τρόπῳ.

117 *τέφρα κληματίνη* δύναμιν ἔχει καυστικήν. σὺν ὀξυγ-

---

10 SIM. Pl. XXXVI 180. Zop. (Orib. II 578). Cels. V 6. 7. 8. D. eup. I 189 (193) 170 (182).

14 SIM. Th. lap. 64sq. Pl. XXXVI 182sq. Cels. II 33. D. eup. I 210 (203) II 27 (237), cf. Isid. XIX 10, 20.

14 EXC. Orib. XIII s. v. (*γύψος — τρόπῳ*); cf. Gal. XII 213 (unde Aet. II 51. Paul. Aeg. VII 3 s. v.).

17 SIM. D. eup. I 226 (210) — I 143 (165) — II 117 (318) — II 113 (314) — II 160 (336). Scrib. L. 198. Nic. Al. 530. Ascl. (Gal. XIV 140).

17 TEST. Gal. XII 139: *Διοσκουρίδης δὲ οὐκ οἶδ' ὅπως στυπτικὴν* (?) *αὐτὴν* (sc. *τὴν τέφραν*) *ἔχειν φησὶ τὴν δύναμιν.*

---

1 *λαβὼν — διάπυρον* om. Orib., mg. add. *ἐγκρύψας ἄνθραξι ἢ εἰς διάπυρον κρίβανον ἔνκρυψον ἄνθραξιν* E *διάπυρον κλίβανον* E 2 *καθεὶς* om. Di *μὲν* om. Di *λευκοτάτη* LQ 3 *καῖε καὶ ἔα* E *ἄχρι ἂν* Orib.: *ἄχρι* (*σ* add. E^2) *οὗ ἂν* E *ἱκανῶς*] *παντελῶς* Orib. 4 *ἀπολευκανθῇ* E: *ἀπολευκανθῶσιν* Orib.: *γένηται λευκή* Q *εἶτα*] *λοιπὸν* Orib.: *εἶτα λοιπὸν* E *ἀποψύξας* Orib. *ἔμβαλλε* Orib. 5 *αὐτὰ* om. Orib.E *ἔασον καὶ* Orib. *ἐνταῦθα*] *αὐτὰ* EDi 7 *τῆς κατεργασίας τὸ παντελὲς* Orib. 8 *λίθων καὶ* E *κοχλάκων καιομένων* Di, *καιομένη* mg. add. A^2 *ἐκ* ante *τῆς* add. Di: *ἀπὸ τῆς* (*ἀπὸ* in ras.) E 9 ad rem cf. Pl. XXXVI 174 *προκέκριται* (*ἐκ* superscr.) E^2 *ἀσβέστων* om. Di 10 *δηκτικήν* om. E 11 *στέατι* superscr. *ὑείῳ* A^2 13 *ἐναργεστέραν* F *καὶ* (pr.) om. Di *αὐτῆς* Di *πρόσφατον ἡγητέον* E

14 num. cap. *ψπ'* Q: $\overline{\text{ψπϛ}}$ Di: $\overline{\text{ρκδ}}$ E tit. *περὶ γύψου* QDi *γύψος δὲ* E post *ἐμπλαστικήν* mg. add. *χαλαστικήν* A^2 15 *ἱδρῶτας ἵστησιν* Orib.E ad rem cf. Gal. XIII 857 *πινομένη* E *κτείνει*] *πνίγει* HADi *τῷ* et *τρόπῳ* om. Orib.

17 num. cap. *ψπα'* Q: $\overline{\text{ψπζ}}$ Di: $\overline{\text{ρκε}}$ E tit. *περὶ τέφρας κληματίνης* QDi *ἀξουγγίῳ* Di

γίῳ δὲ ἢ ἐλαίῳ καταπλασθεῖσα θλάσματά ⟨τε⟩ πλευρῶν καὶ ἄρθρων λυγίσματα καὶ συστροφὰς νεύρων ὠφελεῖ, σὺν νίτρῳ δὲ καὶ ὄξει σαρκώσεις ὀσχέου στέλλει. καταπλασθεῖσα δὲ σὺν ὄξει ἑρπετόδηκτα καὶ κυνόδηκτα ἰᾶται, ἐσχαρωτικαῖς τε μείγνυται· καὶ πίνεται δὲ ἐξ αὐτῆς ἡ κονία πρὸς πτώματα καὶ μύκητας σὺν ἁλσὶ καὶ ὄξει.

118 τοῦ δὲ ἀ λ κ υ ο ν ί ο υ πέντε γνωστέον εἴδη ὑπάρχειν·
τὸ μὲν γὰρ πυκνόν τέ ἐστι καὶ τῷ ῥυθμῷ σπογγῶδες καὶ βαρύ,
ἔτι δὲ βρωμῶδες καὶ ἰχθύος ὄζον, ὃ δὴ πλεῖστον ἐπὶ τῶν ἠιό-
νων εὑρίσκεται. τὸ δὲ ἑξῆς κατὰ μὲν τὸ σχῆμα πτερυγίῳ
ὀφθαλμικῷ ἢ σπόγγῳ ἔοικε, κοῦφον δέ ἐστι καὶ πολύκενον καὶ
φυκώδη ἀποφορὰν ἔχον. τὸ δὲ τρίτον σκωληκοειδὲς ὑπάρχει 2
τῷ τύπῳ, καὶ τῇ χρόᾳ ἐμπόρφυρον, ὅ τινες Μιλήσιον καλοῦσι.
τὸ τέταρτον δὲ ἐρίοις οἰσυπηροῖς ὅμοιον, πολύκενον, κοῦφον.
τὸ δὲ πέμπτον ἔοικε μὲν κατὰ τὸ σχῆμα μύκητι, ἄνοσμον δέ
ἐστι καὶ τραχὺ ἔνδοθεν, κισήρει κατά τι ἐοικός, ἔξωθεν δὲ
λεῖον, δριμύ, ⟨ὃ⟩ πλεῖστον ἐν τῇ Προποντίδι κατὰ τὴν καλουμέ-
νην Βέσβικον νῆσον γεννᾶται, ὃ ἐπιχωρίως ἁ λ ὸ ς ἄ χ ν η ν καλοῦσι.

7 SIM. Pl. XXXII 86 sq. (e S. N.).
7 EXC. Orib. XIII s. v. (τοῦ δὲ — καδμεία); Gal. XII 370 (unde Aet. II 42).

1 δὲ om. E θλάσματα (superscr. θραύσματα A[2]) A τε addidi ex E πλευρῶν E: νεύρων reliqui: *quassationes lateris* Dl πλευρῶν — συστροφάς om. L 3 σαρκώσεις del. E[2], mg. add. ῥάκωσιν, fort. ῥακώσεις 4 καὶ κυνόδηκτα om. LE, at cf. Dl *aceto et nitro mixtus et inpositus morsibus caninis et venenis occurrit* 5 καὶ πίνεται] πήγνυται HA: γίνεται Di δὲ om. Di ἡ ἐξ αὐτῆς κονία EDi 6 σὺν ὄξει καὶ ἁλσὶ καὶ μέλιτι Di: μέλιτι mg. add. A[2]: *cum sale et aceto bibitus* Dl

7 num. cap. ψπβ' Q: ψπη̄ Di: ρκϛ̄ E tit. περὶ ἀλκυονίου QDi initium sic habet Orib. ἀλκυονίου εἴδη ἐστὶ πέντε Pl. l. s. quattuor alcyonei genera statuit, de quibus non satis lucide agit 8 τε om. Orib. τῷ ῥυθμῷ] στρυφνὸν καὶ τῷ ἰδεῖν Di: στρυφνὸν superscr., mg. add. τῷ ἰδεῖν A[2]: ἐοικὸς κατὰ σχῆμα σπόγγῳ Gal., cf. D. V 77 καὶ βαρὺ post βρωμῶδες transpos. Di 9 ἔτι] ἔστι LQDl 10 ἐφεξῆς Orib.: προμηκέστερον Serap. Gal. secutus τὸ (alt.) om. E σχήματι Orib. 11 δέ] τε Orib.EDi 12 ἀναφορὰν Q ἔχει Q 13 τῇ χρόᾳ καὶ τῷ τύπῳ Orib. ἔμφυρον E: πορφυρώτερον Di, superscr. A[2]: πορφυρωπὸν (= πορφυρώτερον) Orib. post ἐμπόρφυρον add. σωληνοειδὲς Orib. (ex vers. anteced.) μιλήσιον ἢ σπληνίον E: μηλίσιον LF καλοῦσι μιλήσιον HA 14 τὸ om. LQE ἐρίοις τοῖς ὑσυπηροῖς τε καὶ ῥυπαροῖς E πολύκενον καὶ E κοῦφον om. Di 15 τὸ (alt.) om. LQDi ἄοσμον Q, ἄνοσμον superscr. A[2] δὲ (alt.)] τε Di 16 ἐστι om. Orib.Di ἔνδον Orib.: ἔνδοθεν μὲν Di κισήρει — ἐοικός om. LQ, mg. add. A[2], at cf. Dl *quinta autem species . . . deintus ut pumis*, Pl. *quartum pumicosius* 17 ὃ addidi e Di πλεῖστον — καλοῦσι om. Orib. 18 βέμβικον LFH: βέμβηκον A (βέσβηκον superscr. A[2]): βεσβίκον E νῆσον] ἧσσον F

3 τούτων τὸ μὲν πρῶτον καὶ δεύτερον εἰς σμήγματα παρα-
λαμβάνεται γυναικῶν, καὶ πρὸς φακούς, λειχῆνάς τε καὶ λέπρας
καὶ ἀλφοὺς καὶ μελανίας καὶ σπίλους τοὺς ἐπὶ τοῦ προσώπου
καὶ τοῦ λοιποῦ σώματος. τὸ δὲ τρίτον εὐθετεῖ πρὸς δυσου-
ροῦντας καὶ ἀμμώδη συλλέγοντας ἐν τῇ κύστει νεφριτικούς, πρὸς
ὕδρωπας, σπλῆνας. καὲν δὲ καὶ καταχρισθὲν σὺν οἴνῳ ἀλω-
4 πεκίας θεραπεύει. τὸ δὲ ὕστατον ὀδόντας λευκαίνειν δύναται·
παραλαμβάνεται δὲ καὶ εἰς ἄλλα σμήγματα καὶ ψίλωθρα μισ-
γόμενον ἁλσί.

καῦσαι δὲ βουλόμενός τι τούτων εἰς ὠμὴν χύτραν ἔμβαλε καὶ περιαλείψας τὸ στόμα αὐτῆς πηλῷ δὸς εἰς κάμινον· ὅταν δὲ ὀπτηθῇ ὁ κέραμος αὐτῆς, ἀνελόμενος ἀπόθου καὶ χρῶ. πλύνεται δὲ ὡς ἡ καδμεία.

119 ὁ δὲ προσαγορευόμενος ἀ δ ά ρ κ η ς γίνεται μὲν ἐν Γαλατίᾳ, ἔστι δὲ ὥσπερ ἐπίπαγός τις ὑφαλμυρίζων, καθ᾽ ὑγρῶν καὶ τελματωδῶν τόπων ἐν ξηρασίᾳ ἐπιγινόμενος καὶ περιπη-

---

1 SIM. Pl. l. s. 87. D. eup. I 120 (153) — Pl. l. s. — Cels. V 28, 19. eup. I 118 (152). — D. eup. II 111 (309) — eup. II 102 (303) — eup. II 63 (276) — eup. II 61 (272) — eup. I 95 (140).

14 SIM. Pl. XXXII 140 (e S. N.) — D. eup. I 120 (153).

14 EXC. Orib. XIII s. v. (*ὁ δὲ — ἀλκυόνιον*); Gal. XII 370 (unde Aet. II 41 Paul. Aeg. VII 3 s. v.).

---

1 *τὸ δεύτερον* Orib.EDi 2 *καὶ πρὸς φακοὺς* om. mg. add. E^2 *λειχῆνας, λέπρας, ἀλφούς, μελανίας, σπίλους* Orib. 3 *καὶ ἀλφοὺς*] *ἔτι τε ἀλφοὺς* E: *ἀλφούς τε* Di *εἰς σπίλους* (dittogr.) L *τοῦ* om. Orib.EQDi 4 *τοῦ* om. Q *πρὸς τοὺς* E 5 *τῇ* om. LFA *καὶ πρὸς νεφριτικοὺς* Di 6 *ὕδρωπα σπλῆνα* Di: *ὑδρωπικοὺς σπλῆνα* E *σπλῆνα* HA *καὶ* om. F *καταπλασθὲν* Orib.Di, at cf. Gal. *διὸ καὶ καυθὲν ἀλωπεκίας ἰᾶται μετ᾽ οἴνου καταχριόμενον*, D. eup. I 95 (140) 7 *θεραπεύει*] *δασύνει* EDi *ὕστατον*] *τέταρτον* Orib., fort. *τέταρτον καὶ ὕστατον* coll. Dl *quarta et quinta species dentes limpidat* *ὀδόντας* om. Q (superscr. H^2) 8 *εἰς*] *πρὸς* Orib.EDi *ἄλλα* om. Q *μισγόμενα* LFE: *μισγόμενα* (*α* corr. in *ον*) Orib.H: *μιγνύμενον* Di 9 *σὺν ἁλσί* HADi: *τισιν* E: om. Orib. 10 *δὲ δεῖ* (ditt.) L *βουλόμενος*] *ἀνελόμενος* L *τι τούτων βουλόμενος* QDi *τι τούτων* om. E post *τούτων* inser. *μεθ᾽ ἁλῶν* EDi *ἔμβαλλε* EDi 12 *αὐτῆς* om. Orib.E 13 *ἡ* add. e L, om. reliqui

14 num. cap. *ψπγ′* Q: *ψπθ* Di: om. E tit. *περὶ ἀδάρκου* QDi *ἡ δὲ προσαγορευομένη ἀδάρκη* Orib., cf. Gal. l. s. *ἄδαρκος* E *γεννᾶται* Orib.E *Γαλατίᾳ*] *καππαδοκίᾳ* Di, superscr. A^2: *ἀλεξανδρείᾳ καὶ ἐν γαλατίᾳ* E 15 *τις* om. LQ *ἐφαλμυριζων* Orib.: *ἐφαλμυρίδων* L 16 *τεναγωδῶν* Orib.: *τεναγωδῶν καὶ τελματωδῶν* E: *τεναγωδῶν* superscr. H^2 *ἐν* om. E *ξηρασίαις* (ut videtur) E, corr. E^2 *καὶ περιπηγνύμενος* om. mg. add. E^2

γνύμενος καλαμίοις καὶ χορταρίοις. ἔοικε δὲ τὴν χρόαν ἄνθει Ἀσσίου λίθου, τῷ δὲ ὅλῳ τύπῳ ἀλκυονίῳ τῷ μαλακῷ καὶ πολυκένῳ, καὶ ἔστιν οἱονεὶ λιμναῖον ἀλκυόνιον.

εὔθετεῖ δὲ πρὸς ἐκδορὰν λεπρῶν καὶ ἐφηλίδων καὶ λειχήνων καὶ φακῶν καὶ τῶν ὁμοίων. καθόλου δέ ἐστι δριμύ, μετασυγκριτικόν, ὠφελοῦν καὶ ἰσχιάδας.

120 τῶν δὲ σπόγγων τοὺς μὲν ἄρρενας ἐκάλεσάν τινες λεπτοτρήτους καὶ πυκνοὺς ὄντας, ὧν τοὺς σκληροτάτους τράγους ὠνόμασαν, τοὺς δὲ θήλεις οἳ ἐναντίως τοῖς προειρημένοις διάκεινται. καῦσιν δὲ ἔχουσι τὴν αὐτὴν ⟨τῷ⟩ ἀλκυονίῳ.

δύναται δὲ ὁ καινός τε καὶ ἀλιπὴς τραυματικός τε εἶναι καὶ οἰδήματα στέλλειν καὶ τὰ νεότρωτα κολλᾶν σὺν ὕδατι ἢ ὀξυκράτῳ, σὺν μέλιτι δὲ ἑφθῷ ⟨καὶ⟩ παλαιοὺς κόλπους παρακολλᾶν· ὁ δὲ παλαιὸς ἄχρηστος. διαστέλλουσι δὲ καὶ μεμυκότα 2
ἕλκη καὶ τύλους ἐσκελετευμένοι ⟨ἐντιθέμενοι⟩ λίνῳ, καὶ αὐτοὶ ξηροὶ παρεντιθέμενοι ὥσπερ μοτά. τὰ δὲ ῥευματικὰ ὑπόνομα καὶ χρόνια ἕλκη ἐξικμάζουσιν ἐπιτιθέμενοι ἄνικμοι καὶ κενοί, ἐπέχουσι δὲ καὶ αἱμορραγίας σὺν ὄξει. οἱ δὲ κεκαυμένοι ⟨εὔθετοι⟩ πρὸς ξηροφθαλμίας καὶ ὅπου δεῖ σμῆξαι ἢ στῦψαί τι· βέλτιον δὲ ποιοῦσι πλυθέντες εἰς τὰ ὀφθαλμικά. σὺν δὲ πίσσῃ καέντες πρὸς αἱμορραγίαν ἁρμόζουσι.

---

7 SIM. Pl. XXXI 123 (e S. N.); D. eup. I 209 (203).
7 EXC. Orib. XIII s. v. (τῶν δὲ — ἀλκυονίῳ, λευκαίνονται — λευκότατοι); Gal. XII 376. Aet. II 73.

---

1 καλάμοις Orib.Di   τῇ χρόᾳ Orib.   τῷ ἄνθει τῷ ἀσσίῳ λίθῳ Orib. 2 λίθου ἀσίου ἄνθει E   ἀσίας LQDi: correxi ex E   ὅλῳ om. Di   ὑποκένῳ Di, superscr. A^2 3 λεῖον καὶ λιμναῖον ἀλκ. E   4 ἐκδόρια E   καὶ λειχήνων om. E   5 δριμὺ καὶ EDi   6 ὠφελεῖ Di   ἰσχιάδας EL: ἰσχιακούς Di: ἰσχιαδικούς reliqui

7 num. cap. ψπδ' Q: $\overline{\text{ψϙ}}$ Di: $\overline{\text{ρκζ}}$ E   tit. περὶ σπόγγων QDi   τινες om. LQ, at cf. Pl. l. s. 123   8 ὧν — ὠνόμασαν om. superscr. H   σκληροτάτους LF: σκληροτέρους reliqui   9 οἳ] ὅσοι Orib.E   ἐναντίον Q   10 τῷ addidi   11 ὁ κενὸς δὲ καὶ ἀλιπὴς τραυματικός τέ ἐστι καὶ οἰδ. στέλλει κτλ. Di   καινός LE^2: κενός reliqui   τε (pr.) om. E   12 στέλλει E (ν add. E^2)   κολλᾷ LDi   13 καὶ addidi ex E   παρακολλᾷ Di   14 ἄχρηστος] aliter Pl. l. s. 125   15 ἐσκελετευμένοι E: ἐσκελεστευμένῳ L: ἐσκελετουμένῳ F: ἀποδεσμούμενοι reliqui   ἐντιθέμενοι addidi coll. Orib. II 433   fort. καὶ αὐτοὶ δὲ   16 παρατιθέμενοι EA   μότα FDi: μῶτα E: μοταρία superscr. A^2 fort. καὶ ὑπόνομα   ὑπόνομα om. E   17 ἐξικμάζουσιν καὶ καταστέλλουσιν E   καὶ κενοί] νέοι καὶ κενοί Di: καὶ κενοί HA (mg. add. νέοι A^2): κενοί L: καινοί F: κενοί (αι superscr.) E: mundatae a cochleis recte Sar.   18 δὲ (pr.) om. E   αἱμορραγίας LE: αἱμορραγίαν reliqui   σὺν ὄξει δὲ κεκαυμένοι Di   19 εὔθετοι addidi   ἢ στῦψαι om. A 20 post τι add. ἢ ψύξαι θέλοις E

3 *λευκαίνονται δὲ αὐτῶν οἱ ἁπαλώτατοι ἐν τοῖς καύμασι βρε-
χόμενοι τῇ ἐπὶ τῶν πετρῶν συνισταμένῃ ἁλὸς ἄχνῃ καὶ ἡλιαζόμε-
νοι· ἐπιβλεπέτω δὲ τὸ μὲν κοῖλον αὐτῶν ἄνω, κάτω δὲ ἡ ἀποτο-
μή. εἰ δὲ εἴη αἰθρία, καὶ ὑπὸ τὴν σελήνην τίθενται, βρεχόμενοι
τῇ ἁλὸς ἄχνῃ ἢ θαλάσσῃ· γίνονται δὲ λευκότατοι ⟨οἱ τοιοῦτοι⟩.*
121 *τὸ δὲ κουράλιον, ὅπερ ἔνιοι λιθόδενδρον ἐκάλεσαν,
δοκεῖ μὲν εἶναι φυτὸν ἐνάλιον, στερροποιεῖσθαι δέ, ὅταν ἐκ
τοῦ βυθοῦ ἑλκυσθῇ τῆς ἁλὸς ἁπτόμενον τοῦ περικεχυμένου ἡ-
μῖν ἀέρος. εὑρίσκεται δὲ πλεῖστον ἐν τῷ κατὰ Συρακούσας*
2 *ἀκρωτηρίῳ ⟨τῷ⟩ καλουμένῳ Παχύνῳ. ἄριστον δέ ἐστι τὸ πυρρὸν
τῇ χρόᾳ καὶ ἐμφερὲς Συρικῷ ἢ σάνδυκι κατακορεῖ, εὔθρυβές τε
ὡς ἐν ἑαυτῷ καὶ ὁμαλὸν δι' ὅλης τῆς συγκρίσεως, ἔτι δὲ ὀσμὴν
βρυώδη καὶ φυκίοις ἐμφερῆ ἔχον, πρὸς δὲ τούτοις πολύοζον
καὶ κινναμωμίζον τῷ τύπῳ τῶν θαμνίσκων. τὸ δὲ λιθῶδες
τῇ συγκρίσει καὶ τῇ χρόᾳ ψωρόν, σεσηραγγωμένον τε καὶ χαῦνον
φαῦλον οἰητέον εἶναι.*
3 *στύφει δὲ τῇ δυνάμει καὶ ψύχει ἐπιεικῶς. καταστέλλει δὲ
τὰ ὑπερέχοντα καὶ οὐλὰς σμήχει τὰς ἐν ὀφθαλμοῖς· πληροῖ δὲ
καὶ κοιλώματα καὶ κατουλοῖ, πρός τε αἵματος ἀναγωγὰς ἱκανῶς*

---

6 SIM. Th. lap. 38. Pl. XXXII 21 sq. (e S. N.), unde Isid. XVI 8, 1. Carm. de herb. 14. Orph. lith. 510 sq. Dam. lap. 7.
6 EXC. Orib. XIII s. v. (*τὸ δὲ — ἐπιεικῶς*).
17 SIM. Pl. l. s. 24 — D. eup. I 41 (112) eup. II 30 (240) 61 (273) 109 (307).

---

1 *οἱ ἁπαλ. αὐτῶν* Orib. *τοῖς ὑπὸ κύνα καύμασι* Spr. 3 *βλεπέτω* Orib. EDi *δὲ* (pr.) om. L *ἡ δὲ ἀποτομὴ κάτω* E 4 *αἰθρία θερεία* Di *τῇ σελήνῃ* Orib. 5 *τῇ* om. Di *οἱ τοιοῦτοι* addidi e Di

6 num. cap. *ψπε'* Q: *ψϙα̂* Di: *ρκη* E tit. *περὶ κοραλλίου* QDi *κουράλιον* F (in ind.) Th. Pl. Orib.: *κοράλλιον* libri 7 *στερεοποιεῖται* E 8 post *ἑλκυσθῇ* haec habet Di *ἔξαλον γινόμενον καὶ βαπτόμενον ἤτοι πηγνύμενον ὥσπερ ὑπὸ τοῦ π.*: *ἔξαλον γινόμενον* (dein litt. c. 18 del.) *κεχυμένου* (tum c. 13 litt. del.) *ἡμῖν ἀέρος* E (mg. add. *τῆς ἁλὸς ἁπτόμενον τοῦ περικ.* del. *ἔξαλον γινόμενον* E[2]) *τῆς ἁλὸς* om. Orib. *ἁπτόμενον* LQE[2]: *βαπτόμενον ὡσπερεὶ ὑπὸ* Orib.: *βαπτόμενον ἤτοι πηγνύμενον ὥσπερ ὑπὸ* A, superscr. H[2] 9 *συράκουσαν* (*ν* in ras.) E[2] 10 *τῷ* add. Spr. *καλουμένῳ δὲ* Orib.E 11 *σηρικῷ* LF: *σηρικῷ χρώματι* Orib.E (*χρώματι* del. E[2]): *ἀνθηρικῷ* HA: *ἀνθηρικῷ χρώματι* Di: correxi coll. Pl. XXXV 30. 40. Aet. II 82 *εὔτριβές* Q 12 *ὡς ἐν ἑαυτῷ* E (init. in ras.): *ὡσαύτως* reliqui *ὀσμῇ βρυῶδές τε καὶ φυκίοις ἐμφερές* Orib. 13 *γεώδη καὶ βρυώδη* Di: *γ. καὶ* mg. add. A[2] 15 *τῇ χρόᾳ* delebat Sar., exspectamus *τῇ ἐπιφανείᾳ* 16 *ἡγητέον* (in ras.) E[2] 17 *δὲ* (alt.)] *τε* E 18 *ὑπερέχοντα*] *ὑπερσαρκοῦντα* E, mg. add. A[2] 19 *κοιλώματα καὶ πρὸς αἵματος* E *κατουλοῖ*] *οὐλὰς* LQDi: corr. Marc. coll. Pl. 24 *ulcerum cava explet, cicatrices extenuat* *πρός τε* om. L

ἐνεργεῖ, καὶ δυσουροῦσιν ἁρμόζει, καὶ σπλῆνα τήκει σὺν ὕδατι πινόμενον.

122 καὶ τὸ καλούμενον δὲ ἀντιπαθὲς κουράλιον οἰητέον ὑπάρχειν, εἰδικὴν ἔχον διαφοράν. ἔστι δὲ τῇ μὲν χρόᾳ μέλαν, δενδρίζον δὲ καὶ αὐτὸ καὶ ὀζῶδες μᾶλλον.

δύναμιν δὲ ἔχει τὴν ἴσην τῷ προειρημένῳ.

123 λίθος Φρύγιος, ᾧ ἐν Φρυγίᾳ οἱ βαφεῖς χρῶνται, ὅθεν καὶ ὠνόμασται, γεννᾶται ἐν Καππαδοκίᾳ. ἄριστος δέ ἐστιν ὁ ὠχρὸς καὶ μέσως βαρύς, οὐκ ἰσότονος τῇ συγκρίσει τοῦ χρώματος, ἔχων δὲ διαφύσεις λευκὰς ὡς ἡ καδμεία.

καίεται δὲ οὕτως· βρέξας αὐτὸν ὡς ὅτι καλλίστῳ οἴνῳ δια- 2
πύροις ἔγκρυψον ἄνθραξι καὶ ῥίπιζε συνεχῶς· ὅταν δὲ μεταβάλῃ τὴν χρόαν κιρρότερος γενόμενος, ἐξελὼν ⟨αὐτὸν⟩ σβέσον τῷ αὐτῷ οἴνῳ, καὶ πάλιν εἰς τοὺς ἄνθρακας ἀποθέμενος τὰ αὐτὰ ποίει· καῖε δ' αὐτὸν καὶ ἐκ τρίτου, προσέχων μὴ θρυβῇ καὶ ἀπασβολωθῇ.

δύναμιν δὲ ἔχει ὠμός τε καὶ κεκαυμένος στυπτικὴν ἐνεργῶς, 3
ἔτι δὲ ἀνακαθαρτικὴν καὶ ἐσχαρωτικήν, κατακαυμάτων τε ἰατικὴν σὺν κηρωτῇ ⟨καὶ⟩ σηπτικὴν ποσῶς. πλύνεται δὲ ὡς ἡ καδμεία.

---

7 SIM. Pl. XXXVI 143 (unde Isid. XVI 4, 9 aliis e D. additis); Cels. V 7.
7 EXC. Orib. XIII s. v. λίθος (λίθος — ἀπασβολωθῇ), cf. Gal. XII 201 (unde Aet. II 21. Paul. Aeg. VII 3 s. v. λίθος). Ps. Gal. simpl. s. v. lapis.

---

1 σπλῆνας E 2 post πινόμενον add. οὗτος καὶ φυλακτήριόν ἐστι καὶ παντὸς κακοῦ ἀποτρόπαιον A

3 num. cap. ψπϛ' Q: ψϙβ Di: ρκθ E tit. περὶ ἀντιπαθοῦς HADi κοράλλιον LEADi: κοράλιον H: κολλάριον F (κουράλιον in ind.) 4 τὴν διαφορὰν Q 5 δροσίζον F καὶ (alt.) om. LF 6 ἴσην] αὐτὴν QDi τῶν προειρημένων L

7 num. cap. ψπζ' Q: ψϙγ Di: ρλ E tit. περὶ φρυγίου λίθου HADi λίθος δὲ E οἱ βαφεῖς ἐν Φρυγίᾳ Orib.QDi 8 ὅθεν — Καππαδοκίᾳ om. Orib. ὅθεν — ὠνόμασται om. LQ: *unde et nomen accepit* Dl ὀνομάσθη E γεννᾶται δὲ LE δὲ om. Orib. 9 μέσως] μέλας Q (corr. H²) ἰσότονος Orib.E (ι in ras.) Di: ἰότονος L: εὔτονος reliqui 10 χρώματος Orib.EDi: σώματος reliqui ἡ om. Orib.EFDi 11 καίεται δ' ὁ λίθος Di οὕτω QDi ὡς ὅτι om. Orib.Di 12 ἐὰν Di μεταβάλλῃ QDi 13 γινόμενος Q: γιγνόμενος Orib. αὐτὸν addidi e Di σβέσον post αὐτῷ coll. Orib.EDi σβέσον] βρέξον Di 14 τὸ αὐτὸ Q 15 καὶ ἔα αὐτὸν L καὶ (pr.) om. LDi, del. E² 17 καὶ om. L ἐνεργῶς LE: ἐναργῶς reliqui 18 ἐσχαρ. ποσῶς Di κατακλυσμάτων LQ: κατακλασμάτων Di, at cf. Dl *cum ceroto conbustionibus medetur* τε EDi: δὲ reliqui ἰατρικὴν LE 19 κηρῷ L καὶ addidi ex E καὶ σηπτικὴν ποσῶς om. Di ἡ om. F

124 Ἄσσιον δὲ λίθον παραληπτέον τὸν κισηροειδῆ τὴν χρόαν, χαῦνόν τε καὶ κοῦφον, ἔτι δὲ εὔθρυβῆ καὶ διαφύσεις μηλίνας ἔχοντα διὰ βάθους. τὸ δὲ ἄνθος αὐτοῦ ἐστιν ἡ ἐφιζάνουσα ἁλμυρὶς τῇ ἐπιφανείᾳ τῶν λίθων, τῇ μὲν συστάσει λεπτή, τῇ δὲ χρόᾳ τὸ μέν τι λευκόν ἐστι, τὸ δέ τι ἔοικε κισήρει, ἐπὶ τὸ μήλινον τετραμμένον, προσαγόμενόν τε τῇ γλώττῃ δάκνει ποσῶς.

2 δύναμιν δὲ ἔχει ἑκάτερον σηπτικὴν ἡσυχῇ καὶ διαφορητι-
κὴν φυμάτων τερεβινθίνῃ ἀναλαμβανόμενον ῥητίνῃ ἢ πίσσῃ.
εὐτονώτερον δὲ τὸ ἄνθος ἡγητέον· ἐκ περισσοῦ δὲ τοῦτο ξηραι-
νόμενον τὰ παλαιὰ καὶ δυσκατούλωτα ἕλκη ἰᾶται, καταστέλλει
δὲ τὰ ὑπερσαρκοῦντα καὶ μύκησιν ὅμοια καὶ θηριώδη. πληροῖ
δὲ καὶ τὰ κοῖλα τῶν ἑλκῶν καὶ ἀνακαθαίρει σὺν μέλιτι, καὶ τὰ
3 νεμόμενα δὲ ἵστησι μιγὲν κηρωτῇ. ⟨ποιεῖ⟩ καὶ ποδαγρικοῖς ἐν
καταπλάσμασι μετ᾿ ἐρεγμοῦ, καὶ σπληνικοῖς μετ᾿ ὄξους καὶ
ἀσβέστου, ἐκλειχόμενόν τε [τὸ ἄνθος] μετὰ μέλιτος φθισικοὺς
ὠφελεῖ. κατασκευάζονται δὲ καὶ πύελοι ἐκ τοῦ λίθου, εἰς ἃς
οἱ ποδαγρικοὶ τοὺς πόδας ἐντιθέντες ὠφελοῦνται, καὶ σοροὶ
σαρκοφάγοι γίνονται. ἰσχναίνει καὶ τὰ πολύσαρκα καὶ παχέα
σώματα καταπασσόμενον ⟨τὸ ἄνθος⟩ ἀντὶ νίτρου ἐν βαλανείῳ.
ἐὰν δέ τις πλῦναι θέλῃ τὰ προειρημένα, πλυνέτω ὡς τὴν
καδμείαν.

---

1 SIM. Pl. XXXVI 131 sq. (unde Isid. XVI 4, 15), cf. II 211. D. eup. I 150 (171) I 203. 204 (199) I 235 (216). Cels. IV 31 (158, 15). St. B. s. Ἀσσός.

1 EXC. Orib. XIII s. v. λίθος (Ἄσσιον — καδμείαν om. medicinalibus), cf. Orib. Syn. II 56 (V 80 D.). Gal. XII 202 (unde Aet. II 23; Paul. Aeg. VII 3 s. λίθος). Ps. Gal. simpl. s. v. lapis Asius.

---

1 num. cap. ψπη′ Q: $\overline{\text{ψϙδ}}$ Di: $\overline{\text{ρλβ}}$ E   tit. περὶ λίθου ἀσίου HDi   ἄσσιον Orib.: ἀσσίονιον (sic) L: ἄσιον reliqui   παραληπτέον λίθον Orib.   κισσηρωειδῆ L: κισηρώδη EOrib. (V 80): κισσηρώδη reliqui   2 τε] δὲ LE   καὶ εὔθρυβῆ Orib. V 80   3 διὰ om. LQ (superscr. H²)   βάθος LQ   ἡ om. L   4 ἐπίξανθος ἁλμυρὶς Di (ἐπίξανθος superscr. H²)   post ἁλμυρὶς mg. add. ἐστὶ Orib.   5 μέντοι L   6 προσαγομένη H   τε] δὲ E   γλώσσῃ E   8 ἑκάτερα E   στυπτικήν· σηπτικὴν Di   9 ῥητίνῃ] τινὶ L   ὑγρᾷ πίσσῃ Di (ὑγρᾷ superscr. H²): *pici autem resinaeve* (sc. admixtus) Pl.   10 ξηραινόμενον Di: ξηρὸν μὲν reliqui   12 καὶ (pr.) — κοῖλα om. E   post καὶ (pr.) add. ἀνακαθαίρει σὺν μέλιτι τὰ Di, superscr. H²   14 δὲ om. LFE   ποιεῖ addidi   16 τὸ ἄνθος delevi et ad v. 20 transposui   18 σόροι E (corr. E²): σωροὶ Di   σοροῖς σαρκοφάγοις L   19 σαρκοφάγοι γίνονται ἰσχναίνουσαι τὰ DiH² (in ras.)   καὶ ἰσχναίνει καὶ E   20 καταπλασσόμεναι HDi: καταπλασσόμενον LFE (corr. E²)   21 γε ἂν δέ τις Orib.   προγεγραμμένα Di   πλυτέον Orib.E   22 ὡς καδμείαν (καδμίαν E) Orib.E: ὡς ἡ καδμία L

125 *πυρίτης λίθος* εἶδός ἐστι λίθου, ἀφ' οὗ ὁ χαλκὸς
μεταλλεύεται. ληπτέον μέντοι τὸν χαλκοειδῆ, εὐχερῶς τε
σπινθῆρας ἀφιέντα. *καυστέον* δὲ τῷ τρόπῳ τούτῳ· μέλιτι
δεύσας αὐτὸν ἔνθες εἰς ἀνθρακιὰν μαλακὴν καὶ ῥίπιζε συνεχῶς,
ἕως ἂν τὴν χρόαν κιρρὸς γένηται. *ἔνιοι* δὲ εἰς πολλοὺς καὶ
πεπυρωμένους ἄνθρακας ἀποτίθενται ἱκανῶς βεβρεγμένον τῷ
μέλιτι τὸν λίθον· ὅταν δὲ μέλλῃ τρέπεσθαι ἐπὶ τὸ κιρρότερον, 2
ἀναιροῦνται, καὶ ἀποφυσήσαντες τὴν σποδὸν πάλιν καίουσι
διάβροχον, ἕως ἂν ψαθυρώτατος γένηται ὁμαλῶς· πολλάκις
γὰρ μόνον ἐπικαίεται τὴν ἐπιφάνειαν. οὕτω δὲ ἀποκαύσαντες
καὶ ξηράναντες ἀποτίθενται. ἐὰν δὲ πεπλυμένου χρεία ὑπάρχῃ,
πλυτέον ὡς τὴν καδμείαν.
δύναμιν δὲ ἔχει κεκαυμένος τε καὶ ὠμὸς θερμαντικήν τε 3
καὶ σμηκτικὴν καὶ ἀποκαθαρτικὴν τῶν ἐπισκοτούντων ταῖς κό-
ραις, διαφορητικήν τε καὶ πεπαντικὴν σκληρωμάτων ἀναλημ-
φθεὶς ῥητίνῃ· καταστέλλει δὲ καὶ τὰ ὑπερσαρκοῦντα μετὰ ποσῆς
θερμασίας καὶ στύψεως. καλοῦσι δὲ *ἔνιοι* τὸν οὕτω καέντα
διφρυγές.

---

1 SIM. Pl. XXXVI 137 (e S. N.); Sol. 37, 16 (159), unde August. de civit. dei 21, 5, ex quo Isid. XVI 4, 5 ademptis Plinianis.

1 EXC. Orib. XIII s. v. *λίθος* (*πυρίτης* — *καδμείαν*, *καλοῦσι* — *διφρυγές*); Gal. XII 199. Ps. Gal. simpl. s. v. lapis pyrites.

13 SIM. Pl. l. s. Cels. V 11. D. eup. I 153 (171).

---

1 num. cap. *ψπθ'* LQ: *ψϥε* Di: *ρλα* E tit. *περὶ λίθου πυρίτου* HADi *λίθος πυρίτης* Orib. *λίθος* om. Di *πυρίτις* H *ὁ* om. Q *τε*] *μέντοι* Q: *δὲ* Di 3 *ἀφίενται* L *τούτῳ τῷ τρόπῳ* Q: *τρόπῳ τούτῳ* Orib.: *τρόπῳ τοιούτῳ* EDi 4 *ἄνθρακας μαλακοὺς* E 5 *ὡς* Di *χροιὰν* QE, corr. E[2] *πυρρὸς* F: *πυρρός τε* (*τε* ditt.) L *εἰς* om. Di 6 *ἄνθρακας* om. Q (superscr. H[2]) *ἱκανῶς* om. L, post *πεπυρωμένους* colloc. E, post *ἄνθρακας* Orib.Di 7 *ἐπὶ* om. L: *εἰς* Q *κιρρὸν* Orib.EDi 9 *ψαθυρώτερος* HDi: *ψαθυρώτατον* L 10 *γὰρ εἴωθεν μόνην* E *ἐπιφλέγεται* Orib.: *περικαίεται* E: *καίεται* LQ *οὕτως* F 11 *ὑπάρχῃ*] *ᾖ* Orib. 12 *πλυτέον οὕτως ὡς καδμία* E: *ὡς καδμείαν πλυτέον* Orib. *ἡ καδμία* L *τὴν* om. Di 13 *τε* (pr.) om. HE *θερμαντικήν*] *καθαρτικήν* Q *τε καὶ* (alt.) . . . *καὶ* om. Di 14 *κόραις*] *ὄψεσι* Di 15 *πεπτικὴν* EDlDi post *σκληρωμάτων* dist. EDl: *ἀναληφθεὶς δὲ ῥητίνῃ καταστέλλει τὰ* Di, at cf. D. eup. l. s. *καὶ σκληρίας μαλάσσει λίθος πυρίτης κεκαυμένος ἀναληφθεὶς ῥητίνῃ τερεβινθίνῃ* 16 *δὲ καὶ* om. Di *καὶ* om. Q 17 *ἔνιοι τὸν οὕτω . . . καλοῦσιν* Orib. *οὕτως* FE verba *καλοῦσι* — *διφρυγές* fort. post *ἀποτίθενται* (v. 11) transponenda sunt

126 *αἱματίτης* δὲ λίθος ἄριστός ἐστιν ὁ εὔθρυβὴς μὲν ὡς ἐν ἑαυτῷ, σκληρὸς δὲ καὶ κατακορὴς ὁμαλῶς, ἀνεπίμικτος ῥυπαρίας τινὸς ἢ διαζωμάτων.

δύναμιν δὲ ἔχει στυπτικὴν ⟨καὶ⟩ θερμαντικὴν ποσῶς καὶ λεπτυντικὴν καὶ σμηκτικὴν οὐλῶν τῶν ἐν ὀφθαλμοῖς καὶ τραχωμάτων σὺν μέλιτι, σὺν δὲ γάλακτι γυναικείῳ πρὸς ὀφθαλμίας
2 καὶ ῥήξεις καὶ ὑφαίμους ὀφθαλμούς. πίνεται δὲ σὺν οἴνῳ πρὸς δυσουρίας καὶ ῥοικάς, καὶ πρὸς αἵματος πτύσιν σὺν χυλῷ ῥόας· γίνεται δὲ καὶ κολλούρια καὶ ἀκόνια ἐξ αὐτοῦ πρὸς τὰ ἐν ὀφθαλμοῖς πάθη ἐπιτήδεια.

καίεται δὲ ἐμφερῶς τῷ Φρυγίῳ λίθῳ τοῦ οἴνου περιῃρημένου· μέτρον δὲ ἔστω τῆς καύσεως τὸ γενέσθαι αὐτὸν μέσως
3 κοῦφον καὶ πεπομφολυγωμένον. δολοῦσι δέ τινες τὸν προειρημένον οὕτω· λαβόντες βῶλον σχιστοῦ λίθου πυκνόν τε καὶ στρογγύλον — τοιαῦται δέ εἰσιν αὐτοῦ αἱ λεγόμεναι ῥίζαι — εἰς κεραμεᾶν γάστραν σποδιὰν ἔχουσαν θερμὴν ἐγκρύπτουσιν, εἶτα διαλιπόντες μικρὸν ἀναιροῦνται καὶ ἐπ' ἀκόνης τρίβουσι δοκιμά-
4 ζοντες, εἰ τὴν αἱματίτου χρόαν ἀπείληφε. κἂν μὲν οὕτως ἔχῃ, ἀποτίθενται, εἰ δὲ μή, πάλιν ἐγκρύπτουσι, συνεχῶς ἐφορῶντες καὶ δοκιμάζοντες· ἀφεθεὶς γὰρ ἐπὶ πολὺ ἐν τῇ σποδιᾷ

---

1 SIM. Th. lap. VI 37; Pl. XXXVI 144 sq. Sol. 30, 34 (136, 11). Isid. XVI 8, 5; Orph. lith. 152 (Ab.). Damig. lap. 9 (170 Ab.) — D. eup. I 38 (110) 41 (112) II 82 (294).

1 EXC. Orib. XIII s. v. *λίθος* (*αἱματίτης — λεπτυντικήν, καίεται — μεταλλεύεται*), cf. Orib. Syn. II 56 (V 80 D.) Gal. XII 192. 195 (unde Aet. II 13. Paul. Aeg. VII 3 s. v. *λίθος*). Ps. Gal. simpl. s. v. lapis.

---

1 num. cap. *ψϟʹ* LQ: $\overline{\text{ψϟϛ}}$ Di: $\overline{\text{ρλγ}}$ E tit. *περὶ αἱματίτου λίθου* HADi *δὲ* om. Orib. *ἐστιν* om. Q *μὲν καὶ κατακορὴς ἤτοι μέλας, ἐν ἑαυτῷ δὲ σκληρὸς καὶ ὁμαλός* Di 2 *ἐν αὐτῷ* Orib.E (*ἑαυτῷ* corr. E^{2}) post *ἑαυτῷ* superscr. *ἤτοι μέλας* H^{2} *σκληρὸς δὲ καὶ* om. E *κατάκορος* E *ὁμαλός τε καὶ* Orib.E: *ὁμαλός* L, cf. Dl *equalis colore rufo* 4 *καὶ* addidi 5 *ὀδόντων καὶ οὐλῶν* E 6 *δὲ* om. F, post *γάλακτι* colloc. H 7 *καὶ τάραξιν* (*ν* in *σ* corr. E^{2}) *καὶ ῥίξεις* E 8 *καὶ πρὸς δυσ.* H *δυσουρίας* LE: *δυσουρίαν* reliqui *πρὸς* (alt.) om. E *πτύσιν* LE: *πτύσεις* reliqui 9 *κολλύριον* Q: *κολλύρια* Di *κολλούρια ἐξ αὐτοῦ καὶ* EDi ad *ἀκόνια* cf. D. I 98, 2 (89, 20). Gal. XII 192 10 *περὶ ὀφθαλμοὺς* E 11 *περιραινομένου* Orib.E, at cf. Pl. *uritur ut Phrygius, sed non restinguitur vino* 12 *γίγνεσθαι* E 14 *οὕτως* F *λίθου σχιστῆς* Q 15 *αὐτοῦ* post *ῥίζαι* colloc. Orib.EDi *κεραμίαν* L: *κεραμείαν* Di, corr. E^{2}: *κεραμίου* Orib. 16 *θερμοσποδιὰν* Di *διαλείποντες* Orib.Q: *διαλειπόντες* L 18 *τὴν τοῦ* Spr. *καπιδὰν* E (*κα* in ras.): *καὶ ἂν* Orib. *μὲν οὖν* A 19 *μὴ* om. L *ἐγκρύβουσιν* Orib. *εἰσφέροντες* E

μεταβάλλει τῷ χρώματι, ἔπειτα καὶ διαχεῖται. ἀπελέγχεται δὲ ὁ κεκακοτεχνημένος πρῶτον μὲν ταῖς διαφύσεσιν· ὁ μὲν γὰρ ἐπ' εὐθείας εἰς κτηδόνας ἀποκλᾶται ὁ δὲ αἱματίτης οὐχ οὕτως ἔχει· ⟨εἶτα⟩ καὶ ἀπὸ τῆς χρόας· ὁ μὲν γὰρ εὐανθὲς ἀνίησιν ὁ 5
δὲ αἱματίτης βαθύτερον καὶ τῷ κινναβάρει ἐοικός.

εὑρίσκεται δὲ ἐν τῇ Σινωπικῇ μίλτῳ, καὶ ἐκ τῆς μαγνήτιδος δὲ πέτρας καιομένης ἐφ' ἱκανὸν κατασκευάζεται, αἱματίτης δὲ αὐτοφυὴς ἐν Αἰγύπτῳ μεταλλεύεται.

127 σχιστὸς δὲ λίθος γεννᾶται μὲν ἐν τῇ καθ' ἑσπέραν Ἰβηρίᾳ, ἄριστος δὲ εἶναι δοκεῖ ὁ παρακροκίζων τῇ χρόᾳ, εὔθρυβής τε καὶ εὔσχιστος ὡς ἐν ἑαυτῷ· ἔοικε δὲ τῆς συνθέσεως ἕνεκεν καὶ ἀλληλουχίας τῶν κτηδόνων αὐτοῦ ἀμμωνιακῷ ἁλί.

δύναμιν δὲ τὴν αὐτὴν τῷ αἱματίτῃ εἰσφέρεται, τῇ εὐτονίᾳ 2
μόνον λειπόμενος αὐτοῦ. πληροῖ δὲ καὶ κοιλώματα γυναικείῳ διεθεὶς γάλακτι, καὶ πρὸς ῥήξεις καὶ προπτώσεις, ἔτι δὲ τραχύτητας βλεφάρων καὶ σταφυλώματα λίαν ἐνεργεῖ.

128 τοῦ δὲ γαγάτου προκριτέον τὸν ταχέως ἐξαπτόμενον

9 SIM. Plin. XXXVI 144 sq. (e S. N.), Isid. XVI 4, 18; Cels. V 7.
9 EXC. Orib. XIII s. v. λίθος (σχιστὸς — ἀμμωνιακῷ); Gal. XII 196. Aet. II 14. Ps. Gal. simpl. s. v.
17 SIM. Plin. XXXVI 141 (unde Isid. XVI 4, 3); schol. Nic. Th. 37; Orph. lith. 474 sq. Geop. XV 1, 32. — D. eup. II 88 (296) 128 (323). Nic. Th. l. s.
17 EXC. Orib. XIII s. v. λίθος (τοῦ δὲ — ἄγαν, γεννᾶται — Γάγαι); Gal. XII 203 (unde Aet. II 24). Ps. Gal. simpl. s. v. lapis gagates.
17 TEST. Gal. XII 203: ἔστι δὲ καὶ ἄλλος λίθος μέλας τὴν χρόαν ὅταν

1 τὸ χρῶμα E: τὸ χρώματι L   καὶ om. Q   2 κακοτεχνημένος HDi: κακοτετεχνιμένος E² (τε pr. add. E²)   3 ἐπ' εὐθείας κτηδόνας Orib.Di post ἀποκλᾶται c. 12 litteras del. E²   post αἱματίτης c. 20 litt. del. E²   οὐχ οὕτως — χρόας om. mg. add. E² (cum ·/· in textu)   αἱματίτης ὡς ἔτυχε Orib.   4 εἶτα addidi ex Orib.   καὶ ἀπὸ τ. χρ.] τῇ χρόᾳ Orib.: ἐν τῇ χρόᾳ Di   γὰρ add. E² post γὰρ add. ἐπ' ἀκόνης τριβόμενος Serap.   εὐανθῆ Di   5 βαθυτέραν . . . ἐοικυῖαν Di   6 δὲ] δὲ καὶ Orib.Di: καὶ E   ἐν] ἐπὶ Orib.   καὶ om. E   μαγνίτιδος libri   7 δὲ om. Orib.HDi   αἱματίτης· ὁ δὲ αὐτοφυὴς Orib.EDi

9 num. cap. ψϙα' LQ: ψϙζ Di: ρλδ E   tit. περὶ σχιστοῦ λίθου HADi   δὲ om. Orib.   μὲν om. Orib.   τῇ om. L   κατεσπέραν ἰβηρίαν L: κατ' ἱσπανίαν ἰβ. Di   10 εὔθρυπτος Orib.   12 ἕνεκα Q   ἕνεκεν post ἀλληλουχίας transpos. E   ἀλληλουχίας (ας in ras.) E²   ἀμμωνιακῶν L (om. ἁλ), ἁλί om. QEOrib., at cf. Dl *visu similis sali ammoniaci*   13 δὲ ἔχει E   ἀμμανίτῃ L   εἰσφέρεται E² (εἰσ in ras.)   15 γάλακτι διεθεὶς E   πρὸς πτώσεις E (προ superscr. E²): *procidentesque oculos praeclare prohibet* Plin.   16 σταφυλώματα καὶ τραχύτητας βλ. E   παχύτητας Q   λίαν] ἄγαν E   ἐνεργές L

17 num. cap. ψϙβ' Q: ψϙη Di: ρλε E   tit. περὶ γαγάτου λίθου QDi γαγάτου λίθου E

καὶ ἀσφαλτίζοντα ἐν τῇ ὀσμῇ· μέλας δὲ κοινῶς ὑπάρχει καὶ αὐχμηρός, ἔτι δὲ πλακώδης καὶ κοῦφος ἄγαν.

δύναμιν δὲ ἔχει μαλακτικὴν καὶ διαφορητικήν· ἔστι δὲ καὶ ἐπιληπτικῶν ἔλεγχος ὑποθυμιαθείς, καὶ ὑστερικὰς ἀνακαλεῖται.
2 *διώκει δὲ καὶ ἑρπετὰ θυμιαθείς, καὶ ποδαγρικαῖς μείγνυται δυνάμεσι. γεννᾶται δὲ ἐν Λυκίᾳ εὑρισκόμενος κατά τινος ποταμοῦ ἔκρυσιν εἰς τὴν θάλασσαν ἐκχεομένου· καλεῖται δὲ ὁ τόπος Γάγαι.*

129 *ὁ δὲ λεγόμενος* **Θρᾳκίας** *γεννᾶται μὲν κατὰ Σιντίαν ἐν ποταμῷ τῷ λεγομένῳ Πόντῳ. δύναται δὲ τὰ αὐτὰ τῷ γαγάτῃ. ἱστορεῖται δὲ ἐκκαίεσθαι μὲν αὐτὸν ὕδατι, σβέννυσθαι δὲ ὑπ' ἐλαίου, ὅπερ καὶ ἐπὶ τῆς ἀσφάλτου γίνεται*

130 *τοῦ δὲ* **μαγνήτου λίθου** *ἄριστός ἐστιν ὁ τὸν σίδηρον εὐχερῶς ἕλκων καὶ τὴν χρόαν κυανίζων, πυκνός τε καὶ οὐκ ἄγαν βαρύς.*

ὁμιλήσῃ πυρί, παραπλησίαν ὀσμὴν ἀσφάλτου ποιῶν, ὃν ὁ Διοσκουρίδης καὶ ἄλλοι τινὲς ἐν Λυκίᾳ φασὶν εὑρίσκεσθαι κατὰ τὸν ποταμὸν ὄνομα Γαγάτην, ὅθενπερ καὶ αὐτῷ τῷ λίθῳ τὴν προσηγορίαν εἶναί φαμεν.

9 SIM. Ps. Arist. mir. 115; Antig. 136; Nic. Th. 45 (cum schol.), Ael. n. a. IX 20 (ex Sostr.); Pl. XXXIII 94; Gal. XII 204; Steph. B. s. v. *Σιντία*.

9 EXC. Orib. XIII s. v. *λίθος* (*ὁ δὲ — γίνεται*); Isid. XVI 4, 8 (aliis aliunde additis). Ps. Gal. simpl. s. v. lapis Thracias.

13 SIM. Pl. XXXVI 127 (unde aliis additis Isid. XVI 4, 1 sq.); Orph. lith. 306 sq.; Dam. lap. 30 (185 A.); Geop. XV 1, 28; Porph. de abst. 4, 20; Gal. XII 204; Aet. II 25; Paul. Aeg. VII 3 s. v. *λίθος*.

13 EXC. Orib. XIII s. v. (*τοῦ δὲ — πιπράσκουσιν*), cf. Orib. Syn. II 56 (V 80 D.). Ps. Gal. simpl. s. v.

---

1 *ἐν* om. QDi 2 *καὶ* om. Orib. 3 *καὶ* (pr.) om. E 5 *δὲ* om. FDi post *ποδαγρικαῖς* add. *καὶ ἀκόποις* ADi, superscr. H² 6 *δυνάμεσι* om. EDi *δὲ*] abhinc deest cod. L *κιλικίᾳ* HA *τινος* corr. E²: *τινα ποτ. εἴσρυσιν* Di *ποταμοῦ* (*υ* in ras.) E²: om. A 7 *ἔκρυσιν* (*ἐκ* in ras.) E² *τὴν* om. Orib.Di post *ἐκχεομένου* add. *ἔστι δὲ πλησίον τῆς λεγομένης παλαιουπόλεως* (*πλαγιουπόλεως* DiH²) AH²Di *τόπος*] *ποταμός* Gal. Orib.E: *τόπος ἢ ὁ ποταμός* DiH²A 8 *γαγά* Q: *γάγης* Orib.: *γαγαῖος* E: *γάγας* DlDi, cf. Steph. B. s. *Γάγαι* in fine add. *παρ' οὗ τῷ στόματι εὑρίσκονται οἱ λίθοι οὗτοι* (*οὗτοι οἱ λ.* Di) AH²Di

9 num. cap. *ψϙγ'* Q: *ψϙθ* Di: *ρλϙ* E tit. *περὶ θρακίου λίθου* HDi *θράκιος* Orib.: *θράκιος γαγάτης* E *κατὰ Σιντίαν*] *ἐν σκυθίᾳ* libri: *in equitia* Isid.: *in isquintia* Dl: corr. Salm. 10 *τῷ* (pr.) om. Orib. 11 *καίεσθαι* Orib.EF *ὑπὸ ὕδατος* Orib.E

13 num. cap. *ψϙδ'* Q: *ω* Di: *ρλζ* E tit. *περὶ μαγνίτου λίθου* HDi *μαγνήτου* Orib.: *μαγνίτος* E (*μάγνιτος* E²): *μαγνίτου* reliqui 14 *τῇ χροιᾷ* Orib. *τε* om. Orib. *οὐκ* om. superscr. H²

11 *ν̅* RF *καταπλασθέντες* Or. 12 *ἢ — φύλλα* om. FM (mg. add. M²)

13 *ν̅α̅* RF 14 *ἄνησσον* scripsi, *ἄνησον* R: *ἄννησον* F 16 *ῥίζας* Q *σὺν οἴνῳ ἢ κηρωτῇ ἀναλημφθεῖσα* Aet. l. s. *σὺν οἴνῳ*] *σὺν μέλιτι* H fort. *βολβὸς καθ' ἑαυτὸν ἢ* coll. D. II 170 (237, 6) 17 post *καταπλασσόμενος* add. *αἴρινον* R: *αἴρειον* FH (*ἐν ἄλλω αἴρινον* mg. add. M²), cf. v. 18 *ἢ αἴρινον* om. O 18 *θάλασσα θερμὴ* Aet. l. s. 20 *δὲ* addidi 21 *τὸ*] *τοῦ* Q 24 *ἐντεθὲν* R: *δεθὲν* H, sed cf. Crit. (Gal. XII 817, 4)

ὀθόνιον ἀποβαπτομένου τοῦ ἐνδέσμου εἰς θερμὸν ὕδωρ καὶ πυριωμένου τοῦ ὑπωπίου· ἐπὶ πάντων δὲ τῶν καταχρισμάτων 3
πυριᾶν δεῖ μετὰ τὴν ἀφαίρεσιν αὐτῶν· ἅμα γὰρ τὰ οἰδήματα καὶ τὰ πελιώματα διαφορεῖ. ἔτι δὲ καὶ τυρὸς ἁλμυρὸς καταπλασσόμενος· αἵρει γὰρ παραχρῆμα· ἐὰν δὲ μένῃ, καὶ κρομύου δεῖ μιγῆναι χυλόν. αἵρει δὲ καὶ ἄρου ῥίζα ἐπιτιθεμένη, ἢ σηπίας ὄστρακον ξυσθὲν καὶ μετὰ ὄξους καταχρισθέν, ἢ νᾶπυ ἀναληφθὲν σὺν κηρωτῇ.

54 (57) τὰς δὲ περὶ τὰ ὦτα ἀλγηδόνας καὶ φλεγμονὰς παραμυθεῖται ταῦτα ἐνσταζόμενα χλιαρά· παρθενίου χυλός, μυὸς ὠτίδος ὁμοίως· Ἀχιλλείου, ἡδυόσμου χυλὸς σὺν μελικράτῳ· δρακοντίου χυλὸς ἐν ἐλαίῳ διεθείς, ἑλξίνης χυλὸς σὺν ῥοδίνῳ, καννάβεως σπέρματος χλωροῦ χυλός, κισσοῦ κορύμβων χυλὸς σὺν ῥοδίνῳ καὶ εἰς τὸ ἀντικείμενον οὖς ἐγχεόμενος, κολοκύνθης ξυσμάτων χυλὸς ὁμοίως, λεύκης φύλλων χυλὸς ὁμοίως σὺν ῥοδίνῳ, ναρκίσσου
φύλλων χυλὸς ὁμοίως ἢ τῆς ῥίζης· ὀριγάνου χλωροῦ χυλὸς σὺν 2
γάλακτι γυναικείῳ, πηγάνου χυλὸς ἢ πολυγόνου ἐν σιδίῳ ῥοᾶς θερμανθείς, πράσου τῶν φύλλων χυλὸς σὺν ῥοδίνῳ, σεύτλου χυλός, σφονδυλίου χυλὸς τοῦ ἄνθους, πευκεδάνου ὀπὸς σὺν ῥοδίνῳ ἢ μηκωνίῳ, ἰτέας τῶν φύλλων χυλός· ἀλώπεκος στέαρ χλιαρὸν ἐνσταζόμενον, ἅλες ὀρυκτοὶ λεῖοι σὺν ὄξει· ἔλαιον ἀμυγδάλινον, ἴρινον, δάφνινον, κίκινον, κρόκινον, σησάμινον, ὑοσκυάμινον, τὸ δὲ ἀμυγδάλινον μετὰ ἀλόης ὀλίγης καὶ κρόκου, κάχρυ σὺν ἀμυγ-
δαλίνῳ ὁμοίως· κυάμου Αἰγυπτίου τὸ ἐντὸς πικρὸν σὺν 3
ῥοδίνῳ, χαλκὸς κεκαυμένος λεῖος σὺν ὄξει καὶ ῥοδίνῳ, λιβανω-

9 SIM. Scrib. Larg. 39. Archig. (Gal. XII 620 sq. 640 sq.). Aet. VI 80.

2 πάντων] πίτων F 4 ἁλμυρὸς] νεαλὴς Arch. l. s. 808 5 μένει R 6 μισγῆναι λεῖον R: μισγῆναι λύον F: μισγῆναι λείου H: corr. Moib. 7 καταχρισθέντα Q 8 νάπυον Q post κηρωτῇ add. Aet. l. s. σικύου ἀγρίου ῥίζα λεία μετὰ μέλιτος, λινόσπερμα λεῖον μετὰ γάλακτος.

9 $\overline{\nu\beta}$ RF tit. περὶ ὤτων Q τὰ om. F 11 fort. ἢ ἡδυόσμου χυλὸς] ξύλον O, cf. D. III 34 (46, 5) μέλι (μέλιτι H) ἀκράτῳ Q 12 ἐλαίῳ] μέλιτι H καννάβεως — ῥοδίνῳ om. Q ad καννάβεως cf. D. III 148 (157, 4) 13 ad κισσοῦ cf. D. II 179 (249, 10) 14 ἐγχεόμενος Moib.: ἐγχεόμενον O κολοκύντης O ξ. ὁ χυλὸς Q 16 χυλὸς (pr.)] χυλῶν χυλὸς R χυλὸς χλωροῦ H 18 πάσου R (in mg. corr. alt. m.) verba σεύτλου — ῥοδίνῳ om. Q 19 post σφονδυλίου χυλὸς dist. R, at cf. D. III 76 (89, 8) ἢ] καὶ Q 21 ὀρυκτοὶ Sar.: φρυκτοὶ R: φρικτοὶ reliqui ὄξει· ἔλαιον] μέλιτι libri, correxi e D. V 109 (81, 13) 22 σησάμινον] σούσινον coni. Moib. ex Arch. (Gal. 12, 620) ὑοσκυάμου Q 23 post ἀμυγδαλίνῳ dist. Q 25 post ῥοδίνῳ transp. λιβανωτὸς σὺν οἴνῳ Q Moib.

τὸς σὺν οἴνῳ, μηκώνιον σὺν σμύρνῃ καὶ ῥοδίνῳ καὶ κρόκῳ καὶ
γάλακτι γυναικείῳ· οὖρον ὄνου, ταύρου, σνάγρου, αἰγὸς σὺν
ῥοδίνῳ· πισσέλαιον, κεδρία σὺν ῥοδίνῳ μύρῳ, στυπτηρία πολυ-
4 *γόνου ἢ ῥοᾶς χυλῷ ἀνεθεῖσα· νάρδος ἐν κοχλίᾳ Λιβυκῷ ἀνα-*
ληφθεῖσα καὶ μετὰ τὸ ἑψηθῆναι ἐγχυθεῖσα· ὠφελεῖ καὶ τὸ ἐκ
τοῦ ἐλειοῦ λίπος, ὃς ⟨Ῥωμαιστὶ⟩ καλεῖται γλῆρις, καὶ γάρος ὁ
Σπάνος, ὃς σοκιώρου λέγεται, ἐγχεόμενα, καὶ σιλφῶν τῶν κατοι-
κιδίων τὸ ἐντὸς λεῖον σὺν ῥοδίνῳ ἐνσταζόμενον, ἢ οἱ κατοι-
κίδιοι ὄνοι μετὰ ῥοδίνου ἢ ἐλαίου λεῖοι χλιανθέντες, ἢ γῆρας
5 *ὄφεως ἐν ἐλαίῳ ἑψηθὲν ἢ μύρῳ μετὰ κωδύας μήκωνος· ἀράχνη*
τὸ ζῷον λεῖον μετὰ ῥοδίνου καὶ ὄξους, κηκὶς λεία ἐνδεθεῖσα
ὀθονίῳ καὶ ἑψηθεῖσα ἐν οἴνῳ ἀνωδύνους ποιεῖ. ὠφελεῖ καὶ
ψυχρὸν ὕδωρ εἰς τὸ ἀντικείμενον οὖς ἐγχεόμενον, καὶ σαρκῶν
βοείων ὀπτωμένων ⟨ὁ⟩ ἰχὼρ ἐγχεόμενος τῷ ἀλγοῦντι, καὶ
κεδρία μιγεῖσα ναρδίνῳ, ποτὲ μὲν πρὸς ἴσον, ποτὲ δὲ πρὸς
διπλοῦν.

55 (58) *πρὸς δὲ τὰς γινομένας ῥήξεις τῶν ὤτων ἁρμόζει ἐγχυματιστὰ ταῦτα· ἄνησσον σὺν ῥοδίνῳ, ἀπαρίνης χυλός, ἀρνογλώσσου χυλός, στρύχνου χυλὸς ὁμοίως, κεδρία σὺν ῥητίνῃ τερμινθίνῃ συντακεῖσα, σόγχου χυλὸς καὶ ἡ ῥίζα σὺν ἐλαίῳ καὶ σιδίῳ ἑψηθεῖσα, χολὴ βοεία μετὰ γάλακτος ἢ πράσου χυλοῦ, ὠκίμου χυλὸς σὺν χηνείῳ στέατι.*

---

4 SIM. Nicerat. (Gal. XII 634) — 6 Scrib. L. l. s. Arch. (Gal. l. s. 623) — 7 Arch. (Gal. l. s. 641) — 8 Nicer. (Gal. l. s. 634) Scrib. L. l. s. — 9 Archig. (Gal. l. s. 622) — 11 Archig. (Gal. l. s. 642). — 13 Arch. (Gal. 623). — 14 Nicerat. (Gal. l. s. 634) Scrib. L. l. s.

---

3 *κεδρεία* R: *κεδρέα* Q 4 *χυλῷ*] *χυλὸν* F 5 *ὑψωθῆναι* F *ἐκχυθεῖσα* F post *ὠφελεῖ* dist. O, correxi *καὶ*] *κἂν* libri *τὸ* R: *τοῦ* reliqui *ἐκ τοῦ λείπους* (*λίπους* H) *ἔλαιον* O, correxi Moibano duce, cf. II 74 6 *ὁ* libri, corr. Moib. *Ῥωμαιστὶ* add. *γαροσπανονοσοκκιωρους* R: *γὰρ ὁ ἀπα*(*ο* H)*νονοσοκιώ*(-*ό*- H)*ρους* Q, correxi coll. Arch. (Gal. l. s. 622) *ἢ τὸ Σπάνον γάρος θερμαίνων διὰ ξύστρας* (sc. *ἔνσταζε*), Pl. 31, 94 (*garon sociorum*), Asclep. (Gal. l. s. 637) *γάρου μέλανος, Ῥωμαιστὶ λεγομένου σοκιώρου* (*ὀξυπόρου* ed.) 7 *ἐγχεόμενα* scripsi: *ἐγχεόμενον* O *σιλίων* (mend. not.) H: *σίλιον* F, cf. D. II 36 (133, 11), Gal. XII 641 9 *χλυ*(*ι* H)*αθέντες* FH 10 *ἐλαίῳ*] *ἐλατω* F (*ἐλάττω* M) *κωδείας* R: *κωδίας* reliqui 11 *λεῖον* om. H *ἐντεθεῖσα* Moib., at cf. Arch. (Gal. l. s.) *ἢ κηκίδα λείαν ὀθονίῳ ἐνδήσας ἕψε ἐν οἴνῳ* 12 fort. *εὐθέως ἀνωδύνους* coll. Gal. l. s. 13 *ἐκχεόμενον* F 14 *ὁ* addidi *ἐκχεόμενος* F

17 $\overline{\nu\beta}$ F (*ἄλλον* MH): om. R (spat. rel.) 18 *ἐγχυμάτιστα* Q: *ἐγχυματίζεις ἐγχυμάτιστα* R *ἀρνογλώσσου χυλός* om. F (mg. add. M²) 20 *σόκχου* H *χυλὸν* F *ἡ* om. R *καὶ* (alt.)] fort. *ἐν* 21 *πράσσου* R 22 *χεινίω* F, ad rem cf. Pl. 20, 123

56 (59) ὑπατμίζεται δὲ διὰ καλάμου πρὸς ὠταλγίας καὶ ἤχους
ἀψινθίου ἀπόζεμα ⟨ἢ⟩ ὑσσώπου ἢ δαφνίδων ἢ ἀβροτόνου μετ'
ὄξους ἢ διὰ κοχλάκων πεπυρωμένων ἑψηθέν· ἢ θάλασσα θερμή,
⟨ἢ⟩ θεῖον ἄπυρον ὑποθυμιώμενον· δεῖ δὲ πωμάσαντα τὴν χύτραν
καὶ περιπλάσαντα πηλῷ τιτράναι κατὰ μέσον τὸ πῶμα καὶ
οὕτως δέχεσθαι εἰς τὴν εὐρυχωρίαν τοῦ ὠτὸς τὸν ἀτμόν· καὶ
πυρία δὲ ἁρμόζει πρὸς τὰ ἀλγήματα τοιαύτη· ἐγχέας εἰς ὄξος
ἔλαιον κεχλιασμένον ἐν ὠτεγχύτῃ καὶ περιθεὶς ἔριον μηλωτίδι
⟨ἐν⟩απόβαπτε θερμῷ τῷ ὄξει καὶ θερμὸν κάθες ⟨εἰς τὸ οὖς⟩
τὸ ἔριον, μέχρι ἀνέχεται.

57 (60) πρὸς δὲ τὰς πυορροίας καὶ ἑλκώσεις ἁρμόζει ἐνσταζόμενα ἢ σὺν ἐρίῳ ἁπαλῷ ἐντιθέμενα ταῦτα· ἀγριελαίας χυλός,
ἀπαρίνης χυλὸς ὁμοίως, ἀμόργη ἐν ἐλαίῳ ἡψημένη, λύκιον
⟨καὶ⟩ μάλιστα τὸ Ἰνδικόν, ἀσφοδέλου χυλὸς καθ' ἑαυτὸν καὶ
σὺν λιβανωτῷ καὶ μέλιτι καὶ σμύρνῃ καὶ οἴνῳ χλιανθείς·
ἀψίνθιον λεῖον σὺν μέλιτι, γῆς ἔντερα ἑψηθέντα σὺν στέατι
χοιρείῳ ἢ ἐλαίῳ· ἢ βάτου φύλλων χυλὸς ἐν ἐλαίῳ, γῆρας ὄφεως 2
ἑψηθὲν ἐν οἴνῳ, διφρυγὲς σὺν μέλιτι, ἐλαίας χυλός, σμύρνα
σὺν καστορίῳ καὶ μηκωνίῳ καὶ γλαυκίῳ, κισσοῦ λευκοῦ χυλὸς
σὺν ἐλαίῳ, κρομύων ὁμοίως· μίσυ σὺν ῥοδίνῳ, ἀπαρίνης χυλὸς
καὶ ἀφέψημα, ὀμφάκιον σὺν μέλιτι, οὖρον ἀφθόρου παιδὸς ἐν
ῥοᾶς σιδίῳ ἑψηθέν· κονία συκίνη συγκλυζομένη, πίσσα ὑγρὰ 3

6 SIM. Gal. XII 603, Apoll. (Gal. l. s. 653).
11 SIM. Archig. (Gal. l. s. 640).

1 nov. cap. inc. Sar., anteced. adiungit O 2 ἢ addidi μετ' R: δι' reliqui 4 ἢ addidi 5 περιπλάσαντα om. R κατὰ] ἐπὶ R 6 οὕτω Q εὐρυχωρίαν R: εὐρίαν Q (ι ex υ corr. H) 7 ἐκχέας H 8 κεχλιασμένον ἐν ὠτεγχύτῃ] κεχρωσμένον (κεχρωμένον F: κεχρωμενῶν H, mend. not.) χάρτῃ O: καὶ κρομύων χυλὸν coni. Moibano duce Sar., correxi coll. Gal. XII 603 post κρομύων χυλὸν haec habet Sar. θέρμαινε καὶ περιθεὶς ἔριον μηλωτίδι ἀπόβαπτε θερμῷ τῷ ὄξει καὶ κάθες εἰς τὸ οὖς μέχρις ἀνέχεται μελώτιδι R: μελοτίδι F post μηλωτίδι habet O καὶ θερμαίνων (θερμὸν F) καθιεὶς τὸ ἔριον μέχρι (μέχρις H) ἀνέχεται· ἀπόβαπτε (ἀπόβαπται R) δὲ θερμῷ τῷ ὄξει: correxi

11 num. cap. om. RF, sed ἄλλον mg. add. Q πυρρίας R: πυρροίας F: ἐπιρροίας H ἐνσταζόμενον F (corr. M[2]) 13 ἀπυρίνης O (corr. M[2]) ἑψομένη R: ἑψημένη reliqui, correxi λυκεῖον R 14 καὶ addidi, cf. I 152 καθ' ἑαυτὸν καὶ Sar.: ἀπαρίνης χυλὸς O (del. M[2]), at cf. D. II 169 (235, 16) 15 χλιαθὲν F (corr. M[2]) 17 χοιρείῳ] χειρίῳ F, fort. χηνείῳ coll. D. II 67 (142, 13) φύλλων om. RF 18 καὶ ἐλαίας H 19 καὶ (pr.) om. R μηκώνιον R καὶ γλαυκίῳ] σὺν γλυκεῖ O (καὶ add. M[2]), corr. Moib. e D. I 64 (58, 26) 20 κρόμμυον O (-ων superscr. M[2]) 22 κονίας F συκίνης R

ὁμοίως, καὶ αὐτὴ ⟨δὲ⟩ σὺν ῥοδίνῳ ὀλίγῳ ἐν κελύφει ῥοᾶς ἑψηθεῖσα· πολυγόνου χυλὸς ἑψηθείς, στοιβῆς καρπὸς ἑψηθεὶς ἐν οἴνῳ, στυπτηρία πᾶσα σὺν πολυγόνου χυλῷ, χάλκανθον ἑψηθὲν σὺν μέλιτι, χολὴ βοεία μετὰ μέλιτος.

58 (61) τοὺς δὲ γεννωμένους σκώληκας ἐν ταῖς χρονίαις περὶ τὰ ὦτα ἑλκώσεσιν ἀποκτείνει· ἀμυγδάλινον ἔλαιον ἐγχεόμενον, καλαμίνθης χυλός, καππάρεως φύλλων χυλὸς ἢ τοῦ καρποῦ χλωροῦ, κεδρία, οὖρον ἀνθρώπινον παλαιόν, ἐλλέβορος λευκὸς λεῖος μετὰ μέλιτος, καὶ τοῖς πρὸς τὰς ἑλκώσεις ἀναγεγραμμένοις χρηστέον.

59 (62) τὰς δὲ ὑπερσαρκώσεις τὰς ἐν τοῖς ὠσὶ γινομένας καθαιρεῖ μέλας ἐλλέβορος ξηρὸς λεῖος ἐπιπασσόμενος. ἀφαιρεῖ δὲ αὐτὰς ταχέως τρὺξ ⟨μετὰ ἀσβέστου καὶ κονίας⟩ στακτῆς λεία, γλοιώδης δι' ἐρίου καὶ μηλωτίδος προστεθεῖσα.

60 (63) ἤχους δὲ τοὺς περὶ τὰ ὦτα ὠφελεῖ σῦκον λεῖον ἀναλημφθὲν σὺν σινήπει καὶ νίτρῳ καὶ ἐντεθὲν καὶ ἐαθὲν ἐπὶ ἡμέρας ⟨ε'⟩, ἐλλέβορος μέλας ξυόμενος καὶ ἐντιθέμενος ἑκάστης ἡμέρας νεαρός· ἢ δάφνινον καὶ ἀμυγδάλινον, ἑκάστου ἴσον, καστορίου ὀλίγον, ὄξους σταλαγμοὺς τρεῖς τρίψας ἐν τῷ αὐτῷ
2 ⟨ἀγγείῳ⟩ καὶ χλιάνας ἔνσταζε· ἢ φλοιοῦ ῥαφανίδος χυλὸν ἐπὶ
τρεῖς ἡμέρας ἔγχει, τῇ δὲ τετάρτῃ ἐκχέας τὸν χυλὸν καλαμίδα διαμπὰξ τετρημένην κάθες εἰς τὸ οὖς, κατὰ δὲ τὸ ὑπερκεί-

5 SIM. Apoll. (Gal. XII 658) Archig. (Gal. l. s. 642).
11 EXC. Orib. V 726, 9.
15 SIM. Archig. (Gal. l. s. 644) Apoll. (Gal. l. s. 646).

1 *καὶ* om. R *δὲ* addidi 2 *πολυγόνου χυλὸς ἑψηθεὶς* om. Q *καὶ* (*ἢ* H) *στοίβης* Q 4 *καὶ χολὴ* Q

5 num. cap. om. O, spat. rel. R, *ἄλλο* mg. add. F *γενομένους* R: *γινομένους* reliqui, correxi 6 *τὰ* om. F *ἐκχεόμενον* F 7 *καὶ καλαμίνθης* (ditt.) Q *καππάρεως — χυλὸς* om. Q, at cf. D. II 173 (241, 13) 8 post *οὖρον* del. *ἀφθόρου* R *ἀνθρώπειον* Q 9 fort. *καὶ τοῖς δὲ*

11 *μβ̄* F, *ἄλλον* HM *ὑπερσαρκήσεις* R: *ὑπερσαρκίσεις* F: *ὑπερελκώσεις* HM *τοῖς* om. Or. *γιγνομένας* O *καθαιρεῖ* Or.: *καθαίρει* Q 13 *μετὰ — κονίας* om. O, add. Moib. ex Orib. l. s. *στακτὴ* H 14 *μελώτιδος* R *προστιθεῖσα* R: *προστίθησιν* F: *προστιθεμένη* H

15 nov. cap. inc. Moib., *ἄλλον* mg. add. F, *ἄλλο* in textu hab. H *παρὰ* Q (corr. M² in mg.) 16 *σὺν νάπυι ὑγρῷ ἀναλημφθέντα* D. I 128 (118, 12) *καὶ* (pr.) om. H *ἐντεθὲν* om. mg. add. H 17 *ἡμέρας* O: *ἡμέραν* Moib. *ε'* addidi 18 *δαφνίνου καὶ ἀμυγδαλίνου* O, correxi 19 *καστόριον* H *σταλμοὺς* F 20 *ἀγγείῳ* addidi *ἔνσταξον* F 21 *ἔκχει* F *ἐγχέας* R *τὸν χυλὸν*] *τὸ ξύλον* R: *τῶν ξύλων* Q, corr. Moib. 22 *διαμπὲξ* R *τετρημένην* Moib.: *τετριμμένην* (-*ων* H) O

μενον μέρος ἢ καλαμὶς ἐχέτω ἐλλύχνιον καιόμενον· οὕτω γὰρ πυριώμενον ὠφελεῖ λίαν· κλύζεται δὲ παραχρῆμα διὰ νίτρου καὶ ὕδατος. ποιεῖ καὶ γάρος, μέλι, ῥόδινον ἴσα· ἢ ἀμυγδάλινον 3 σὺν μέλιτι, ἢ ἔλαιον βαλάνινον μετὰ στέατος χηνείου· δαφνίδων πίεσμα σὺν οἴνῳ καὶ ῥοδίνῳ ἐνσταζόμενον, κεδρία σὺν ὑσσώπῳ, κρομύου χυλός, κύμινον ἄγριον σὺν μυελῷ μοσχείῳ καὶ πηγάνου χυλῷ· κύπρινον, ἴρινον, σούσινον σὺν ὄξει καὶ πηγάνῳ καὶ ἀμυγδάλοις πικροῖς· νίτρον, ἀφρόνιτρον σὺν ὄξει καὶ λιβανωτῷ, πράσου χυλός, μέλι Ἀττικὸν σὺν ὄξει, περσέας τὸ ἐντὸς μετὰ ῥοδίνου χλιαρὸν ἐνσταζόμενον.

61 (64) δυσκωφίας δὲ θεραπεύει χρονίας χαλκοῦ ἄνθος λεῖον ἐμφυσώμενον εἰς τὸν πόρον διὰ σωληνίου· ἀσφοδέλου ῥίζα ἐν ἐλαίῳ ἡψημένη τοῦ ἐλαίου ἐνσταζομένου, κρομύων χυλός, σικύου ἀγρίου τῶν φύλλων χυλὸς ἐν ὄξει, οὖρον αἰγὸς ἐγκλυζόμενον συνεχῶς θερμόν, καὶ τὸ διὰ σινήπεως καὶ νίτρου καὶ σύκου ἐντιθέμενον.

62 (65) πρὸς δὲ τὰς τῶν ὑδάτων ἐναπολήμψεις κρομύου χυλὸς ἐνσταζόμενος διακόπτει τὴν τοῦ πνεύματος ἔνστασιν· ἔκμυζε δὲ τὸ ὕδωρ καλαμίδα διαμπὰξ τετρημένην ἐνθεὶς τῷ ὠτίῳ.

63 (66) τὰ δὲ τεθλασμένα τῶν ὠτίων ἰῶνται μὴ ἐῶντες διαπυΐσκειν καὶ εἰ διαπυήσειεν, διαφοροῦντες βολβοὶ σὺν ἀλφίτῳ καταπλασσόμενοι· σμύρνα σὺν κοχλίου σαρκί, θεῖον ἄπυρον σὺν σμύρνῃ καὶ οἴνῳ καὶ λιβάνῳ καὶ πίσσῃ καταχριόμενον· ἐὰν δὲ ἐρυθήματα ᾖ καὶ φλεγμοναὶ μεγάλαι, σησάμῳ λείῳ κατάπλασσε ἢ χόνδρῳ ἐν ὄξει ἑφθῷ.

---

11 SIM. Archig. (Gal. l. s. 655).
17 SIM. Apoll. (Gal. l. s. 659).
20 SIM. Archig. (Gal. l. s. 661).

---

1 ἢ om. Moib. κάλαμος Q 2 κλήζεται F 3 γάρον O, correxi coll. I 78. 231. II 55. 57. 4 βαλάνιον H: βαλανεῖνον reliqui χηνείου R: χοιρίου reliqui 7 χυλὸν F ἴρινον R: ἶριν F (corr. M[2]) σούσινον] σέλγικον O, corr. Moib. καὶ (pr.) om. RM 9 περσέως F

11 nov. cap. inc. Moib., ἄλλον (ἄλλο H) add. FH 13 ἑψημένη O, correxi κρομμύου Moib. 14 χυλὸς om. F (superscr. M[2]) 15 θερμαῖνον Q ad rem cf. Archig. (Gal. l. s. 655, 16)

17 nov. cap. inc. Moib., ἄλλο vel ἄλλον add. Q κρομμύων H 18 ἔνμιξε F (ἐκμύξαι mg. add. M[2]): ἐκμύξαι reliqui, correxi 19 τετριμένην R: τετρυμμένην Q

20 nov. cap. inc. Moib., ἄλλο(ν) add. Q 21 εἰ om. F διαπυρίσειεν F (in mg. corr. M[2]): διαπυίσειεν H 22 καταπλασσομένῳ RF, corr. Moib. κοχλίῳ Q 23 καὶ πίσσῃ Moib.: σὺν πίσσῃ O καταχριόμενος O, corr. Moib. 24 εἴη R φλεγμονὴ μεγάλη Moib. μεγάλαις ἤ, σαμωλείῳ F

64 (67) ζῴου δὲ ἐμπεσόντος εἰς τὸ οὖς ἐνσταζόμενα ἀναβιβάζει ταῦτα· μολόχης χυλός, Κενταυρείου ἀφέψημα μετὰ ὄξους, πευκεδάνου ὀπός, ἀψινθίου χυλός, ὀπὸς σκαμμωνίας μετὰ νίτρου καὶ ὕδατος, ἐλατήριον, ⟨ῥαφάνου⟩ χυλῷ νίτρον ἀναλημφθέν, θεῖον ἄπυρον σὺν ὄξει, χολὴ μυὸς καὶ βατράχου διειμέναι ὄξει, πράσου χυλὸς σὺν μέλιτι, θεῖον διεθὲν ἀφθόρου παιδίου οὔρῳ.

65 (68) λιθαρίου δὲ ἢ κυάμου ἢ ἄλλου τινὸς ἐμπεσόντος εἰλήσας ἔριον περὶ μηλωτίδα καὶ βρέξας ῥητίνῃ ἢ ταυροκόλλῃ καθεὶς πραέως ἅπτου.

πρὸς ὀδονταλγίας.

66 (69) πρὸς δὲ τὰς ὀδονταλγίας ἁρμόζει ἑψόμενα σὺν ὄξει
καὶ ἀνακογχυλιζόμενα — δεῖ δὲ θερμοῖς αὐτοῖς χρῆσθαι καὶ
ἐφ' ὅσον δύναταί τις χρόνον διακρατεῖν ἐν τῷ στόματι κατὰ
τὸν ἀλγούμενον ὀδόντα —· ὑοσκυάμου ῥίζα, πενταφύλλου ῥίζα,
ἀλθαίας ῥίζα, πύρεθρον, ὀνωνίδος ῥίζα, ἀρνογλώσσου ὁμοίως·
δαδία καὶ μελάνθιον, σταφὶς ἀγρία, ἐλλέβορος μέλας, καππάρεως ῥίζα καὶ ὁ ἐκ τῶν ἀπίων αὐτῆς καρπός, ἐλάφου κέρας
ὠμὸν καὶ κεκαυμένον, θεῖον ἄπυρον ὀλίγον σὺν ὀριγάνῳ καὶ δα-
2 δίῳ, μελισσόφυλλον, γλήχων, μόρων φύλλα καὶ ἡ ῥίζα· σίλ-
φιον, ὀπόφυλλον μετὰ ὑσσώπου καὶ σύκου, πίτυος καὶ λεύκης
φύλλα, σικύου ἀγρίου ῥίζα, σκορόδου ῥᾶγες σὺν λιβανωτῷ, τιθυμάλλου ⟨ῥίζα⟩, μήλων Περσικῶν ὀστᾶ, κηκὶς μετὰ ἁλὸς καὶ
κεδρία, ἕκαστον τούτων σὺν ὄξει. ἢ κολοκυνθίδα κενώσας καὶ
ἐναποζέσας αὐτῇ ὄξος δίδου διακλύζεσθαι· ἀποβάλλει δὲ τοῦτο
3 καὶ τοὺς σαθροὺς αὐτῶν. ὠφελεῖ δὲ καὶ ἀγρώστεως τῆς ἐν

1 SIM. Archig. (Gal. l. s. 658), unde Orib. V 725, Aet. VI 85.
7 SIM. Archig. Gal. l. s. (656) Aet. VI 87.
11 SIM. Archig. (Gal. XII 855 sq.)

1 nov. cap. inc. Moib., ἄλλον add. Q 3 ὀπὸς (alt.) — ῥαφάνου χυλῷ om. Q 4 ῥαφάνου addidi ex Archigene (Gal. l. s.) ἀλειφθέν Q 5 ἄπυρον om. R διειμένα RF: διεμένη H, corr. Moib. 6 χυλὸν Q διεθὲν] θειενθὲν F: ἐντεθὲν H
7 nov. cap. inc. Moib., ἄλλο(ν) add. Q 8 μελιτίδα Q: μελωτίδα R

11 num. cap. $\overline{\nu\gamma}$ RF tit. πρὸς (περὶ Q) ὀδονταλγίας O τὰς om. Moib. 12 χρᾶσθαι F 13 κατὰ] ἐπὶ R 14 ἀγκούμενον F: ἀντικείμενον H 15 πύρεθρον (αι superscr.) R 16 ad rem cf. D. III 79 (93, 8) 18 καὶ (pr.) om. Q, ἢ coni. Moib. 19 γλήχων om. F (superscr. M²) μόρων R: μόρρων reliqui: μορέας Sar., cf. Arch. (Gal. l. s. 858, 1) σιλφίου ὀπὸς μετὰ coni. Sar., fort. σιλφίου ὀπός, ὀπόφυλλον coll. D. III 80 (95, 14. 96, 18) 21 τιθυμάλλου R: τιθυμάλλῳ F: τιθύμα (λ superscr.) H 22 ῥίζα addidi ex Arch. 23 κεδρία R: κεδρίας reliqui verba ἕκαστον — ὄξει del. vult Moib., at cf. Arch. (Gal. l. s. 855, 18) σὺν R: μετὰ reliqui ὄξει RF: ὄξους H 24 τούτων Q: τοῦτον R 25 δὲ fort. delendum

Παρνασσᾷ γεννωμένης ὁ χυλὸς σὺν ὀξάλμῃ, ἀρνογλώσσου τῶν φύλλων ὁ χυλός. σὺν οἴνῳ δὲ ἀφεψηθέντα ⟨δίδοται⟩ πρὸς τὴν αὐτὴν χρῆσιν φλόμου ῥίζα, ἁλικακκάβου ἀγρίου ῥίζα, ἀσπαράγου ῥίζα, νίτρον σὺν πεπέρει, πήγανον, πλατάνου σφαιρία, ὀξυμυρσίνης ῥίζα, ὀπὸς σιλφίου, ῥόδα ξηρὰ ἐν οἴνῳ ἑψηθέντα ἄχρι τρίτου· ἐπὶ δὲ τῆς χρείας δίδου ἀνακλύζεσθαι.

67 (70) διαμασώμενα δὲ καὶ δηχθέντα τῷ πεπονθότι ὀδόντι ὠφελεῖν πέφυκεν λευκακάνθης ῥίζα, κηκῖδος τὸ ἐντός, πυρέθρου ῥίζα. ὠφελήσεις δὲ ὀδονταλγίας ἐνεργῶς τρυγόνος θαλασσίας κέντρου τῷ ἄκρῳ παρατρίβων τὸν ἀλγοῦντα ὀδόντα· σήπεται δὲ τὸ πεπονθὸς μέρος τοῦ ὀδόντος. ἔνιοι δὲ ἐπὶ καλαμίδι ἐγκρύπτοντες αὐτὸ οὕτως χρῶνται, ὑπολαμβάνοντες συμβάλλεσθαι καὶ τοῦτο πρὸς ἀπονίαν.

68 (71) εἰς δὲ τὸ βρῶμα ἐντιθέμενα ἢ περιπλασσόμενα τῷ ὀδόντι ὠφελεῖ τοὺς ὀδονταλγοῦντας — ἔνια δὲ θρύπτει ἢ σήπει —· ἀμόργη ἡψημένη ⟨μετ'⟩ ἐλαίου ὀμφακίνου, ἄχρι ἂν γένηται μελιτώδης· αὕτη καὶ περιχριομένου τοῦ ὀδόντος ἐκτινάσσει· βατραχίου ῥίζα ὁμοίως σκευασθεῖσα θρύπτει· ἀμπέλου δάκρυον ἐντιθέμενον μετ' ὀποπάνακος καὶ σιλφίου, ἄσφαλτος ὑγρὰ σὺν νίτρῳ περιπλασθεῖσα· πύρεθρον ταριχευθὲν 2 σὺν ὄξει ἐπὶ ἡμέρας μ', ἐλαίας Αἰθιοπικῆς δάκρυον, ῥοῦ [τοῦ] βυρσοδεψικοῦ δάκρυον, ὀπὸς συκῆς ἀγρίας καὶ ἡμέρου, τιθυμάλλου ὀπός· ἄνωθεν δὲ κηρὸν ἐπιτίθει πρὸς τὸ

5 SIM. Archig. (Gal. l. s. 856).
9 SIM. Pl. 32, 70 Cels. VI 9 (247, 10).
14 SIM. Archig. (Gal. XII 859), unde Aet. VIII 35.
20 SIM. Archig. (Gal. XII 864).

1 *παρνασῷ* Q *γενομένης* F: *γινομένης* reliqui, correxi 2 *ὑψωθέντα* F: *ἑψηθέντα* MH *δίδοται* addidi 4 post *πεπέρει* add. *καὶ* HMoib. *πηγάνῳ* Q, cf. Arch. (Gal. l. s. 856, 1) 5 *ἐν* om. Q 6 *ἀναβλύζεσθαι* Q fort. *συνεχῶς διακλύζεσθαι* coll. Arch. *ἐπὶ ⟨δὲ⟩ τῆς χρείας συνεχῶς διακλύζου*

7 a *διαμασώμενα* nov. cap. inc. Moib. *ὀδόντι* R: *ὀδόντας* Q, cf. Arch. (Gal. l. s. 861, 7) 8 *λευκακάνθου* R: *λευκάνθου* (*λευκανθέμου* H) Q, correxi Moib. duce coll. D. III 19 (25, 4) 9 post *ῥίζα* *ἄλλο(ν)* add. Q *ὠφελήσει* R: *ὠφελεῖ* Q, correxi *ἐνεργῶς* (*α* superscr.) R 10 *κέντρον* H 12 *ἐκκρύπτοντες* Q *αὐτῷ* R *οὕτω* Q 13 *ἀπόνοιαν* O (corr. M²)

14 nov. cap. inc. Moib., *ἄλλο(ν)* add. Q 16 *ἑψημένη* O, correxi *μετ'* add. Moib. *ἄχρις* Q 17 post *αὕτη* dist. F *περιχριομένου τοῦ ὀδόντος* RF: *περιχριομένη τοῦ ὀδόντος* M: *περιχριομένη τὸν ὀδόντα* Moib. 18 *θρύπτει* R: *θραύει* F (*θρύπτει μέντοι αὐτούς de mat. med.* m. rec. mg. add. M): om. H, 20 *πλασθεῖσα* M 21 *μ'* R: *τεσσαράκοντα* reliqui 22 *ῥοῦν* RF: *ῥόος* N, fort. *ῥόος* scribendum *τοῦ* (dittogr.) delevi *βυρσοδεψικοῦ* O, fort. *βυρσοδεψικῆς* 23 *κηρὸν*] *κισσὸν* coni. Moib. coll. Orib. V 742, sed cf. D. IV 164 (311, 5)

φράσσεσθαι τὸ βρῶμα. χαλβάνη καὶ περιπλάσσεται, κεδρία
καὶ θραύει τὸν ὀδόντα, κηκῖδος τὸ μέσον, μόρων τῆς ῥίζης ὀπός·
ὀπὸς σιλφίου σὺν σαρκὶ σταφίδος καὶ περιπλάσσεται ἢ σὺν ῥη-
τίνῃ ἢ σὺν κηρῷ, σὺν δὲ θείῳ καὶ λιβανωτῷ ἐν ὀθονίῳ ἔγχριστος
3 περιτίθεται· ὀποπάναξ ὁμοίως ἐπιτηδευθεὶς σὺν σανδαράκῃ,
σῶρι Αἰγύπτιον ῥητίνῃ ἀναλημφθέν, σαύρας ἧπαρ ἐντεθέν, πευ-
κεδάνου ὀπὸς ἢ θεῖον ⟨ἄπυρον⟩ ἢ κηκὶς λεία μετὰ λυκίου περι-
πλαττόμενα μετὰ τὴν κάθαρσιν, ἢ πέπερι καὶ κρόκος ῥητίνῃ
τερμινθίνῃ ἀναλημφθέντα· ἢ ὄφεως γῆρας καύσας καὶ τρίψας
μετ᾽ ἐλαίου περίχριε γλοιώδη ⟨ποιῶν⟩, περιχαράξας πρότερον·
ἢ κάρδαμον καὶ νᾶπυ ἔμπλασσε, ἢ στυπτηρίαν μετὰ μέλιτος
φορίμην ἑψήσας διάτριβε τὸν ὀδόντα, ἢ ὄφεως γῆρας ἐπιτίθει,
4 ἢ κηκῖδα λείαν καὶ σμύρναν ἑψήσας μετὰ μέλιτος ἐντίθει, ἢ
ἄσφαλτον, πίσσαν, στυπτηρίαν, ⟨μαστίχην⟩ Χίαν, κεδρίαν
ὁμοίως, χαλβάνην, πέπερι, κόκκον Κνίδιον· ἢ βατράχου ἧπαρ
καὶ ῥοῦν βυρσοδεψικὴν ἑψήσας ἐν ὕδατι μέχρι τοῦ πάχος ἔχειν
⟨μέλιτος⟩, εἶτ᾽ [ἐν]απορρίψας τὰ σκύβαλα τὸ ἀπόθλιμμα ἕψε,
ἕως ἐμπλαστρῶδες γένηται, καὶ ἐντίθει· ἢ πρόπολιν μαλάξας
περίπλασσε.

69 (72) εἰς δὲ τὸ ἀντικείμενον οὖς τοῦ ἀλγοῦντος ὀδόντος ἐν-
στάζεται ἀσφοδέλου χυλός, καρδάμου χλωροῦ χυλός, κισσοῦ
τοῦ χρυσοκορύμβου σφαιρία ε´ θλασθέντα καὶ σὺν ῥο-

---

6 SIM. Archig. (Gal. l. s. 859).
9 SIM. Arch. (Gal. l. s. 860).
20 SIM. Archig. (Gal. XII 862. 861).

---

2 ad *κηκῖδος τὸ μέσον* cf. D. I 107 (100, 15) *μόρον* F: *μόρου* Moib. 4 *ἢ*] *καὶ* Moib. ad rem cf. D. III 80 (95, 14) *ἐγχρισθεὶς εἰς ὀθόνιον* D. l. s. 5 *ἐπιτιδευθεῖσανδαράχη* R: *ἐπιτηδευθεῖσαν σανδαράχη* F: *ἐπιτηδευθεῖσα σανδαράχη* H, correxi 6 fort. *ῥητίνῃ τερμινθίνῃ* ex Arch. 7 *ἄπυρον* addidi ex Arch. l. s. *λυκείου* R: *γλυκείου* F: *γλυκέως* H, at cf. Arch. (Gal. l. s. 860, 1) 8 *σὺν ῥητίνῃ* Moib. 9 *ἀναληφθεῖσα* O, correxi 10 *γλοιώδη* O *ποιῶν* addidi coll. Arch. l. s. *περιχαράξας*] *περικαθάρας* Arch. l. s. 12 *γῆρας* om. Q (mend. not. H) fort. *ἐντίθει* coll. Arch. l. s. 13 *σμυρίαν* Q 14 post *πίσσαν* add. *κηρίον* (vide insequ.) Q *μαστίχην* addidi ex Arch. (Gal. XII, 873, 17) *κεδρίαν*] *κηρίον* O (post *ἄσφαλτον* coll. Q), corr. Moib. 17 *μέλιτος* add. Moib. *εἶτ᾽* R: *εἶτε* F (*α* superscr. M): *εἶτα* H *ἐναπορρίψας* O: *ἐξιπώσας καὶ ἀπορρίψας* Gesn., correxi (*ἐν* dittogr.), ad rem cf. Pl. XXXII 81 *ἕψει* F: *ἕψῃ* HM

20 nov. cap. inc. Moib., spat. interm. O 22 ad rem cf. D. II 179 (249, 13 sq.), Arch. (Gal. l. s. 861. 862) *σφαιρία* Q (*ι* add. M[2]), D. l. s.: *σφαῖραι* R *ε̅* N: *ι̅ε̅* reliqui: *πέντε* D. l. s., Arch. l. s. *θλασθέντα* H: *θλασθεῖσαι* reliqui

δίνῳ ἐν σιδίῳ ῥοᾶς θερμανθέντα, σεῦτλον χυλὸς μετὰ κυμίνου κόκκων γ', ὄφεως γῆρας θλασθὲν καὶ μετὰ ῥοδίνου ἑψηθέν. εἰς δὲ τὸν ἀντικείμενον μυξωτῆρα ἐνστάζεται ὠφελίμως ἀναγαλλίδος χύλισμα. περιαπτομένη δὲ ὀδόντος πόνον ἱστορεῖται παύειν λεπιδίου ῥίζα.

70 (73) ἀρεῖς δὲ ἀπόνως, ἂν περιχαράξας περιπλάσῃς θείῳ, ἢ μολύβδαιναν λείαν κηρῷ ἀναλημφθεῖσαν παρεμπλάσῃς, ἢ πύρεθρον ὄξει ταριχεύσας ἐπὶ ἡμέρας μ' περιπλάσῃς, κηρῷ τοὺς ἄλλους ἀσφαλισάμενος, ἢ σῶρι μετ' ὄξους λειώσας· ἢ σώρεως ⟨· δ', μολυβδαίνης ⟨· ϙ' κεδρίας τῷ αὐτάρκει ἀναλάμβανε.

71 (74) τὰς δὲ ἐπὶ τῶν παιδίων ὀδοντιάσεις καὶ κνησμοὺς παύει βούτυρον διαχριόμενον καθ' ἑαυτὸ καὶ μετὰ μέλιτος, λαγωοῦ ἐγκέφαλος ὀπτὸς παρατριβόμενος καὶ ἐσθιόμενος, μῦς οἱ κατοικίδιοι ἑφθοὶ ἐσθιόμενοι, καὶ τὸ πολὺ δὲ σίελον κωλύουσιν ἐπὶ τῶν παιδίων ζῶντες προσαγόμενοι τοῖς στόμασιν αὐτῶν.

72 (75) αἱμωδίας δὲ τὰς ἐπὶ τῶν ὀδόντων παύει ἀνδράχνη διαμασωμένη, ἔλαιον παρατριβόμενον.

73 (76) σμήχει δὲ τοὺς ὀδόντας ἀριστολοχείας ῥίζα, ἐλάφου κέρας κεκαυμένον μειγνυμένης ὀλίγης μαστίχης· ἅλες λευκοὶ φυραθέντες μέλιτι καὶ καέντες ἐν χύτρᾳ, ἄχρι ἀνθρακωθῶσιν· κήρυκες πληρωθέντες ἁλὶ καὶ καέντες, κίσηρις ὀπτὴ οἴνῳ σβεσθεῖσα, κοχλίας χερσαῖος καεὶς σὺν μέλιτι, λίθος Ἀραβικὸς κα-

6 SIM. Archig. (Gal. XII 864), unde Aet. VIII 36.
11 SIM. Archig. (Gal. XII 874), unde Orib. V 743, 3.
17 SIM. Arch. (Gal. l. s. 874, 1), unde Orib. l. s.
19 EXC. Orib. IV 549, 1. Aet. VIII 37 (158ᵛ 37). Paul. III 26 (38ʳ 47).

1 ῥοίῳ Q θερμανθέντα H: θερμανθεῖσαι reliqui . 2 κόκκην (κόμην H) Q: κόκκου Moib. γ' om. QMoib. 4 post χύλισμα spatium rel. Q δὲ om. Q ἱστόρηται R, ad rem cf. D. II 174 (242, 4) 5 παύει HM
6 ab ἀρεῖς nov. cap. incip. Moib. ἄρεις RF ἂν O, fort. ἐάν περιπλάσῃς R 7 λείαν] πολλὴν RF: corr. Moib., cf. Arch. (Gal. l. s. 864) παρεμπλάσῃς R: περιπλάσῃς F: om. H (spat. rel.) 8 fort. σὺν ὄξει περιπλάσεις RF, ad rem cf. Archig. l. s. 10 τὸ αὔταρκες Q
11 nov. cap. inc. Moib. 12 παύει] πάνυ M: ὠφελεῖ πάνυ H αὐτὸ R: ἑαυτὸν F 13 ad rem cf. D. II 19 (127, 19) 14 ἑφθοὶ R, om. reliqui: ὀπτοὶ D. l. s. τὸ] τῶν R: τὸν reliqui, cf. D. II 69 (143, 3) ουελὸν Q 15 τῷ στόματι H
17 nov. cap. inc. Moib., spat. rel. O ἐπὶ om. H
19 nov. cap. hab. Moib., spat. rel. O 21 φυρασθέντες Q ἄχρις H Paul. Moib. 22 ἀλὶ O, fort. ἁλσὶ coll. I 169

εἰς σὺν μέλιτι, μύακες συγκεκαυμένοι ⟨μέλιτι⟩, ἢ σηπίας ὄστρακον κεκαυμένον· τούτων ἑκάστῳ ἢ εὐωδίας χάριν μείγνυται νάρδου στάχυος ὀλίγον ἢ σχοίνου ἄνθους· ἢ ἔρια οἰσυπηρὰ κεκαυμένα λεῖα ὀλίγον ἁλὸς αὐτοῖς μειγνυμένου.

74 (77) *σειομένους δὲ ὀδόντας κρατύνει καὶ οὖλα πλαδῶντα διακλυζόμενα καὶ διακρατούμενα ἐφ' ἱκανὸν ἐν τῷ στόματι· ἐλαίας τῶν φύλλων ἀφέψημα, γάλα ὄνειον, κολυμβάδος ἐλαίας χυλός, σμύρνα σὺν οἴνῳ καὶ ἐλαίῳ διακλυζομένη, γαγάτης λίθος σὺν οἴνῳ ἑψηθείς, πλατάνου φύλλα σὺν ὄξει ἑψηθέντα, ὄξος σκιλλιτικόν, βάτος διαμασωμένη, μολόχης ῥίζα ὁμοίως, ἰὸς*
2 *σιδήρου προσαπτόμενος ξηρός, κύτινος ὁμοίως· στυπτηρία σχιστὴ μιγεῖσα σμύρνῃ ἢ δίχα τῆς σμύρνης σὺν ὄξει ἢ μέλιτι, σῶρι κεκαυμένον ὁμοίως, στύραξ σὺν ἁλσὶν ἐπιτιθέμενος· ἢ σμύρνα, σχιστή, πομφόλυξ, ἄμυλον ἴσα λεῖα ξηρά· ἢ ῥοᾶς λεπύχανα, κηκίς, χάλκανθος, ἴσα ἐν ὄξει δευθέντα διακλυζόμενα· ἢ βάτραχοι ι', [ἢ] ὄξους ἡμίχουν, χαλκοῦ ἄνθους ⟨· δ', μανδραγόρου ῥίζης ⟨· ϛ' ἑψόμενα μέχρι τρίτου καὶ διακλυζόμενα. ποιεῖ καὶ πρὸς ἀλγηδόνας τοῦτο· ἀλόης ⟨· δ', λιβάνου ⟨· α', σχιστῆς ⟨· δ', μέλιτι μιγέντα διατριβόμενα.*

75 (78) *πρὸς δὲ τὰ οἰδοῦντα τῶν οὔλων καὶ ἐκσαρκοῦντα ἢ σηπόμενα ἁρμόζει διακλυζόμενα καὶ διακρατούμενα· ἀνδράχνης χυλός, ἀστραγάλου ῥίζης ἀπόζεμα ἐν οἴνῳ, ἐλαίας κολυμβάδος ἅλμη, ἔλαιον ὠμοτριβὲς καὶ μήλινον καὶ σχίνινον διακρατούμενα, σμύρνα σὺν οἴνῳ καὶ ἐλαίῳ, κεδρία σὺν ὄξει ἢ ἀμόργῃ,*

---

3 SIM. Arch. (Gal. XII 876, 16), unde Aet. l. s.
5 SIM. Arch. (Gal. XII 873). Aet. VIII 31.
20 SIM. Arch. (Gal. XII 874).
20 EXC. Aet. VIII 24. Paul. III 26 (38b 7).

---

1 *μέλιτι* addidi 2 *ἕκαστον* O, corr. Sar. 3 *ἄνθος* Q
5 nov. cap. inc. Moib., spat. rel. O 6 *τῷ* om. Q 7 *καὶ γάλα* H 10 *διαμασσώμενος* Moib. 11 *στυπτηρίας σχηστῇ* F 12 *μυρσίνῃ* H *μύρνης* F: *μυρσίνης* H 14 *σχιστή* om. Q *πομφύλαξ* O 15 *λεπτιχανα λεπύχανα* (sic) R: *λεπτοχάνη* (*α* superscr. *η*) F: *λεπτοχάνια* H post *λεπύχανα* add. *ἢ* R *ἴσα* om. Moib. *ἐν* R: *σὺν* reliqui 16 *ἢ* del. Moib., cf. Pl. 32, 81 *alii denas in sextariis tribus aceti decoxere ad tertias partes ut mobiles dentium stabilirent* *ἡμίχους* Sar. *χαλκάνθους* O: *χαλκάνθου* Sar., correxi 19 *σχιστὴ* F *καὶ διατριβόμενα* Q
20 nov. cap. inc. Moib., spat. rel. O *ἐξαρκοῦντα* O, corr. Moib. 22 *ἐλαιῶν κολυμβάδων*, Aet., Paul. 23 *ἔλαιον θερμὸν* Paul. *σχοίνινον* Q *διακρατούμενον* H 24 *καὶ κεδρία* R *κεδρέας* F

κηκῖδος ἀπόζεμα, κοκκυμηλέας φύλλα ἐν οἴνῳ ἑψηθέντα, κυτίνων ἀπόζεμα, μόρων φλοιοῦ καὶ φύλλων ἀπόζεμα, ὄξος σκίλλινον.
(79) ξηρὰ δὲ λεῖα προσαπτόμενα ὠφελεῖ· ἀριστολοχείας ῥίζα, 2
ἀρνογλώσσου σπέρμα ξηρόν, ἀσπάλαθον ξηρόν, μαράθου ῥίζα κεκαυμένη, διφρυγές, ἰὸς χαλκοῦ καὶ σιδήρου, χάλκανθος ὀπτή, κηκίς, κύπερος, κύτινοι, ῥόδων ἄνθος, λύκιον, μαστίχη ξηρά, μίσυ σὺν ὄξει, χάρτης κεκαυμένος σὺν ἀρσενικῷ ὀλίγῳ, σχίνου ξυλάρια χλωρὰ παρατριβόμενα τοῖς μεταξὺ τῶν ὀδόντων. ἁρμόζει δέ, καὶ μάλιστα ἐπὶ τῶν ἐκσαρκούντων, διὰ τοῦ ζεστοῦ ἐλαίου πυριᾶν· δεήσει δὲ ἔριον μηλωτίδι περιτιθέντα καὶ ἀποβάπτοντα εἰς τὸ ἔλαιον προσάγειν, ἄχρις οὗ λευκὰ γένηται τὰ οὖλα· στέλλεται γὰρ ⟨οὕτως⟩ ὁ ῥευματισμὸς αὐτῶν καὶ ἀναξηραίνεται.

76 (80) τὰς δὲ ἐπουλίδας στέλλει στυπτηρία πᾶσα κεκαυμένη ἢ σῶρι, ξηρὰ λεῖα προσαπτόμενα.

77 (81) τὰ δὲ γεγυμνωμένα οὖλα σαρκοῖ ῥόδων ἄνθους μέρη β', καλάμου ἀρωματικοῦ μέρος α', ξηρὰ προσαπτόμενα.

78 (82) τὰς δὲ ἄφθας καὶ νομὰς θεραπεύει μέλι καὶ ὅσα πρὸς τὰ οἰδαλέα καὶ ἐκσαρκοῦντα τῶν οὔλων ἀναγέγραπται, ἐκ περισσοῦ δὲ καὶ ἰδίως ταῦτα· ἄγνου ἢ κύπρου φύλλα σὺν μέλιτι διατριβόμενα, τριβόλου χυλός, ἀκακίας χυλὸς ὁμοίως, ὑποκιστίδος ἢ ῥοὸς βυρσοδεψικῆς χυλὸς ὁμοίως, ὀμφάκιον, ὀρίγανος, ῥοῦς ὁ ἐπὶ τὰ ὄψα ὡσαύτως· βαλαύστιον ὁμοίως καὶ ξηρὸν 2
προσαπτόμενον καὶ τὸ ἀφέψημα αὐτοῦ διακλυζόμενον, σανδα-

---

9 EXC. Archig. (Gal. l. s. 875), unde Orib. V 745.
14 SIM. Orib. IV 547, 9. Aet. VIII 27.
18 SIM. Arch. (Gal. XII 1000). Sor. γυν. I 44 (293).

---

1 κηκίδος H: καὶ κηκίδος reliqui ἀπόζεσμα R κοκκυμηλέας — ἀπόζεμα om. Q, at cf. Aet. l. s. 2 μόρων O: μορέας Aet. καὶ] ἢ Aet. σκυλιτικόν H 3 a ξηρὰ nov. cap. inc. Moib., spat. rel. Q 4 ἄσφαλτος λεία add. Aet. 5 post κεκαυμένη add. [ἢ] γλήχων κεκαυμένος Aet. καὶ] ἢ Paul. 6 κύπαιρον R: κύπερον FH, correxi κύτινον H κύτινοι, σίδια, βαλαύστια Aet. λύκειον O μαστίχη] μαστίων F (corr. M^2) 7 χάρτης R: χάττης F: ἀχάτης H: χαλκὸς coni. Moib. σχοίνου Q 9 καὶ om. H ἐξαρκούντων M (corr. M^2, chart. l. F) 10 πυριᾶν H, πυριᾶ reliqui 12 οὕτως addidi ex Arch.

14 ν̅δ̅ mg. add. RF

16 ν̅ε̅ mg. add. RF γεγυμνασμένα F σαρκὶ M (chart. laes. F) 17 δύο H α'] ἓν Q ξηρὰ om. Q

18 ν̅ε̅ R 19 οἰγάλια F (in mg. corr. M^2) ἐξαρκοῦντα Q 20 ἄγρον Q 21 ὑποκύστιδος libri 22 ὀρίγανος R: ὀρίγανον ὁμοίως Q 23 ὁ om. R 24 τὸ om. F

ῥάκη σὺν ῥοδίνῳ διακλυζομένη, ὁ τῆς Βεττονικῆς πόας χυλός, ἀγριελαίας φύλλα ὁμοίως· ἀρσενικοῦ μέρος α', χάρτου κεκαυμένου μέρη γ', χρῶ δὲ ξηρῷ καὶ σὺν μέλιτι. γάρος ὁ ἐκ τῶν μαινίδων διακλυζόμενος, ἀρνογλώσσου χυλὸς διακλυζόμενος, κηκὶς μετ' ἐλαίου διακλυζομένη, στυπτηρία ὑγρὰ ὁμοίως.

79 (83) τὰς δὲ ἐν τῷ στόματι σηπεδόνας ἵστησιν μὲν καὶ τὰ πρὸς νομὰς ἀναγεγραμμένα, ἰδίως δὲ ταῦτα· μαράθου ἀγρίου ῥίζης κεκαυμένης ἡ τέφρα· ἢ μαινίδων κεκαυμένων μέρη β', ἀλόης μέρος α', ξηρά· ἢ ἀρσενικοῦ ⟨·δ', χάρτου κεκαυμένου ⟨·ιβ', ξηρά· ἢ σταφὶς λεία χωρὶς τῶν γιγάρτων καταπλασθεῖσα, ἀμόργη ἐλαίου ἑψηθεῖσα ἐπιχριομένη, Βεττονικῆς πόας χυλός.

80 (84) τὰς δὲ δυσωδίας τοῦ στόματος ἀπαλλάττει ἀγαλόχου ἀπόβρεγμα ἢ ἀπόζεμα διακλυζόμενον, σμύρνα ἢ σχοίνου ἄνθος ἢ κινάμωμον διαμασώμενα, μαλαβάθρου φύλλον ὑποτιθέμενον τῇ γλώττῃ, ὄξος σκίλλινον ἢ ἀφέψημα κεδρίνων ξύλων.

81 (85) πρὸς δὲ τὰς ἐντὸς ⟨τῶν⟩ παρισθμίων φλεγμονὰς χρώμεθα ἀναγαργαρίσμασι, μελικράτῳ μετὰ ἀποζέματος πιτύρων ἢ ῥόδων ἢ φακῆς, ἢ κοκκυμηλέας φύλλοις ἐν οἴνῳ ἑψηθεῖσιν. καὶ πρὸς τὰ εἱλκωμένα δὲ παρίσθμια ἑλξίνης χυλῷ, ἢ ἱερᾶς βοτάνης ἀφεψήματι· καὶ διαχριομένοις δὲ σὺν μέλιτι ἀκακίας χυλίσματι, ἀλόῃ, ἀμόργῃ ἡψημένῃ, βάτου τῷ χυλῷ ἡψημένῳ, ἅλσὶν ὁμοίως, λυκίῳ, πίσσῃ ὑγρᾷ, μίσυι, ὀριγάνου χυλῷ, χαλκοῦ ἄνθει,

6 SIM. Orib. V 756, 1.
6 EXC. Arch. (Gal. XII 1002).
12 SIM. Orib. V 737, 13. Aet. VIII 17.
16 SIM. Arch. (Gal. XII 972). Orib. IV, 547, 16. Aet. VIII, 49.

1 *τῆς* H: *τε* reliqui *βετονίκης* Q 4 *μείδων* R 5 *μετ' ἐλαίου*] *μετὰ μέλιτος* coni. Moib., at cf. Arch. (Gal. XII 1001) *ἢ κηκίδα λείαν μετ' ἐλαίου* post *στυπτηρία* del. *ξη* R

6 *νϛ̄* RF 9 *ξηρῶ* (*α* superscr.) M 10 *ξηρά* Moib.: *ξηρῷ* RF *ἐπιπλασθεῖσα* R 11 *καὶ καταχριομένη* Q

12 *νζ̄* RF tit. *περὶ δυσωδίας στόματος* Q *ἀγολόχου* F (*ἐν ἄλω ἀγαλόχου* mg. add. M²) 13 *διακλυζόμενα* O, corr. Moib. *σμύρνα ἢ* scripsi: *σμύρνη* O 14 *κιναμώμου* H 15 *γλώσσῃ* F fort. *ἢ ὄξος* *σκυλιτικόν* H

16 *νη̄* RF *ἐν τῷ παρισθμίων* F: *τῶν παρισθμίων* (om. *ἐντὸς*) Moib. *τῶν* addidi 17 *μελικράτου* (-*ον* H) Q 18 *ἀφεψηθεῖσιν* H ad *καὶ πρὸς* add. *νθ̄* RF, corr. Moib. 19 *ἡλκωμένα* Moib. *χυλῷ — ἀκακίας* om. Q 20 *διαχριόμενα* O, correxi 21 *ἀμόργῃ* om. R *ἑψημένῃ* (pr.) libri, correxi *τὸν χυλὸν* Q *ἡψημένης* R: *ἑψημένης* Q: *ἑψημένῳ* Moib. 22 *μίσυ* Q *χυλῷ*] *χυλόν* Q *ἄνθη* Q

μόρων χυλῷ ἡψημένῳ σὺν μέλιτι καὶ στυπτηρίᾳ ὀλίγῃ. ποιεῖ δὲ καὶ ἀμυγδάλινον ⟨ἔλαιον⟩ ζεστὸν ἐγχεόμενον εἰς τὰ ὦτα.

82 (86) τὰς δὲ κεχαλασμένας σταφυλὰς συστέλλει ἀναγαργαριζόμενα· μέλι, κνίδης χυλός, ὀξύκρατον, κοκκυμηλέας φύλλων ἀφέψημα σὺν οἴνῳ, ὀριγάνου ἀφέψημα σὺν οἴνῳ. διαχριόμενα δὲ ὠφελεῖ σὺν μέλιτι· ἅλες, ὀμφάκιον, ὀπὸς σιλφίου, στυπτηρία, κηκὶς μετὰ ἁλὸς καὶ πεπέρεως καὶ μέλιτος. προσαπτόμενα δὲ ξηρὰ ὠφελεῖ· βαλαύστιον, χαλκοῦ ἄνθος, χαλκῖτις λεία, στυπτηρία σχιστή, μίσυ, κηκίς, ὀπὸς Παρθικός, ἐλαίας Αἰθιοπικῆς δάκρυον, αἰθάλη ⟨ἡ⟩ ἀπὸ τῶν ἀνθράκων, ἅλες.

83 (87) συναγχικοὺς δὲ ὠφελεῖ ὅσα δύναται ἀποσπᾶν ὑγρασίαν· χαλᾶται γὰρ οὕτως ἡ ξηρασία καὶ ἡ πύκνωσις τῶν μερῶν. ἔστι δὲ ⟨ταῦτα⟩ ἀναγαργαριζόμενα· ὕσσωπον μετὰ σύκου ἐν ὕδατι ἡψημένον, λιβανωτὸς σὺν γλυκεῖ καὶ μέλιτι ἢ ὀξυμέλιτι, ῥαφάνου σπέρμα λεῖον σὺν ὀξυμέλιτι, σινήπεως ἐδωδίμου κύαθοι δύο σὺν μέλιτος θερμοῦ κυάθῳ ἑνί. (88) ⟨καὶ⟩ διαχριόμενα δέ· χελιδόνων κεκαυμένων σποδιὰ σὺν μέλιτι, χολὴ βοεία σὺν μέλιτι. ἰδίως δὲ ποιεῖ τῆς θαλασσίας χελώνης ⟨χολή⟩, χρυσο- 2 κόλλα μετὰ μέλιτος — κινεῖ δὲ καὶ ἔμετον —, ἅλες μιγέντες ὄξει καὶ μέλιτι καὶ νίτρῳ, ἐλατήριον μετ᾽ ἐλαίου παλαιοῦ ἢ μέλιτος ἢ χολῆς ταυρείας, κρομύων χυλὸς μετ᾽ ἐλαίου, Κενταυρείου χυλὸς μετὰ μέλιτος, ὄνοι οἱ ὑπὸ ταῖς ὑδρίαις σὺν μέλιτι, πίσσα σὺν μέλιτι. ἐπιτίθενται δὲ τῷ ἀνθερεῶνι καὶ τῷ τραχήλῳ ὠφελίμως ἅλες μετὰ πίσσης λεῖοι ἐν ὀθονίῳ. (89) ὠφελεῖ δὲ τοὺς συναγχικοὺς ἐν ποτῷ διδομένη χελιδόνων ἐσκελετευμένων ⟨· α´ σὺν ὕδατι, κάμπη ξηρὰ κοπεῖσα καὶ ποθεῖσα σὺν μελικράτῳ.

---

1 EXC. Arch. (Gal. XII 976).
3 SIM. Arch. (Gal. XII 969). Aet. VIII 43.
11 SIM. Arch. (Gal. XII 976). Aet. VIII 50.

---

1 *μόρρων* H *ἑψημένῳ* O, correxi 2 *ἔλαιον* addidi ex Arch. l. s.
3 $\overline{\xi}$ RF *στέλλει* R 4 *κνίδος χυλόν* F *φύλλα ἀφεψημένα* Moib. (*φύλλων ἀφέψη* M, superscr. *μ*, M²) 5 post *οἴνῳ* spat. rel. Q 7 post *μέλιτος* spat. rel. Q 8 *ἄνθους* F 9 *παρθενικός* O, corr. Moib., cf. Pl. 22, 100 10 *ἡ* addidi *ἅλες* om. H
11 ξᾱ RF 13 *ταῦτα* addidi, *τὰ* add. Moib. *σύκων* H 14 *ἑψημένον* (*ἑψημένων* H) O, correxi 16 *δύο* R: $\overline{ιβ}$ Q *σὺν*] *μετὰ* H *κύαθον ἕνα* Q post *ἑνί* spat. rel. Q, nov. cap. inc. Moib. *καὶ* addidi ex A 18 post *μέλιτι* spat. rel. Q *χολὴ* add. Moib. 19 a *κινεῖ* nov. cap. inc. Moib. Gesnero adversante *κινοῦσι* Sar. 23 *ἐπιτίθει* O, corr. Moib. 24 post *ὀθονίῳ* spat. rel. Q, nov. cap. inc. Moib.

84 (90) τὰ δὲ καταπινόμενα ὀστέα ἢ ἀκάνθας καὶ ἐμπηγνύμενα τῷ στομάχῳ κομιεῖ στέαρ ἡμίεφθον ἐνάψας λίνῳ κατατρήσας, ἀναγκάσας τε καταπιεῖν, καὶ μετὰ τοῦτο ἀνασπάσας ῥόθιον διὰ τοῦ ἀπηρτημένου λίνου· εἴωθε γὰρ συνεφέλκεσθαι τὸ ἐρηρεικὸς ἢ πεπηγός. δύναται δὲ καὶ διὰ σπογγίου ἁπαλοῦ ἢ ἐρίου ἢ κρεαδίων ἐντετμημένων τὸ αὐτὸ γενέσθαι· δεῖ δὲ σὺν ὕδατι καταπίνειν, ἢ ἄρτου ἁπαλοῦ τὸ ἐντὸς διδόναι καταπίνειν, ἢ σῦκα ξηρὰ μεμασημένα.

85 (91) τοὺς δὲ ἀποκεκομμένους τὴν φωνὴν ὠφελεῖ πράσου χυλὸς καταρροφούμενος, κράμβη ὠμὴ διαμασωμένη τοῦ χυλοῦ ἐπιρροφουμένου, ῥοφήματα διὰ κυμίνου καὶ πράσου καὶ ἀλεύρου λαμβανόμενα, χαλβάνης ὅσον κύαμος μιγὲν ἐπιμελῶς μέλιτι καταπινόμενον.

86 (92) βρόγχον δὲ ἀποκαθαίρει ὄξος σκιλλιτικὸν ἀναγαργαριζόμενον, σίνηπυ τοῖς βρώμασι σκευασθὲν ἀναγαργαριζόμενον· δεῖ δὲ μετὰ τοῦτο ἀναγαργαρίζεσθαι μελικράτῳ. τοῦτο καὶ τοὺς τύλους τοὺς περὶ ἀρτηρίαν καὶ παρίσθμια θεραπεύει.

87 (93) λαμπρύνει δὲ φωνὴν σκόροδον ἑφθόν τε καὶ ὠμὸν ἐσθιόμενον, πράσου καρπὸς κεφαλωτοῦ, στύραξ καταπινόμενος, σίλουρος ταριχηρὸς ἐσθιόμενος.

---

1 EXC. Orib. V 753, 14. Aet. VIII 53.
9 SIM. Orib. V 757.

---

1 $\overline{\text{ξβ}}$ RF ἀκάνθας πηγνυμένας H πηγνύμενα O, correxi ex Or. 2 κομίσει RH: κομίσῃ reliqui: κομίζουσι Or., correxi fort. λίνῳ καὶ 3 καταπίνειν Or.: πιεῖν ἐπιπιεῖν R: <· πιεῖν (= καταπιεῖν) Q 4 ῥόθιον] ἀθρόως Or. ἀπηρτισμένου H: ἀπηρτιμένου F 5 καὶ om. Moib. 6 κρεαδίων] κρεῶν σαρκῶν O, correxi ex Oribasio, fort. κρεαδίων ὠμῶν 7 ἐπιπίνειν R

9 $\overline{\text{ξγ}}$ RF ἀποκεκαυμένους Q 10 τοῦ δὲ χυλοῦ Q 11 ἐπιρροφουμένου RH: καταροφουμένου F (ἐπι superscr. M²), fort. ἐπικαταρρουφουμένου post ἐπιρροφουμένου add. σὺν μέλιτι Q, aliena post μέλιτι add. καὶ πρότερον ἐξαφριζομένου καὶ οὕτω διδόμενα (l. -ου)· καθ' ἃ πρωὶ καὶ ἑσπέρας ἀνὰ κοχλιάριν α' καταπινόμενον αὐτὸ κατ' ὀλίγον F, del. M² 12 χαλβάνη ὅσον κυάμου (κύαμος H) Q χαλβάνης μέγεθος Gesn. μιγεῖσα H 13 καὶ καταπινόμενον RF καταπινομένη H

14 $\overline{\text{ξδ}}$ RF βρόγχον] ἦχον libri, corr. Sar., ἀρτηρίαν coni. Moib. σκίλλινον F, corr. M² 16 μετ' αὐτὸ R: μετ' αὐτὰ F: μετὰ ταῦτα H, correxi 17 τὴν ἀρτηρίαν Moib. θεραπεύειν F

18 $\overline{\text{ξε}}$ RF 19 προσσόκαρτον κεφαλωτόν R: πράσσου καρπὸν κεφαλωτόν F, corr. Moib.

88 (94) *ἰᾶται δὲ τὰς μὲν χρονίας τραχύτητας Αἰθιοπίδος ῥίζα σὺν οἴνῳ πινομένη, γλυκύρριζα ἀποχυλιζομένη, σμύρνα ἀποχυλιζομένη, ᾠὸν ὠμὸν ἀκροχλίαρον ῥοφηθέν, σύμφυτον σὺν μελικράτῳ πινόμενον, πενταφύλλου ῥίζης ἀφέψημα ἀναγαργαριζόμενον.*

89 (95) *ἀλωπεκίας δὲ τὰς ἐν ταῖς κεφαλαῖς καὶ τῷ γενείῳ ἰᾶται ταῦτα καταχριόμενα προεκνιτρουμένων τῶν τόπων καὶ ἀποτριβομένων τῶν ἐψιλωμένων ὀθονίῳ σὺν ὄξει· ἀκόνης Ναξίας τὸ ἀπότριμμα τοῦ πρὸς αὐτὴν σιδήρου μετ᾽ ἐλαίου ἀκονηθέντος, ἀλκυόνιον κεκαυμένον λεῖον σὺν ὄξει ἢ οἴνῳ ἢ ἐλαίῳ, ἀπόπατος αἰγὸς ὁμοίως· μυόχοδον ἢ αἰλούρου ἀφόδευμα μετὰ νάπυος καὶ πεπέρεως καὶ ὄξους, ἀδίαντον καταπλασθὲν ἐν ὀθονίῳ, ἀρσενικὸν ἢ σανδαράκη ἀναλημφθεῖσα τερμινθίνῃ ὡς σπλήνιον, ἀσφοδέλου ῥίζης καείσης ἡ τέφρα προκατασχασθείσης τῆς ἀλωπεκίας, βατράχειον λεῖον πρὸς ὀλίγον καταπλασθέν, λεπίδιον*
ὁμοίως· ἔλαιον κίκινον μετὰ κηρύκων κεκαυμένων, ἐχίνου χερ- 2
σαίου δέρμα κεκαυμένον καὶ ἐσβεσμένον πίσσῃ ὑγρᾷ, ἢ βατράχων κεκαυμένων τέφρα ὁμοίως, ἢ ἱππόκαμποι κεκαυμένοι ὁμοίως, ἢ θαψίας χυλὸς ἐπιχριόμενος, ἢ ἰὸς σιδήρου σὺν ὄξει ἢ στέατι ἀρκείῳ ἢ ὀξυγγίῳ· ἢ καλάμου Κυπρίου φλοιὸς κεκαυμένος σὺν ὄξει, καρύου βασιλικοῦ λέπυρον καὲν σὺν οἴνῳ, καὶ τὸ Ποντικὸν δὲ ὅλον καὲν ὁμοίως ἢ σὺν ὀξυγγίῳ ἢ ἀρκείῳ στέατι·
ἢ κρόμυον λεῖον καταχριόμενον ἢ καταπλασσόμενον, κυκλαμίνου 3
ῥίζα ὁμοίως, σίνηπυ μετ᾽ ὄξους, ὀπὸς σιλφίου μετὰ κρόκου καὶ οἴνου καὶ πεπέρεως, ὁπλαὶ αἰγὸς καεῖσαι σὺν ὄξει, πίσσης ὀρρὸς σὺν ἀλεύρῳ κριθίνῳ καταπλασσόμενος, ῥαφάνου τὸ ἐκτὸς παρα-

---

6 SIM. Archig. (Gal. XII 406sq., unde Alex. Tr. I 443. Aet. VI, 55), cf. Orib. V 431, 10.

---

1 $\overline{\xi q}$ RF 3 *ἀκροχλίαιρον* R: *ἀκρόχλιον* Q 4 *μέλιτικράτω* (sic) Q
6 $\overline{\xi\zeta}$ RF tit. *περὶ ἀλωπεκίας* Q 10 *λεῖον* om. F, superscr. M² 11 *μυόχοδον* Moib.: *μυοχόδων* O *ἐλούρων* H 12 *ἐπιπλασθὲν* R 13 *ὡς σπλήνιον*] *ἀσπλήνιον* H (mend. not.): *ὡσπλήνιον* reliqui: *ἄσπληνον* coni. Moib., vix recte coll. D. III 134 (144, 3) 14 *προκατασχησθείσης* F (corr. M²) 15 *ἐπιπλασθέν* R 16 *κήκινον* (*κίκηνον* ante *κήκ.* del.) R 18 fort. *ἡ τέφρα* *κεκαυμένων* (alt.) R 20 *ὀξυγγίον* R: *ἀξουγγίον* F *φλοιός*] *χυλὸς* O, corr. Moib. e D. I 85 (81, 14) *κεκαυμένον* Q 21 *πέπυρον* F (corr. M²) 23 *ἐπιχριόμενον* R 24 *καὶ νάπυ* H *σιλφίου*] *λιβίου* F (*σιλφίου* superscr. M²) 25 *πίσσης οριος* R: *πίσσει*(*α* superscr.)*σόριος* M (chart. laes. F), correxi coll. D. I 72 (71, 8 sq.), *πισσέλαιον* coni. Moib., cf. c. 101

τριβόμενον, σκόροδον κεκαυμένον σὺν ναρδίνῳ μύρῳ καταπλασθέν, σεύτλιον ὁμοίως· μυῶν κεφαλαὶ προστριβόμεναι, καὶ αὐταὶ δὲ ὅλαι προεκνιτρωθέντος τοῦ τόπου, κάσσυμα κεκαυμένον λεῖον σὺν ὄξει.

90 (96) *τὰς δὲ ῥεούσας τρίχας ἀπὸ τῆς κεφαλῆς ἵστησιν ἀδίαντον λεῖον σὺν λαδάνῳ καὶ οἴνῳ καὶ ὑσσώπῳ καὶ μυρσινίνῳ περιχριόμενον, καὶ τὸ καλλίτριχον ὁμοίως· ἀλόη σὺν οἴνῳ μέλανι αὐστηρῷ, πορφύρας πώματα σὺν ἐλαίῳ ἑψηθέντα, ἔλαιον μυρσίνινον καὶ τὸ ἐξ ἀγρίας ἐλαίας, σμύρνα σὺν οἴνῳ καὶ λαδάνῳ καὶ μυρσινίνῳ, κάρδαμον λεῖον σὺν μυρσινίνῳ· ἢ πολύτριχον ἑψήσας ἐν οἴνῳ μέλανι ἐφ' ἱκανὸν καὶ καύσας ἰδίᾳ κάλαμον ἀρωματικὸν μετὰ ξύλων ἰτείνων, μεῖξον ὕδωρ ὄμβριον καὶ ἀναδεύσας ὕλισον καὶ μεῖξον τῷ ἀφεψήματι τοῦ πολυτρίχου καὶ χρῶ· ἢ σπυράθους αἰγείας κατακαύσας ἐπ' ὀστράκων λείας σὺν ἐλαίῳ ἄλειφε ἐψιλωμένης τῆς κεφαλῆς.*

91 (97) *ἐπὶ δὲ τῶν παιδίων ποιεῖ καλὰς καὶ πυκνὰς ⟨τὰς⟩ τρίχας ταῦτα· καρύου λέπυρον καὲν καὶ τριβὲν ἐν οἴνῳ καταχριόμενον, στέαρ ὕειον καταχριόμενον, κράμβη ὠμὴ καταπλασθεῖσα, λωτοῦ ⟨τοῦ⟩ δένδρου φύλλα, σφονδυλίου ῥίζα μετὰ τὸ ἀποσμῆξαι περιχριομένη, ἀπόπατος καμήλου καεῖσα καὶ σὺν ἐλαίῳ καταπλασθεῖσα.*

---

5 SIM. Heras (Gal. XII 430). Archig. (Gal. l. s 432). Heracl. Tar. (Gal. l. s. 435).

5 EXC. Orib. IV 544, 1. Paul. III 1.

16 EXC. Orib. V 701, 6.

---

2 fort. *σεῦτλον* *μύιον κεφαλαίων* (*μυῶν κεφαλαὶ* mg. add. M[2]) M, chart. laes. F 3 *κάσσημα* F (corr. M[2]), ad rem cf. Gal. XII 409, 14

5 *ξη̄* RF 6 *οἰσύπῳ* Sar., at cf. D. IV 134 (280, 7) *μυρσίνῳ* (ut semper) O, correxi e D. l. s. 7 *περιχενόμενον* F (*ριό* superscr. M[2]) 8 *σὺν* R: *ἐν* reliqui, cf. D. II 7 (123, 17) 10 *κάρδαμον — μυρσινίνῳ* om. F (mg. add. M[2]) 11 *πολυτρίχιον* Q 12 *ἰτείνων* F (*εϊ* sup. M[2]) 14 *σπυράθνος αἰγίας* Q (chart. laes. F): *σπύραθον αἰγείαν* Moib. *ὀστράκου* H Or. l. s.: *ὀστράκῳ* reliqui, correxi 15 *λείαν* Moib. *σὺν ἐλαίῳ*] *μετ' ὄξους ἢ ὀξυμέλιτος* D. II 80 (162,7) post *κεφαλῆς* aliena add. F (del. M[2]) *περὶ* (l. *πρὸς*) *τρίχας ἵνα μὴ ἀπορρέωσιν· μελάνθιον καύσας καὶ μεθ' ὕδατος τρίψας κατάπλαττε, ἔνθα ἂν βούλῃ* (*βούλοι* M) *τρίχας φύεσθαι, μάλιστα ὀφρύων· ἄλλο* (in mg. F)*· μελίσσας καύσας καὶ τρίψας μετ' ἐλαίου κατάχριε*

16 *ξθ̄* RF *ποιεῖν* F *τὰς* addidi ex Or. 17 *ἐν* om. Or. *καταχριόμενα* F 18 *ὗς* H *ἐπιπλασθεῖσα* R 19 *τοῦ* addidi ex Or. *τὰ φύλλα* Or. *σφονδηλίου* F: *σφονδιλίου* H *ἀποσμίξε* F 20 *καὶ* post *ἐλαίῳ* coll. O, at cf. Or. l. s., Pl. 28, 91 *ἐλαίου* F 21 *ἐπιπλασθεῖσα* R: *χρισθεὶς* Or. post *καταπλ.* add. *καλῶς* Q

92 (98) ξανθὰς δὲ ποιεῖ τὰς τρίχας θέρμων λεπύχανα ἀποβραχέντα σὺν νίτρῳ ἐπὶ ἡμέρας δέκα καὶ μετὰ ταῦτα σμώμενα, κύπρου φύλλα λεῖα σὺν στρουθίου χυλῷ ἐμπλασσόμενα, λυκίου χυλὸς ἐν ὕδατι συνεχῶς σμώμενος, λωτοῦ τοῦ δένδρου ἀφέψημα τῶν πρισμάτων, ξάνθιον καταπλασσόμενον προεκνιτρωθεισῶν ⟨τῶν τριχῶν⟩· καὶ τὸ στέαρ τὸ βόειον ποιεῖ ἑψόμενον μετὰ κονίας ⟨τῆς⟩ ἀπὸ δρυίνων ἢ φηγίνων ξύλων, εἶτα ἀναπλασσόμενον εἰς σφαίρας, ἐπὶ δὲ τῆς χρήσεως λυόμενον ὕδατι καὶ ἐγχριόμενον ἐν ἡλίῳ· ἢ τρὺξ ὄξους κεκαυμένη μετὰ σχινίνου ἢ βαλανίνου ἐλαίου δι' ὅλης τῆς νυκτὸς καταχρισθεῖσα.

93 (99) μελαίνας δὲ ποιεῖ τὰς τρίχας σμώμενα· κηκῖδος ἀπόβρεγμα καὶ χαλκάνθου καὶ σιδίων, καὶ ἀκακίας χύλισμα τὸ ἐκ τῶν κερατίων καὶ φύλλων τῆς ἀκάνθης, καὶ ⟨ὁ⟩ ἐκ τοῦ πεπείρου αὐτῆς σπέρματος χυλὸς ἐγχριόμενος· βάτου φύλλα ἑψηθέντα καὶ σμώμενα, καὶ ὁ καρπὸς δὲ πέπειρος ἑψηθεὶς σὺν ἐλαίῳ ὀμφακίνῳ, οἶνος μυρτίτης σὺν ἑψήματι, ἐλελισφάκου ἕψημα σμώμενον, ἐλάτης ὁμοίως· σμύρνα σὺν ἀκακίᾳ καὶ ὄξει 2 καὶ κηκῖδι, κισσοῦ κόρυμβοι καὶ κυπέρου ῥίζαι μετὰ κυάμων λεπύρων ἑψηθέντα, καὶ φύλλα μελαίνης συκῆς καὶ ἀμπέλου σὺν ὀμβρίῳ ὕδατι, λάδανον μετὰ μυρσινίνου ἀλείμματος, μύρτων μελάνων χυλὸς καὶ τὸ ἀπόβρεγμα, ῥοῦς βυρσοδεψικὴ ἑψη-

1 SIM. Arch. (Gal. XII 445).
1 EXC. Orib. V 701, 9. Aet. VI 59. Paul. III 2.
11 SIM. Arch. (Gal. XII 443, unde Aet. VI 58).
11 EXC. Orib. V 701, 11.

1 ϛ̄ RF tit. περὶ τοῦ (τὸ F) ποιῆσαι ξανθὰς τρίχας Q τὰς om. Q λέπυ χάνα F: λέπη Or. 2 ἐπὶ om. Or. δέκα] τέσσαρας Arch. l. s. post σμώμενα distinxi Or. duce 3 ἐμπλασσόμενα RH: ἐπλασσόμενα F: καταπλασσόμενα Aet. λυκείου RF 5 ἐπιπλασσόμενον R προεκνιτρωθέντων (om. τῶν τριχῶν) O, corr. Moib. e D. IV 136 (282, 10) 7 τῆς addidi 8 λυομένου O, correxi 9 τρὺξ οἴνου Aet. Paul., at cf. Pl. 23, 67 D. V 114 (85, 17) σχοινίνου F (σχοινίου M) 10 ἢ βαλανίνου ἐλαίου scripsi Sar. duce: καὶ μετ' ἐλαίου O: μετὰ σχινίνου ἐλαίου D. l. s.: σὺν ἐλαίῳ βαλανίνῳ Aet. l. s. διὰ νυκτὸς Sar.: νύκτα ὅλην D. l. s. τῆς om. Q, del. R (alt. m.?)

11 οα̅ RF tit. πρὸς τὸ ποιῆσαι μελαίνας τρίχας Q μέλανας R τὰς om. Q 12 καὶ τὰ κεράτια αὐτῆς καὶ ἄκανθα καὶ O, corr. Sar. coll. D. I 101 (93, 2 sq.), nisi glossema subesse putas 13 ὁ add. Sar. ἐκ τῆς πεπείρου σπέρματος O, corr. Sar. 15 καὶ (alt.) om. F (add. M²) 18 κυπαίρου F: κυπείρου RH: καππάρεως Sar., fort. recte coll. Arch. l. s. 19 ἑψηθέντα O: ἑψηθεῖσαι Moib. fort. φύλλα ⟨μορέας καὶ⟩ μελαίνης coll. Aet. VI 58 (115ᵃ 44) 20 μυρσίνου R: μυρσίνης reliqui, correxi ex Or.

θεῖσα, σχίνου ἀφέψημα μετὰ σώρεως, φλόμου τοῦ χρυσανθέμου τὰ ἄνθη καὶ τὰ φύλλα καταπλασθέντα· πρίνου φλοιὸς τῆς ῥίζης ἀφεψηθεὶς ἐν ὕδατι καὶ δι' ὅλης ⟨τῆς⟩ νυκτὸς καταπλασθείς, πρωὶ δὲ ἀπονιζόμενος.

94 (100) *βράδιον δὲ πολιοῖ τὸ ἐξ ἀγριελαίας ⟨ἔλαιον⟩ καθ' ἡμέραν ἀλειφόμενον, μᾶλλον δὲ ἂν μυρσίνην τις αὐτῷ ἐναποβρέξῃ, καὶ τὸ μυρσίνινον δὲ μιγὲν λαδάνῳ.*

95 (101) *σμήχει δὲ τρίχας νίτρον κεκαυμένον, τρὺξ κεκαυμένη, ἄσβεστος, τῆλις, ἀφρόνιτρον, γῆ Μηλία, γῆ Αἰγυπτία, κέρατος ἐλαφείου ἀφέψημα, κίσηρις λεία, ᾠοῦ τὸ λευκόν.*

96 (102) *λεπτύνει δὲ τρίχας παρατριβόμενα λεῖα· τέφρα κληματίνη καὶ ἡ ἀπὸ τῶν γιγάρτων, κίσηρις ὀπτὴ λεία, ἐλλέβορος λευκός, σηπίας ὄστρακον, κηκίς, νίτρον, λιθάργυρος, στυπτηρία σχιστή, ἄφοδος κυνεία ξηρά.*

97 (103) *ψιλοῖ δὲ τρίχας καταχριόμενα· ἄσβεστος καὶ σανδαράκη μεθ' ὕδατος ἑψηθέντα μειγνυμένης Κιμωλίας, φρύνου αἷμα, τιθυμάλλου χαρακίου ὀπός· δρυόπτερις σὺν τοῖς φύλλοις καὶ ⟨τῇ⟩ ῥίζῃ καταπλασσομένη, ἄχρις ἂν ἐξιδρώσωσιν, συνεχῶς ἀλλασσομένου τοῦ καταπλάσματος· κισσοῦ φύλλα καταπλασσόμενα, κυπέριδος Ἰνδικῆς ῥίζα — αὕτη δὲ καὶ παραχρῆμα ψιλοῖ —, λαγωὸς θαλάσσιος λεῖος καταπλασθείς, σαλαμάνδρα ἐλαίῳ συντακεῖσα, πιτυοκάμπαι ψωχθεῖσαι ἐπ' ὀλίγον καὶ μετὰ μέλι-*

5 EXC. Orib. V 702, 1.
11 EXC. Aet. VI 65 (116a 26).
15 SIM. Orib. V 699. Aet. VI 64.

1 *σχοίνου* Q 2 *προίνου* Q 3 *ἀφεψηθεὶς* Sar.: *ἀφεψηθείσης* O *τῆς* addidi *καταπλασθείσης* O (chart. laes. F), corr. Sar. 4 *δὲ ἀπονιζόμενος* RF: *διαπονιζόμενος* M Moib.: *διανιζόμενον* H

5 *ο̅β̅* RF tit. *περὶ ⟨τοῦ⟩ βραδέως πολιάσαι* Q *πολιεῖ* Q: *πολιοῦσθαι ποιεῖ* coni. Moib. *ἀγριελαίας* H: *ἀγρίας ἐλαίας* reliqui *ἔλαιον* addidi ex H 6 *ἀναληφόμενον* H *δὲ ἂν* RF: *δὲ εἰ* Or., fort. *δ' ἐὰν* *αὐτὸ* H *ἐναποβρέξει* FOr. 7 *μύρσινον* O (chart. laes. F), correxi *τῷ λαδάνῳ* Moib.

8 *ο̅γ̅* RF 9 *μιλησία* R: *μηλησία* Q, corr. Moib. 10 *ἐλάφου* H *σὺν ᾠοῦ τῷ λευκῷ* Moib.

11 *ο̅δ̅* RF

15 *ο̅ε̅* RF *ἧλοι* R 16 *φρύνου*] *φράνου* F (corr. M²) 17 *χαρακίου* Sar.: *χαρακίτου* O 18 *τῇ* addidi fort. *καταπασσομένη* coll. D. IV 187 (335, 10) *ἄχρη ἂν* F *ἐξιδρύσωσιν* R: *ἐξυδρήσωσι* (*ι* et *υ* superscr.) M (chart. laes. F): *ἐξυδρώσωσι* H: *ἐξιονθίσωσι* coni. Sar., at cf. D. l. s. 19 *καταπλάσματος*] *ἐπιπλάσματος* R *ἐπιπλασσόμενα* R 20 *αὐτὴ* Q 21 *ἐπιπλασθεὶς* R *ἐν ἐλαίῳ* Moib. 22 *ἐντακεῖσα* Q *ψυχθεῖσαι* Q, fort. *φωχθεῖσαι*

τος καταχρισθεῖσαι, κυάμου λέπυρα καταπλασσόμενα ἢ σκολόπενδρα θαλασσία ἐλαίῳ ἐνεψηθεῖσα.

98 (104) βράδιον δὲ ποιεῖ αὔξεσθαι τὰς ἐπὶ τῶν ἀνήβων τρίχας καταχριόμενον ἀμπέλου δάκρυον σὺν ἐλαίῳ καὶ τὸ ἀπὸ τοῦ χλωροῦ κλήματος καιομένου ἱδρούμενον ὑγρόν, κυάμινον ἄλευρον καταπλασσόμενον, ὑακίνθου ῥίζα μετὰ γλυκέος ἢ οἴνου λευκοῦ καταπλασθεῖσα.

99 (105) ⟨πρὸς⟩ ἀχῶρας δὲ ἢ πίτυρα καὶ ἐξανθήματα ἐπιπόλαια ἐν τῇ κεφαλῇ· ἀδιάντου ἀφέψημα σμώμενον ἢ συλλειούμενον οἴνῳ καὶ ῥοδίνῳ καὶ καταπλασσόμενον, ἀμύγδαλα πικρὰ ἐγχριόμενα μετὰ μέλιτος, ἀνδράχνης χυλὸς σὺν οἴνῳ ἐγχριόμενος, βάτου χυλὸς σὺν ἐλαίῳ, βολβοὶ σὺν νίτρῳ σμώμενοι, τήλεως ἀφέψημα ὁμοίως, ἀρνόγλωσσον καταπλασσόμενον, ἀγριελαίας χυλὸς σμηχόμενος, μολόχη λεία μετὰ οὔρου καταπλασσομένη, μελίλωτον σὺν τήλει καὶ οἴνῳ καταπλασσόμενον, οἶνος μυρτίτης σμώμενος, οὖρον ἀνθρώπειον παλαιὸν ὁμοίως, πηγάνου χυλὸς καταχριόμενος, σκίλλα σὺν ἐλαίῳ ἑψηθεῖσα καταχριομένη, σκόροδον σὺν μέλιτι σμώμενον, σεύτλου χυλὸς ὁμοίως· ἅλες σὺν 2
στέατι μοσχείῳ καταχριόμενοι, συκῆς ⟨φύλλα⟩ σὺν ὄξει λεῖα, ἐρεβίνθων ἀπόζεμα, καὶ αὐτοὶ δὲ ἑφθοὶ καταπλασσόμενοι, θέρμων ἀφέψημα σμώμενον, ἰτέας ἄνθη καὶ φύλλα καταπλασσόμενα λεῖα, κάλαμος ἀρωματίτης μετὰ ὕδατος καὶ σμύρνης ἑψηθεὶς σμώμενος, κρίνου ῥίζα σμωμένη, λάδανον σὺν οἴνῳ κατα-

---

3 EXC. Orib. V 702, 3. Aet. VI 63 (115ᵇ 36).
8 SIM. Apoll. (Gal. XII 475). Arch. (Gal. l. s. 468).
8 EXC. Gal. XII 496 (fort. e Sorano). Aet. VI 68.

---

1 ἐπιχρισθεῖσαι R 2 ἐν ἐλαίῳ ἑψηθεῖσα H

3 $\overline{\text{ο϶}}$ RF, hoc cap. post cap. 99 transpos. (mg. β', α' add.) R αὔξασθαι F 4 τὸ] τὰ RF (τὸ mg. add. N²) 5 fort. ἀφιδρούμενον

8 $\overline{\text{οζ}}$ RF (ζ e ϙ corr. R) tit. περὶ ἀχώρας τῆς ἐν τῇ κεφαλῇ Q πρὸς add. Sar. ἐξανθήματα R: ἐξανθήσεις Q ἐπιπολαίας Sar. 9 συνλειόμενον Q 10 ἐπιπλασσόμενον R 11 οἴνῳ] ἐλαίῳ Aet. l. s., at cf. D. II 124 (197, 5) 13 post ἀφέψημα dist. F ἐπιπλασσόμενον R 14 μετὰ οὔρου om. F, μετὰ αἴρας mg. add. M² οὔρου] αἴρης R: αἴρας rel.: αἰρίνου ἀλεύρου Aet. l. s.: κριθίνου ἀλεύρου Gal., correxi coll. D. II 118 (192, 5), Apoll. (Gal. XII 478, 9), Pl. 20, 224 15 τήλει] τηλίνῳ ἀλεύρῳ Gal. l. s., γῇ Χίᾳ D. III 40 (53, 9) 16 ἀνθρώπου F: $\overline{\text{ἀνου}}$' H 17 σκύλλαν Q καὶ καταχριομένη Q 18 μέλιτι] ὕδατι O, correxi Sar. duce e D. II 152 (219, 9), 19 συκῆς φύλλα scripsi coll. Aet. l. s., Apoll. (Gal. XII 478, 14): συκή O ὄξει] οἴνω ὄξει (οἴνω del. pr. m.) R 20 δὲ om. Q θέρμων πικρῶν Gal. l. s.

χριόμενον, λιβανωτὸς σὺν νίτρῳ καὶ ὕδατι ὁμοίως, χαμαιάκτης χυλός.

100 (106) *πρὸς δὲ τὰ ἐξέρυθρα ἐξανθήματα ψιμύθιον σὺν δαφνίνῳ ἐλαίῳ καὶ θείῳ καταχριόμενον, πίτυος φλοιὸς σὺν κηρωτῇ, χαλκῖτις μετ᾽ ὄξους καὶ ἐλαίου, κιννάβαρι μετὰ κηρωτῆς, ὄστρακον ἐξ ἴπνου μετ᾽ ὄξους, σεῦτλον ἑφθόν· ἐπαλείφειν δὲ δεῖ μετὰ τὰς σμήξεις αὐτῶν τηλίνῳ ἐλαίῳ ἢ μυρσινίνῳ ἢ ῥοδίνῳ ἢ οἰνανθίνῳ.*

101 (107) *τὰς δὲ τῆς κεφαλῆς καὶ ὅλου τοῦ σώματος γινομένας φθειριάσεις τούτοις θεραπευτέον συγχρίοντας· σταφίδι ἀγρίᾳ ἢ σανδαράκῃ σὺν ἐλαίῳ, ἢ κισσοῦ χυλῷ σὺν μέλιτι Σινωπίδι σὺν ὄξει, κεδρίᾳ καθ᾽ ἑαυτήν, ὀρρῷ πίσσης μετὰ στυπτηρίας, δαφνίδων πιέσματι, ἐλαίῳ ῥαφανίνῳ ἢ νίτρῳ ἢ ἀφρονίτρῳ μετὰ Σαμίας γῆς καὶ ἐλαίου, ἐλξίνης χυλῷ δι᾽ ὅλης τῆς νυκτὸς καταχριομένῳ, μυρίκης ἀφεψήματι ἢ θαλάσσῃ θερμῇ λούοντας. ὠφελοῦνται δὲ πίνοντες κόριον λεῖον σὺν ὀριγάνῳ καὶ οἴνῳ.*

102 (108) *σμήγματα. σμήχει δὲ χρῶτα ὀπὸς συκῆς καὶ χυλὸς μετὰ ἀλεύρου ἐρεγμίνου, ἀμύγδαλα πικρὰ μετὰ μέλιτος, τέφρα κληματίνη καὶ ἡ ἐκ τῶν φηγίνων ξύλων σὺν ὕδατι· βέλτιον δὲ ἡ ἐξ αὐτῶν γινομένη κονία. μυροβαλάνου πίεσμα, ἄρου ῥίζα, γῆ Χία ἀντὶ νίτρου, ἀριστολοχεία μετὰ νίτρου, γογγύλης ἀγρίας σπέρμα μετ᾽ ἐρεγμοῦ καὶ ᾠοῦ τοῦ λευκοῦ, καὶ καθ᾽ ἑαυτὸ δὲ τὸ λευκὸν τοῦ ᾠοῦ, ἐρέγμινον ἄλευρον, ὀρόβινον, θέρμινον,*

---

3 EXC. Arch. (Gal. XII 468). Aet. VI 71.
9 SIM. Archig. (Gal. XII 463).
9 EXC. Orib. IV 544, 5.

---

3 $\overline{οη}$ RF 5 *χαλκίτης* Q *καὶ ἐλαίου — ὄξους* om. F (*κιννάβαρι — ὄξους* mg. add. M²) *κιννάβαρις* R: *κινάβαρις* Q 6 *μετ᾽ ὄξους*] *σὺν ὄξει ἢ οἴνῳ* Aet. l. s. *σεῦτλον ἑφθόν* bis hab. H 7 *σμήξεις* R: *μίξεις* Q *αὐτῷ* R: *αὐτοῦ* Q *τιλίκω* F *μυρσίνω* RH: *σμυρσίνω* F

9 $\overline{οθ}$ RF *πρὸς φθειρίασιν* add. Q *γιγνομένας* R 10 *συγχρίοντες* H 11 *χυλὸς* RF, corr. Moib. 12 fort. *ἐν ὄξει* *ὀροπίσσης* R: *ὀρόπισσης* F, correxi coll. D. I 72 (71, 9) 13 *ἢ ἀφρονίτρῳ* om. Q 14 *χυλοῦ* R: *χυλὸς* F 15 *καταχριομένῳ* Moib.: *καταχριόμενος* H: *καταχριομένου* reliqui *λούοντες* H

18 $\overline{π}$ RF *σμήγματα* add. R: *σμῆγμα* F (cum *οἴνῳ* coni. M, del. M²) *χρῶτα* Moib.: *χρῶτας* O 21 *πίεσμα*] *ῥίζα πίεσμα* R (*ῥίζα* del. pr. m.) 22 *ἀντὶ*] fort. *μετὰ* 23 *τὸ λευκόν* Q *καθ᾽ ἑαυτοῦ* Q *δὲ* om. Q 24 *τοῦ ᾠοῦ τὸ λευκόν* H

πέπονος σάρξ, σικύου χυλὸς σὺν τῷ σπέρματι μετὰ ἀλεύρου σηтανίου, καὶ νίτρον ξηρανθὲν ἐν ἡλίῳ ἐν τοῖς ὑπὸ κύνα καύμασιν λεῖον, σικύου ἀγρίου ῥίζα μετ᾽ ἐρεγμοῦ, βρυωνίας ῥίζα ὁμοίως.

103 (109) τετανοῖ δὲ χρῶτα καὶ πρόσωπον βρυωνίας ῥίζα λευκὴ ἢ μέλαινα ἐν ἐλαίῳ ἑψηθεῖσα καταχριομένου τοῦ ἐλαίου· ποιεῖ καὶ μετὰ σύκου πίονος καὶ ὀρόβου καταπλασσομένη, ὅσον στάδιον διελθεῖν· ψυχρῷ δὲ προσκλύζεσθαι μετὰ τὴν ἄρσιν αὐτῆς· κροκοδίλου χερσαίου ἄφοδος μεθ᾽ ὕδατος, γῆ Χία ὁμοίως, γῆ Σελινουσία ὁμοίως· κακκαλίας οἱ κόκκοι μετὰ κηρωτῆς λεῖοι καταχριόμενοι, κρίνου ῥίζα ἐν σμήγματι, κυκλάμινος ὁμοίως σὺν μαστίχῃ.

104 (110) στιλβοῖ δὲ πρόσωπον ἐπιχριομένη γῆ Χία, ⟨γῆ⟩ Σελινουσία ὁμοίως, κροκοδιλεία ὁμοίως· μαστίχη, τήλινον μύρον, ῥόδινον τὸ λευκαινόμενον ἐπὶ τῷ ἡλίῳ ὁμοίως, πτελέας τὸ ἐν τοῖς θυλακίοις ὑγρόν, ἔλαιον Σικυώνιον.

105 (111) εὔχροιαν δὲ ποιεῖ ἐρέβινθος ἐσθιόμενος ἑφθός, ἢ κόμμεως ἀκανθίνου ἢ τοῦ ἐξ ἀμυγδαλῆς ἢ κερασίων ἢ κοκκυμηλέων ὁλκὴ τριωβόλου μετὰ κράματος πινομένη.

106 (112) χρόαν δὲ τρέπει ποθέντα καὶ ἐπιχρισθέντα· ἄμι μεθ᾽ ὕδατος καὶ κύμινον, ὁμοίως ἄχυρα πύρινα· σμύρνιον καταχριόμενον, κύτινοι ῥοᾶς ὁμοίως.

107 (113) τὰς δὲ ἐν ταῖς μασχάλαις δυσωδίας καὶ τοὺς τράγους καταπάσσειν δεῖ λείοις τούτοις· ἀγαλόχῳ, βακχάριδος ῥίζῃ, ῥο-

---

5 SIM. Orib. V 736.
23 EXC. Orib. V 737, 10.

---

2 *σιτανίου* H *νίτρον* R 3 *ῥίζας* Q

5 $\overline{\pi\alpha}$ RF *χρῶτας* O: *χρῶτα τετανοῖ* D. IV 182 (330, 11) 6 *ἑψηθεῖσα ἐν ἐλαίῳ* Moib. 7 *καταπλασσομένη* H: *καταπλασσομένου* reliqui ad rem cf. Pl. 23, 26 *si statim bina stadia ambulentur*, fort. *μετὰ τοῦτο δὲ δεῖ ὅσον στάδιον διελθεῖν* 9 *κροκοδίλου* Q: *κροκοδείλου* R 10 *ἀκακαλλίδος* O, correxi coll. D. IV 122 (271, 5)

13 $\overline{\pi\beta}$ RF *στιλβεῖ* H *ἐπιχριόμενον* R *γῆ* addidi 14 *κροκοδείλια* R: *κροκοδιλία* Q (chart. laes. F), om. Sar., cf. Pl. 28, 108; D. II 80 (163, 20 cum app. cr.) 15 *μύρον*] *ἄλευρον* O, corr. Sar. 16 *σικυάνιον* Q

17 $\overline{\pi\gamma}$ RF *εὔχρειαν* R 18 *τοῦ*] *τὸ* Q *ἀμυγδάλων* Q: *ἀμυγδάλης* R *κοκκυμηλέων* N: *κοκκυμήλων* reliqui 19 *τριβόλου* Q

20 $\overline{\pi\delta}$ RF 21 post *κύμινον* dist. H, post *ὁμοίως* Q *μύρηνον* (*σμύρνιον* mg. add. M²) M (ch. laes. F) 22 *καταχριόμενον* om. R: *καταχριόμενα* H

23 $\overline{\pi\varepsilon}$ RF 24 *καταπλάσσειν* Q: *ἐπιπλάσσειν* (*λ* del.) R, corr. Moib. *ῥίζης* Q *ῥόδοισιν* O, correxi coll. D. I 99 (91, 9)

δίσιν ἀπὸ τοῦ βαλανείου λείαις. διαχρίειν δὲ σμύρνῃ μετὰ στυπτηρίας ἢ κροκομάγματι ὁμοίως, ἢ κυπαρίσσου πρίσμασι μετὰ στυπτηρίας καὶ οἴνου εὐώδους, γῇ Χίᾳ καείσῃ καὶ σβεσθείσῃ οἴνῳ· ⟨ποιεῖ καὶ⟩ σκολύμου ῥίζα ἑψηθεῖσα καὶ πινομένη.

108 (114) οὐλὰς δὲ μελαίνας αἴρει ἐπιχριόμενα· βρυωνίας ῥίζης λευκῆς καὶ μελαίνης ἑφθῆς ἐν ἐλαίῳ ἄχρι χυλώσεως τὸ ἔλαιον ἐπιχριόμενον, βάλανος μυρεψικὴ λεία σὺν οἴνῳ λευκῷ, βολβοὶ κεκαυμένοι μετὰ ἀλκυονίου σὺν οἴνῳ, καλαμίνθη ἐν οἴνῳ ἑφθή, λιθάργυρος πεπλυμένη σὺν ῥοδίνῳ λευκῷ, σικύου ἀγρίου ῥίζα σμηχομένη. [εὐζώμου σπέρμα μετὰ λιθαργύρου λεῖον μετὰ χολῆς αἰγείας ἢ προβατείας ἢ βοείας ἐπιχριόμενον.]

109 (115) τὰς δὲ ἐκ λειχήνων οὐλὰς καὶ τὰς ἄλλας δὲ ὁμοχρόους ποιῆσαι ⟨δύναται⟩ ὄνειον στέαρ καταχριόμενον, εὐζώμου σπέρμα λεῖον μετὰ χολῆς αἰγείας ἢ προβατείας ἢ βοείας καταχριόμενον, εἶθ' ὅταν ξηρανθῇ ἀποτριβόμενον, καὶ ⟨ὁ⟩ ἐκ τοῦ λαχάνου δὲ τοῦ εὐζώμου χυλὸς ἐπιχριόμενος σὺν λιθαργύρῳ· ἢ σικύου ἀγρίου ῥίζαν ἑψήσας ἐν μελικράτῳ καὶ λεάνας ὡς κηρωτὴν ἐπίχριε ὁμοίως· ἢ λιθαργύρου μέρη β', θείου ἀπύρου μέρος α', ἀναλαμβάνων εὐζώμου χυλῷ ἐπίχριε, εἶτα ἀπότριβε ἐν βαλανείῳ, καὶ μετὰ τὸ λούσασθαι ἐπίχριε λιθάργυρον σὺν εὐζώμου χυλῷ.

110 (116) στίγματα δὲ ἐξαίρει βατράχειον καταπλασθέν, καπ-

6 EXC. Orib. V 359.
13 EXC. Orib. V 359.
23 EXC. Orib. V 359, 11. Paul. IV 7.

1 λείοις H: δειοῖς reliqui, correxi διαχρείειν H: διαχρεῖν reliqui 2 κροκόμαγμα ἢ ὁμοίως κυπ. O, correxi coll. Or. l. s. 3 καεῖσα καὶ σβεσθεῖσα O, correxi 4 οἴνῳ] ρηνω R: ἰρήνω F, corr. Sar. ποιεῖ καὶ addidi Moib. duce σκολύμβου O (σκολύμου in mg. corr. N[2]) καὶ (alt.) suspectum

6 $\overline{\pi\varsigma}$ RF ἐπιχριόμενοι F 7 ἑψηθείσης Or. 8 σὺν οἴνῳ λ.] σὺν ὄξει D. IV 157 (302, 7) 9 ἐν Or.: σὺν O 10 πεπλυσμένη R: πεπλημένη F 11 verba εὐζώμου — ἐπιχριόμενον om. Or., delevi (ex cap. 109 huc videntur translata esse) μετὰ λιθαργύρου expunxit R λειωθέντα καὶ χολῇ αἰγείᾳ ἀναληφθέντα κηρωτῆς πάχος ἐπιχριόμενον ὠφελεῖ Q

13 $\overline{\pi\zeta}$ RF 14 ποιεῖ Or. δύναται addidi 15 χολῆς] χυλοῦ F αἰγὸς καὶ βοὸς καὶ προβάτου Or. ἐπιχριόμενον R 16 ὁ addidi ἐκ om. Or. 17 καταχριόμενος Or. 18 λειάνας O, correxi 19 ἐπίχριε R: περίχριε F 20 α' om. Q, cf. c. 112. χυλὸν Q

23 $\overline{\pi\eta}$ F, abhinc num. cap. om. R. αἴρει O: ἐξαίρει Or., cf. D. II 175 (243, 13) ἢ καππάρεως Or.

πάρεως φύλλων χυλὸς ὁμοίως, μανδραγόρου ἐπὶ ἡμέρας δ′ παρατριβόμενος, ἢ τὰ φύλλα τοῦ μανδραγόρου ταριχευθέντα ἐν ἅλμῃ καὶ περιχριόμενα ἐπὶ ἡμέρας μ′ ἢ ν′· ὁμοίως πόα ⟨ἡ⟩ καλουμένη στατικὴ παρατριβομένη, ἢ σικύου ἀγρίου ῥίζα ἑψηθεῖσα ἐν μελικράτῳ λεία ἐπιχριομένη, ἢ ψιμύθιον ἐν ὄξει καταχριόμενον· χρόνῳ δὲ αἴρει τοῦτο.

111 (117) μώλωπας δὲ ταχέως ὁμοχρόους ποιεῖ λείρινον ἔλαιον ἐπαλειφόμενον συνεχῶς.

112 (118) ἀλφοὺς δὲ λευκοὺς καὶ λεύκας αἴρει ἐν ἡλίῳ κατα-
χριόμενα ἢ σμώμενα ἐν βαλανείῳ· δρακοντίου χυλός, ἄρου ῥίζα
σὺν ὄξει καὶ ἀλεύρῳ κριθίνῳ, καππάρεως χυλὸς ὁμοίως, πήγανον
σὺν κηρωτῇ καὶ πεπέρει, συκῆς μελαίνης κράδαι καὶ ἀκρεμόνες
ἁπαλαὶ λεῖαι καταπλασθεῖσαι, καὶ τὰ φύλλα δὲ ὁμοίως· τεύ-
τλου φύλλα καὶ ἡ ῥίζα καταπλασθεῖσα, τηλεφίου φύλλα κατα-
πλασσόμενα ἐπὶ μῆνας γ′, ἑκάστης ἡμέρας ἐπὶ ὥρας ϛ′· ἀφαι- 2
ρῶν δὲ ὠμῇ λύσει κατάπλασσε· ἄγνου σπέρμα λεῖον μετὰ
ἀφρονίτρου καὶ ὄξους, ἀλθαίας σπέρμα ὁμοίως, ἀλκυόνιον σὺν
ὄξει, βρυωνίας ῥίζα λευκῆς καὶ μελαίνης ἑψηθεῖσα σὺν ἐλαίῳ
μέχρι χυλώσεως, ἀσφοδέλου ῥίζης χυλός, βάλανος μυρεψικὴ
καταχριομένη, βολβοὶ λεῖοι σὺν ὀπτῷ νίτρῳ σμώμενοι καὶ καθ'
ἑαυτοὺς καταπλασσόμενοι· ἐλλέβορος λευκὸς ἑψηθεὶς σὺν ὄξει 3
καὶ σμηχόμενος καὶ ξηρὸς παρατριβόμενος μέχρις ἀνιδρώσεως,
εἶτα καταχρίειν δεῖ σανδαράκῃ καὶ γῇ Μηλίᾳ· χαμαιλέοντος

7 EXC. Orib. V 360.
9 SIM. Orib. V 394. [Gal.] XIV 420sq.

1 *μανδραγόρου* R: *μανδραγούρας* Q, fort. *μανδραγόρου ὁμοίως* *δ′*] *λ′* O, correxi coll. Diosc. IV 75 (236, 4) 2 *τοῦ* om. Sar. 3 fort. *καὶ* delendum *περιχριόμενα* R: *ἐπιχριόμενα* reliqui *ἡ* addidi 4 *σταλτικὴ* (*σαλτικὴ* H) O, corr. Moib. e Pl. 26, 51 5 *καὶ ἐπιχριομένη* F *ἐν* (alt.)] *σὺν* Or. 6 *χρόνῳ* ROr.: *χρονίσαντα* Q

7 *πθ̄* F *λείρινον*] *αἴρινον* O: *κρίνινον* Or., corr. Sar., cf. D. *π. ὑλ.* I 52 (49, 10) *ἔλαιον*] *ἄλευρον* O, correxi ex Or., cf. D. l. s.

9 *ϛ̄* F *περὶ ἀλφῶν* add. Q 12 *κηρωτῇ*] *νίτρῳ* D. III 45 (58, 14) *κράδαι*] *καρδίαι* O (chart. laes. F), corr. Moib. *καὶ* (alt.) H, om. reliqui, *ἢ* coni. Moib. *ἀκρέμονες* H: *κραίμονες* R: *κρέμωνες* Q, ad rem cf. D. I 128 (119, 17, ubi *ταῖς κράδαις* lege) 13 *παλαιαὶ* O, corr. Moib. *ἐπιπλασθεῖσαι* R: *καταπλασσόμεναι* H *τεύτλων* R, *σεύτλου* F, corr. 14 *ἐπιπλασθεῖσα* R post *φύλλα* (alt.) add. *ὁμοίως* RF, om. H 15 *μῆνας* correxi e Pl. 27, 137 *ternis fere mensibus*: *ἡμέρας* O: *ἡμέρας λ′* Sar. 17 *ἀφονίτρου* Q *ἀλκυονίον* Q 19 *ῥ. χυλοῦ* R 21 *αὐτοὺς* R 22 fort. *καὶ* (pr.) delendum *ἂν ἱδρώσεως* Q, fort. *ἂν ἱδρώσῃ* 23 *καὶ* om. R *μηλιάδι* O, corr. Moib.

μέλανος ῥίζα μετὰ θείου καὶ νίτρου καὶ ὄξους· δεῖ δὲ προεκνιτρῶσαι τοὺς τόπους· ἢ λιθαργύρου μέρη β', θείου ⟨ἀπύρου⟩ μέρος α', μείξας ἀνάτριβε ἐν βαλανείῳ, καὶ μετὰ τὸ λούσασθαι κατάχριε λιθαργύρῳ μετὰ εὐζώμου χυλοῦ.

113 (119) τοὺς δὲ μέλανας ἀλφοὺς ὁμόχρους ποιεῖ γῆ Μηλία καταχριομένη, ἐλλέβορος λευκὸς καὶ μέλας ἑψηθεὶς μετ' ὄξους καὶ σμώμενος, κοχλίας χερσαῖος καεὶς σὺν μέλιτι καταχριόμενος· κρομύου χυλὸς σὺν ὄξει, κρίνου ῥίζα σμωμένη, κυάμινον ἄλευρον ὁμοίως, κύμινον ἄγριον σὺν ὄξει, κάχρυ ὁμοίως· μυροβάλανος ἐν οἴνῳ, ἢ ναρκίσσου ῥίζα σὺν κνίδης σπέρματι καὶ ὄξει, σηπίας ὄστρακον σὺν ὄξει, ἢ σικύου ἀγρίου ῥίζα σμωμένη, τηλέφιον σὺν ὄξει καταχριόμενον, χονδρίλης ῥίζα σὺν νίτρῳ κοπεῖσα ἐν σμήγματι· λιθάργυρος, ἀρσενικόν, θεῖον, ἴσα μετ' ἐλαίου ἐν βαλανείῳ σμώμενα.

114 (120) φακοὺς δὲ καὶ ἐφηλίδας καὶ ἰόνθους αἴρει ἐπιχριόμενα· ἀδάρκης μεθ' ὕδατος, ἄκορον σὺν μέλιτι, κόστος σὺν ὕδατι ἢ μέλιτι, ἄλυσσον σὺν μέλιτι, τιθυμάλλου ὀπὸς σὺν μέλιτι — προσέχειν δὲ δεῖ, χρονίσαν γὰρ ἑλκοῖ διὰ βάθους —, ἀλκυόνιον σὺν ὄξει, ἀμπέλου ἀγρίας καρπὸς πέπειρος λεῖος, βρυωνίας ῥίζα λευκὴ καὶ μέλαινα ἑψηθεῖσα μετ' ἐλαίου ἄχρι χυλώσεως· αἴρει καὶ ἰόνθους ἀμυγδάλινον ⟨ἔλαιον⟩ σὺν κηρωτῇ καὶ κρίνου ῥίζῃ.

115 (121) αἴρει ⟨δὲ⟩ τὰς ἐφηλίδας ἄρου ῥίζα μετὰ μέλιτος, μυροβάλανος καταχριομένη σὺν οἴνῳ, βολβοὶ ὠμοὶ καθ' ἑαυτοὺς ἢ σὺν ᾠοῦ λεκίθῳ καὶ [σὺν] ὄξει ἢ μέλιτι, ἢ κεκαυμένοι μετὰ ἀλκυονίου μάλιστα ἔφηλιν ἀποκαθαίρουσιν· χαλβάνη σὺν ὄξει καὶ νίτρῳ μάλιστα φακοὺς αἴρει, κόμμι σὺν νίτρῳ καὶ μέλιτι.

---

15 EXC. Aet. VIII 10.
23 EXC. Aet. VIII 12 (152a 5).

---

2 ἀπύρου addidi e c. 109 3 α'] ἐν H 4 λιθαργύρῳ O, correxi

5 ϙα F καὶ ὁμόχρους Moib., fort. ὁμοχρόους Μιλησία R: μελησία F, corr. Moib. 7 fort. καὶ delendum post καταχριόμενος add. καὶ ομηχόμενος Q 9 ἄγριον om. M (chart. laes. F) κάχρυ] κέχροι (mg. add. κάγχρι M²) M (ch. laes. F) 11 ἀγρίου om. F (mg. add. M²) 12 χονδρίλης R: χο . . . ίλης (mg. add. χονδρίλλης M²) M (chart. laesa F)

15 ϙβ F αἶροι F 16 ἀδάρκ (ω superscr.) F: ἀδάρκη RH, corr. Moib. ἄκορος Moib. 17 ἢ] καὶ Q 18 ἕλκει Q 19 ξὺν H 21 ἔλαιον addidi ex Aet. 22 κρίνου ῥίζα μετὰ μέλιτος Aet.

23 ϙγ F δὲ addidi 25 σὺν delevi coll. Aet. l. s. 26 χάλβανον F post χαλβάνη del. καὶ H 27 κόμη R: κόμει F, fort. καὶ κόμμι

καὶ ἰδίως δὲ μᾶλλον ἐφηλίδας αἴρει ἐλλεβόρου λευκοῦ μέρη β' 2 *μετὰ μέλιτος, ἐλατήριον καταχριόμενον, κασσία σὺν μέλιτι, κινάμωμον ὁμοίως, κράμβης σπέρμα σὺν ὄξει, ὀρόβινον ⟨ἄλευρον⟩, ῥαφάνου φλοιὸς σὺν αἰρίνῳ ἀλεύρῳ· ἢ κάρδαμον καταπλασσόμενον δι' ὅλης ⟨τῆς⟩ νυκτὸς ἐπὶ ἡμέρας ε', ἕωθεν δὲ ἀπόπλυνε τὰ κνυσθέντα· θαψίας ῥίζα σὺν μέλιτι, κισσοῦ φύλλα σὺν οἴνῳ ἑφθά, κρότωνος καρπὸς καταπλασθεὶς ἐπὶ ἡμέρας τρεῖς.*

116 (122) *ἰδίως δὲ ἰόνθους αἴρει κρίνου ῥίζα ἐν σμήγματι, κυκλαμίνου ῥίζα σὺν μέλιτι, ναρκίσσου ῥίζα ὁμοίως· σηπίας ὀστράκου [ὁμοίως] κεκαυμένου μέρη β', βαλάνου μυρεψικῆς μέρος α', λεῖα σὺν ὕδατι καταχριόμενα, καὶ ξηραινόμενα δὲ νότιζε, μετὰ δὲ ἓξ ἡμέρας πυρία· ἄλευρον σητάνιον μετ' ἐλαίου καταπλασθέν, γλήχων κηρωτῇ ἀναλημφθεῖσα, σμύρνα μετὰ κασσίας καὶ μέλιτος, κρομύου χυλὸς σὺν σποδίῳ, μολύβδαινα σὺν ὄξει, σῶρι σὺν ὄξει κεκαυμένον.*

117 (123) *τοὺς δὲ ψωρώδεις καθ' ὅλον τοῦ σώματος ἢ περὶ μέρος κνησμοὺς θεραπεύει καταχριόμενα· σταφὶς ἀγρία μετὰ σανδαράκης καὶ ἐλαίου καὶ ὄξους προεψηθεῖσα καὶ λειοτριβηθεῖσα, στυπτηρία ὑγρὰ μετὰ μέλιτος ἑψηθεῖσα καὶ ⟨μετὰ⟩ σμύρνης καταχριομένη, ἅλες σὺν ὄξει καὶ ἐλαίῳ συγχριόμενοι, ἄχρις ἂν ἐξιδρώσωσιν· νᾶπυ μετ' ὄξους, μυροβαλάνου πίεσμα μετ' ὄξους καὶ ὀλίγου ἐλαίου, λαπάθου ἀγρίου τὸ ἀφέψημα τῆς ῥίζης τῷ λουτρῷ μειγνύμενον, ὄξος θερμὸν καταντλούμενον· ὀρόβου ἀφέψημα ἢ ὀριγάνου ἢ γλήχωνος καταντλούμενον, γάλα σχιστὸν πινόμενον.*

118 (124) *τοὺς δὲ περὶ τὰ αἰδοῖα ⟨κνησμοὺς θεραπεύει⟩ θά-*

---

8 EXC. Aet. VIII 13 (152[b] 9).
16 EXC. Aet. XIII 126.
26 EXC. Aet. XIV 20.

---

1 *ἐλέβορος λευκὸς* F 3 *ἄλευρον* addidi 4 *καρδάμου* F (corr. M²) 5 *τῆς* addidi *ἀπόπλυναιντα κλύσαντα* R: *ἀποπλύναντα καὶ κλύσαντα* Q, correxi 7 *γ̄* Q

8 *ϛδ̄* F *ἐν*] *σὺν* O, correxi 10 *ὁμοίως* del. Moib. *μυρεψικοῦ* Q 11 *α'*] *ἐν* Q *καταχριόμενον καὶ ξηραινόμενον* Q *δὲ νότιζε* Moib.: *νότιζε δὲ* O, *πάλιν νότιζε* Aet. 13 *ἀναληφθεὶς* R 14 *μετὰ μέλιτος* R (*μετὰ* e mg. v. 19 huc falso delatum) *σποδίῳ*] *ἁλσὶ* D. II 151 (217, 1) post *ὄξει* add. *καὶ* Q 15 *σὺν ὄξει*] *μεθ' ὕδατος* D. V 102 (72, 10) *κεκαυμένη* F (corr. M²)

16 *ϙε̄* F 19 *μετὰ* add. nescio quis *σμύρνη* coni. Moib. 21 *ἄχρι* F 23 *μιγνυμένης* Sar. *καὶ ὄξος* (*ὄξους* H) Q *θερμῶν καταντλουμένων* H

26 num. cap. om. F, at in cap. insequ. bis habet *ϛϙ̄* *κνησμοὺς θεραπεύει* add. Moib.

λασσα πυριωμένη, θεῖον ἐπιπασθέν, νίτρον [ἐν] ἐλαίῳ καὶ ὄξει καὶ σταφίδι ἀγρίᾳ καὶ στυπτηρίᾳ συλλειούμενον ⟨καὶ⟩ ἐν βαλανείῳ καταχριόμενον, μάλιστα ἐπὶ τῶν διδύμων· καὶ τρὺξ ὄξους ξηρὰ τριβεῖσα σὺν οἴνῳ ἐγκαταχριομένη διδύμοις· ἐγκατάχριε δὲ μετὰ ταῦτα ᾠοῦ τὸ λευκὸν μετὰ μέλιτος.

119 (125) *πρὸς δὲ τὰ κνησμώδη ἐξανθήματα ἁρμόζει καταχριόμενα· διφρυγὲς σὺν ὄξει, ἰὸς σιδήρου σὺν ὄξει, συκαμίνου ῥίζα σὺν ὄξει, μίσυ σὺν ῥοδίνῳ, μολύβδαινα σὺν ὄξει, ὁπλαὶ αἰγῶν κεκαυμέναι σὺν ὄξει, στυπτηρία πᾶσα σὺν μέλιτι ἑψηθεῖσα, πήγανον σὺν ἁλσὶν καὶ ἐλαίῳ, ἢ ψιμύθιον καὶ λιθάργυρος σὺν*
2 *ὄξει· μυρσίνινον ἔλαιον, δαφνίδων πίεσμα προσκλυζόμενον, μύρτα σὺν κηρωτῇ μυρσινίνῃ ἐν ὀθονίῳ ἐπιτιθέμενα, κιννάβαρι μετὰ κηρωτῆς μυρσινίνης, νίτρον σὺν ὑείῳ στέατι, πήγανον σὺν κηρωτῇ μυρσινίνῃ τετραπλῇ, κισσοῦ φύλλα ἑφθὰ σὺν οἴνῳ καταπλασσόμενα, κριθαὶ κεκαυμέναι λεῖαι καταπασσόμεναι, νίτρον σὺν θείῳ ἀπύρῳ καὶ τρυγὶ σμώμενον.*

120 (126) *πρὸς δὲ τοὺς λειχῆνας καὶ τὰ λεπρώδη καὶ ψωρώδη καταχριόμενα ἁρμόζει· ἄγνου σπέρμα σὺν ἀφρονίτρῳ καὶ ὄξει, ἰχὼρ ὁ ἀπορρέων ἐκ ξύλων ἀγριελαίας χλωρῶν καιομένων, ὁμοίως καὶ ὁ ἐκ τῶν κραναίνων ξύλων, ἀγχούσης ῥίζα λεία σὺν ὄξει καταπλασσομένη, ἀδάρκης σὺν ὕδατι, ἐρυθροδάνου καρπὸς ἐν ὄξει, αἴρινον ἄλευρον σὺν ὄξει καταπλασσόμενον. ἀφίστησι ⟨δ'⟩ ἀγρίους λειχῆνας πίτυρα σὺν ὄξει ἑψηθέντα καὶ θερμὰ καταπλασθέντα, καὶ χόνδρος ὁμοίως.*

---

6 EXC. Orib. IV 622. Aet. XIII 127.
17 EXC. Orib. IV 594, 28.

---

1 *πινομένη* O, corr. Sar. *ἐν* delevi, nisi *σὺν* praestat 2 *στυπτηρίας ὑγρᾶς* Aet. *συνιδρούμενον* R: *συνεδρούμενον* Q, correxi ex Aetio *καὶ* addidi 3 *καταχριομένη* Q fort. *μάλιστα δὲ* 4 *καὶ καταχριομένη* R: *καταχριομένη* reliqui, correxi 5 *δὲ* om. R *καὶ ᾠοῦ* M (*καὶ* del.)

6 ϛϡ̄ F 7 *ἰὸς σιδήρου σὺν ὄξει* om. Q 8 *ὄξει* (alt.) RH: ·ο̇· F post *ὄξει* spat. rel. Q, mg. add. ϛζ̄ F 10 fort. *ἢ* delendum post *ἢ* verba *πήγανον — τετραπλῇ* (v. 13) colloc. Moib. *ψιμύθιον καὶ λιθάργυρος* Moib.: *ψιμυθίῳ* (*ψυμιθίω* H) *καὶ λιθαργύρῳ* Q: *ψιμμυθίῳ ἢ λιθαργύρῳ* R, at cf. Or. l. s. 12 *κιννάβαρις* R: *κινάβαρις* Q 13 *μυρσινίνης* scripsi: *σμύρνης* O 14 *τετραπλασίονι* Aet. *ἐπιπλασσόμενα* R 16 *τρὺξ σμωμένη* O, correxi ex Or.

17 ϛη̄ F 19 *χλωρῶν* scripsi: *ὑγρᾶς* F (*ῶν* superscr. M²): *ὑγρῶν* R, cf. D. I 105 (98, 7) *καιόμενον* (*καιομένων* H) Q 20 *ὁ* om. Q 21 *ἐπιπλασσομένη* R *ἀδάρκη* O, corr. Moib. 22 *ἐπιπλασσόμενον* R post *καταπλ.* spat. rel. Q ad rem cf. Or. V 395 23 *δ'* addidi 24 post *ὁμοίως* add. FMAH *πρὸς κνησμονήν· ἐν λουτρῷ* (*ἐν λουτρῷ* om. H) *θέρμινον ἄλευρον μετὰ χαμαιμηλίνου ἐλαίου καὶ ὀλίγου ὄξους καταχριέσθω ὁ πάσχων.*

121 (128) *λέπραν δὲ θεραπεύει αἴρινον ἄλευρον σὺν θείῳ
καὶ ὄξει καταχριόμενον, βρυωνίας καρπὸς σὺν ὄξει καταπλασσό-
μενος· ἄσφαλτος μετὰ θείου καὶ ὄξους — τινὲς δὲ ἀντὶ ⟨τῆς⟩
ἀσφάλτου πίσσαν ⟨παραλαμβάνουσιν⟩ —, μυροβάλανος κατα-
χριομένη σὺν ὄξει, βατράχειον ἐπιπλασθέν· ἀφίστησιν ⟨καὶ⟩ σι-
κύου ἀγρίου ῥίζα σὺν ὄξει, σῶρι κεκαυμένον ὁμοίως, ἐλαίας
Αἰθιοπικῆς δάκρυον σὺν ὄξει — καλεῖται δὲ Αἰθιοπικὴ ἐλαία
ἡ ἀγριελαία —, ἐλλέβορος λευκὸς ἢ μέλας σὺν ὄξει καταπλασσό-
μενος· σμύρνα σὺν ὄξει, ὀπὸς συκῆς ἐπιχριόμενος, ἐρέβινθος* 2
*ἑφθὸς σὺν ὄξει ἐπιπλασσόμενος, λίβανος ὁμοίως, Ἀμμωνιακὸν
ὁμοίως, ἀμύγδαλα πικρὰ σὺν ὄξει, ταυροκόλλα ὁμοίως· θαψίας
χυλὸς καὶ ἡ ῥίζα σὺν ὄξει, θεῖον ἄπυρον σὺν ὄξει ἢ τερμινθίνῃ ῥη-
τίνῃ ἀναλημφθέν, θέρμων ἀφέψημα καταντλούμενον, ἰὸς διπλοῦς
ἀναλημφθεὶς ῥητίνῃ τερμινθίνῃ ἁπλῇ· εὐτονώτερον δὲ γίνεται
τὸ φάρμακον νίτρου ἢ χαλκάνθου μιγέντος ὀλίγου· καρδά-
μωμον ἢ κάρδαμον σὺν ὄξει, κληματὶς σὺν ὄξει καεῖσα καὶ κατα-
πλασθεῖσα· ἀφίστησιν καὶ κανθαρίς, βούπρηστις, πιτυοκάμπη
ἀναλημφθέντα ῥητίνῃ καὶ πίσσης μιγείσης· θαψίας ῥίζης* 3
*⟨χυλός⟩, κόμμι ἀμυγδαλῆς πικρᾶς ἢ κερασίων ⟨ἢ⟩ κοκκυμηλέων
ἢ ἀμπέλου σὺν ὄξει· κοχλίας χερσαῖος σὺν ὄξει κεκαυμένος σὺν
μέλιτι καταχριόμενος, λαπάθου ἀγρίου ῥίζα ὠμὴ καὶ μετ' ὄξους
ἑφθὴ λεία καταπλασσομένη, λειχὴν ὁ ἐπὶ ταῖς πέτραις κατα-
χρισθεὶς ἢ σὺν ὄξει καταπλασθείς· χαμαιλέοντος μέλανος ῥίζα
ἑψηθεῖσα σὺν ὄξει μιγέντος τῷ ἀφεψήματι θείου καὶ ἀσφάλ-
του ἐγχριομένη ἢ δίχα τούτων, στέαρ φώκης καὶ χάλκανθος καὶ
κέδρινον ἔλαιον μιγέντα, μελάνθιον μετὰ θείου ἀπύρου καὶ
ταυροκόλλης καὶ ὄξους, ὀπὸς σιλφίου σὺν ὄξει.*

---

1 SIM. Orib. V 395, 4.

---

1 ϛθ̅ F *πρὸς λέπραν* add. Q 2 *ἐπιχριόμενον* R 3 *τῆς* addidi 4 *πίσσην* R: *πίσσης* F (*-αν* superscr. M²) *παραλαμβάνουσιν* add. Moib. *μυροβάλανον καταχριόμενον* F 5 post *ἐπιπλασθέν* distinxi *καὶ* addidi 6 *σώρη κεκαυμένη* Q 7 *δακρύοις* R ad rem cf. D. I 105 (97, 5. 99, 7, ubi dele verba *καλεῖται — ἀγριελαία*) 8 *ἀγρία ἐλαία* FH *ἢ*] *καὶ* Q *ἐπιπλασσόμενος* R 9 post *ὄξει* colloc. *καὶ λίβανος ὁμοίως, ἀμμωνιακὸν ὁμοίως* Q 12 *τερεβινθίνῃ* Q 14 *εὐτονότερον* F 15 *νίτρον* F 16 *ἢ κάρδαμον* fort. del. coll. Orib. V 394, 10 *ἐπιπλασθεῖσα* R post *καταπλασθεῖσα* distinxi 17 *πιτυοκάμπη* Moib: *πίτυς κάμπη* libri 18 *ἀναληφθεῖσα* Q *ῥητίνης* RH fort. *ῥητίνῃ τερμινθίνῃ* 19 *χυλὸς* addidi e D. IV 153 (300, 1) *κερασίας* Moib. *ἢ* addidi *κοκκυ(-οι- Q)μήλων* O: *κοκκυμηλέας* Moib., correxi 20 *καὶ σὺν μέλιτι* Q 23 *ἐπιπλασθεὶς* R 24 *ἀφεψήματι* om. R 25 *ἐγχριομένη* H: *ἐγχριομένου* reliqui

122 (129) *τὰς προσφάτους δὲ θεραπεύει τριφύλλου ῥίζα σὺν
ὄξει καταπλασσομένη, [ἢ] πήγανον σὺν μέλιτι καὶ στυπτηρίᾳ
ὁμοίως· πίσσα ὑγρὰ σὺν ἴσῳ κηρῷ καὶ ῥητίνῃ καὶ θείῳ τα-
κεῖσα ὡς ἔμπλαστρος· πρασίου φύλλα ἑψηθέντα σὺν ὄξει καὶ
καταπλασθέντα, πτελέας φύλλα ἢ κλαδία ὁμοίως, ῥοὰ σὺν ὄξει
καταχριομένη· σκαμμωνίας ὀπὸς ἑψηθεὶς σὺν ὄξει, ἄχρις ἂν*
2 *μελιτώδης γένηται, καταχριόμενος· σκόροδον σὺν μέλιτι ὁμοίως,
στρουθίου ῥίζα σὺν ἀλφίτῳ καὶ ὄξει καταπλασσομένη, στυ-
πτηρία κεκαυμένη σὺν κράμβης χυλῷ ⟨ἢ⟩ ὑγρὰ ἑψηθεῖσα σὺν
μέλιτι καταχριομένη· τιθυμάλλου ὀπὸς καταχριόμενος, τρὺξ
οἴνου κεκαυμένη μετὰ συκῆς ἀφεψήματος καταχριομένη, χελι-
δονίου τοῦ μικροῦ ῥίζα καταπλασθεῖσα, γογγυλὶς λεία ἐπιτι-*
3 *θεμένη· ἰτέας φύλλα κεκαυμένα καὶ μεθ' ὕδατος ἐπιπλασσό-
μενα, ἀγχούσης φύλλα λεῖα κεκαυμένα, ἄγχουσα ἀναλημφθεῖσα
βουτύρῳ, θεῖον ἄπυρον, [ἢ] μελάνθιον, ταυροκόλλα σὺν ὄξει
καταχριομένη, Ἀμμωνιακὸν σὺν ὄξει ὁμοίως· ἀμύγδαλα πικρὰ
σὺν ὄξει ἐπιτιθέμενα, χαλκῖτις ὠμὴ μετὰ κυπρίνης κηρωτῆς,
μελίας φλοιὸς καεὶς σὺν ἰρίνῳ ἢ κεδρίᾳ, πρόπολις ἐπιτιθεμένη
ὡς ἔμπλαστρος.*

123 (130) *ὄνυχας δὲ ἀφίστησιν λεπροὺς ἐπιτιθέμενα· ἀσφοδέ-
λου ῥίζα λεία, ἄρου ῥίζα ὁμοίως, βατράχειον καταπλασθέν· καν-
θαρὶς ἢ βούπρηστις ⟨ἢ⟩ πιτυοκάμπη ἀναλημφθεῖσα ῥητίνῃ τερ-
μινθίνῃ ἢ πίσσης ὑγρᾶς μιγείσης, καὶ θαψίας ῥίζα καὶ σίνη-
πυ σὺν ὄξει, ἢ ἀγριελαίας πυρήνων τὸ ἐντὸς ἀναλημφθὲν*
2 *στέατι· θεῖον ἄπυρον σὺν κηρῷ καὶ ῥητίνῃ, ἱππολαπάθου ἢ
ἀγρίου λαπάθου ῥίζα ὠμὴ καὶ ἑφθὴ σὺν ὄξει, κάρδαμον σὺν*

---

20 SIM. Orib. V 352, 3. IV 620. Aet. XIV 79. Paul. III 81.

---

1 ρ̅ F 2 *ἐπιπλασσομένη* R *ἢ* delevi *στυπτηρίας* F 3 *τακεῖσα*] *κατακαεῖσα* H 4 *ἀφεψηθέντα* H 5 *κλαδία*] *καυλία* R 6 *ἄχρι* F 7 *μελιτῶδες* RF, correxi *καταχριόμενος* Sar: *καταχριόμενον* O *μέλιτι*] *μίλτω* O, corr. Moib. coll. D. II 152 (219, 9) 8 *ἐπιπλασσομένη* R 9 *χυλὸν* (comp. scr.) F *ἢ* addidi e Sar. 10 *ἐπιχριομένη* R 11 *ἀφεψήματι* F 12 *γογγυλὶς* R (i. e. *γογγύλη ἀγρία* cf. D. II 110 p. 186, 3): *γογγύλη* H: *γογγύλης* (corr. M[2]) reliqui 13 *καὶ — ἐπιπλασσόμενα* om. F, mg. add. M[2] 14 *ἀγχούσης — κεκαυμένα* om. Q 15 *ἢ* delevi *ταυροκόλλα — καταχριομένη* del. M[2] 16 fort. *καταχριόμενα ἀμύγδαλα — ἐπιτιθέμενα* del. M[2] 18 *εἰρίνω* RF post *κεδρίᾳ* add. *ἢ* Q

20 ρ̅α̅ F 22 *ἢ* addidi 23 *πίσσης ὑγρᾶς μιγείσης* Moib.: *πίσσα ὑγρᾶ σμιγείσης* (*μιγείσης* H) O *ῥίζης* H 24 *ἀληφθὲν* Q 25 post *στέατι* addendum *καὶ ἀλεύρῳ* putat Sar. coll. D. I 105 (98, 10) *κηρῶτῇ* (sic) R 26 *ἡ ῥίζα* H

ὄξει· κυπαρίσσου σφαιρία χλωρὰ καθεψηθέντα σὺν ὄξει καὶ λεανθέντα σὺν θέρμοις πικροῖς, λινόσπερμον σὺν καρδάμῳ ⟨ἴσῳ⟩ καὶ μέλιτι, πίσσα ἐν ὄξει ἑψηθεῖσα καὶ ἐπιτεθεῖσα· σανδαράκη, ἄσβεστος καὶ τρὺξ κεκαυμένη σὺν πίσσῃ ἢ ἰξῷ, στυπτηρία σὺν ὕδατι, πίσσα ὑγρὰ σὺν κηρῷ, ἀρσενικὸν σὺν ὄξει, ἰξὸς σὺν κονίᾳ.

124 (131) σμήχει δὲ ψώραν νίτρον, ἀφρόνιτρον, χολὴ βοεία σὺν νίτρῳ ⟨καὶ⟩ Κιμωλίᾳ, γῇ Μηλίᾳ, κοχλίας χερσαῖος κεκαυμένος σὺν μέλιτι, κρίνου ῥίζα ξηρὰ λεία, μυροβάλανος ὁμοίως καὶ τὸ πίεσμα αὐτῆς.

125 (133) μαστοὺς δὲ οὐκ ἐᾷ αὔξεσθαι ἐπὶ παρθένων μάλιστα καταπλασσόμενα· κωνείου σπέρμα ἔγχυλον λεῖον ὀθονίου προυποτιθεμένου, καὶ ἡ πόα δὲ ὁμοίως· στυπτηρία ὑγρὰ σὺν μέλιτι, ἰὸς σιδήρου σὺν ἐλαίῳ, ἐπιμηδίου φύλλα καταπλασσόμενα ὁμοίως· ἀκόνης Ναξίας τοῦ πρὸς αὐτὴν ἀκονηθέντος σιδήρου τὸ ἀπότριμμα μετ᾽ ὄξους καταχριόμενον.

126 (135) τὰς δὲ σπαργήσεις τῶν μαστῶν ἀποκαθίστησιν φακὸς ἑψηθεὶς ἐν θαλάσσῃ καταπλασσόμενος, ἡδύοσμον σὺν ἀλφίτῳ, στέμφυλα μετὰ ἁλῶν λεῖα, ἅλμη πυριωμένη.

127 (135) σβέννυσιν δὲ ⟨γάλα⟩ καὶ μετὰ τοὺς τόκους ἄλευρον

---

11 SIM. Orib. V 475. IV 631, unde Aet. XVI 36.
17 EXC. Orib. V 475, 11.
20 EXC. Orib. V 476, 1. Aet. XVI 35.

---

1 ad rem cf. D. I 74 (74, 6) post *ὄξει* (alt.) add. (e. v. 26 p. 198) *κάρδαμον σὺν ὄξει* H *καὶ* om. H 3 *ἴσῳ* addidi e D. II 103 (177, 11) post *ἐπιτεθεῖσα* transp. *πίσσα ὑγρὰ σὺν κηρῷ* (v. 5) Moib. 4 *πίσσῃ*] *ῥητίνῃ* D. V 114 (85, 16) 6 *ἢ ἰξὸς* Q *κονίᾳ* i, e. *κονίᾳ ἀσβέστου*, ut monet Sar., cf. D. III 89 (104, 12)

7 *ρβ̄* F *πρὸς ψώραν* add. Q 8 *καὶ* addidi e Moib. fort. *Κιμωλίᾳ γῇ* *μιλησία* RF, corr. Moib. 10 *τὸ* om. R post *αὐτῆς* aliena add. Q (del. M[2]) *ρ̄γ· περὶ μασθοὺς ὥστε μὴ γίνεσθαι μεγάλους* (atr. r. F)· *βοτάνην τὴν λεγομένην κριτικήν, ἣν τινες καλοῦσιν ἠριγέροντα, τρίψας μετὰ ψυχροῦ ὕδατος κατάχριε τοὺς μασθούς. δοκιμασία τοῦ φαρμάκου* (atr. r. F)· *αἰγιδίου μικροῦ κατάχρισον τὰ κέρατα, καὶ οὐκ αὔξουσι*

11 *ρ̄γ* A *περὶ μασθῶν* add. F *μασθοὺς* Q (ut semper) *αὔξασθαι* F *παρθένον* F: *παρθένου* H 14 *ἰὸς σιδήρου σὺν ἐλαίῳ* scripsi: *χωρὶς χολῆς* O, at *σὺν ἐλαίῳ* exspectamus, ut *ὁμοίως* (v. 15) habeat quo referatur coll. D. IV 19 (184, 9): *ἰὸς σιδήρου ἐπιχριόμενος δι᾽ ἐλαίου* Or. IV 631 *ἐπιμηλείου* RF: *ἐπιμηλίδος* Sar., correxi e D. l. s. 15 *τοῦ*] *τὸ* Q *αὐτῇ* H

17 *ρ̄δ* F *σπαργανώσεις* Or., cf. Sor. ed. Rose I 25 (246, 1) 18 *καὶ καταπλασσόμενος* (ditt.) QOr. *σὺν ἀλφίτῳ καταπλασθέν* Or. 19 *λεῖα* ROr.: *λείων* (*λεῖον*) Q *πεπυριωμένη* Q

20 *ρ̄ε* F *γάλα* addidi e Sar.

κυάμινον καθ' ἑαυτὸ καὶ σὺν ἀλφίτῳ καταπλασθέν, Κιμωλία σὺν ὄξει καταχριομένη ἢ ὕδατι καὶ ῥοδίνῳ, στυπτηρία ὑγρὰ σὺν ὕδατι ὀξυροδίνου μειγνυμένου· γῆς Σαμίας ὁ ἀστήρ, γῆ Μηλία ὁμοίως, γάλα γυναικεῖον μετὰ κωνείου χυλοῦ καταπλασσόμενον, τρὺξ ὄξους ἢ οἴνου μετὰ ἀλφίτου καταπλασθεῖσα, ὑοσκυάμου σπέρμα μετὰ οἴνου λεῖον ὁμοίως· θάλασσα καταντλουμένη, κωνείου φύλλα καταπλασσόμενα, ἅλμη πυρωμένη, κάρυα βασιλικὰ καταπλασσόμενα.

128 (136) τοὺς δὲ χονδριῶντας μαστοὺς παύει πίτυρα ἐν ὄξει καὶ πηγάνου ἀφεψήματι ζεσθέντα καὶ καταπλασθέντα, ἡδύοσμον σὺν ἀλφίτῳ ⟨καταπλασθέν⟩, ἡμεροκαλλοῦς φύλλα καταπλασσόμενα, ἅλμη πυρωμένη· κάρυα βασιλικὰ σὺν μέλιτι καὶ πηγάνῳ, κρότωνος φύλλα λεῖα, κρόκος σὺν γάλακτι καταχριόμενος· κραταιόγονον καταπλασσόμενον, κυάμινον ἄλευρον καθ' ἑαυτὸ καὶ σὺν ἀλφίτῳ, λίθος γεώδης σὺν ὕδατι, λίθος ὀστρακίτης σὺν μέλιτι, Κυδώνια ἑφθὰ σὺν μέλιτι καταπλασσόμενα, σέλινον ⟨χλωρὸν⟩ καταπλασσόμενον (137) ὠφελεῖ καὶ τοὺς τεθρομβωμένους μαστούς.

129 οὐκ ἐᾷ δὲ τὸ ἐπὶ τῶν τιθηνουσῶν γάλα τυροῦσθαι κηροῦ λευκοῦ δέκα τὸν ἀριθμὸν κεγχριαῖα μεγέθη καθ' ἑκάστην ἡμέραν ἀντὶ καταποτίου διδόμενα.

130 (138) κατασπᾷ δὲ γάλα πλεῖον ἱππομαράθου ἢ μαράθου ἀφέψημα μετὰ οἴνου πινόμενον· κάχρυ, ἐρέβινθος, ὤκιμον, μο-

---

9 EXC. Orib. V 476, 4. IV 631, 3. Aet. XVI 36.
19 EXC. Orib. V 476, 7. IV 631, 7. Aet. XVI 35.
22 SIM. Zopyrus (Orib. II 596). Aet. III 142.

---

1 κυμωλία Q fort. Κιμωλία γῆ 2 καταπλασσομένη H (corr. alt. m.) 3 ὄξει ῥοδίνου (ῥοδίνω H) Q μιγνυμένη H 4 μι(ει)λησία O, corr. Moib. 8 post καταπλασσόμενα add. γυναικὸς ἐὰν οἱ μασθοὶ ὀγκωθῶσιν, αἰγὸς ἀφόδευμα ξηρὸν ἑψήσας μετὰ ἀκράτου κατάντλησον, καὶ λύει τὴν φλεγμονήν (cf. Spr. 164, 5): εὐτοκίαν δὲ ποιήσεις τὴν τίκτουσαν, ἐὰν ὁπλὴν ἢ λειχῆνας (νίχηνα . . F, correxi) ἵππου ὑποκαπνίσῃς FM (del. M²)

9 ρϛ F 11 καταπλασθέν addidi ex Or. ἡμεροκάλου H: ἡμεροκάλλου RF 13 ἐπιχριόμενος R 14 ἄλευρον κυάμινον Q: κύμινον Or. 15 ἑαυτοὺς Q γαιώδης R σὺν ὕδατι om. R, at cf. D. V 150 (103, 2) 16 Κυδώνια] κωδύαι Or., sed cf. Pl. 23, 103 fort. Κυδώνια μῆλα 17 χλωρὸν addidi ex Or. IV 631 verba ὠφελεῖ κτλ. cum cap. 129 coniungit Moib. δὲ καὶ Sar.

19 ρζ F τὸ om. QOr. 20 κηροῦ λευκοῦ Or.: κηρίον (κέριον F, corr. M²) λευκὸν O (mend. not. H) 21 καταποτίων Q

22 ρη F mg. add. εἰς τὸ κατασπάσαι γάλα Q 23 κάχρυ] κέχρην Q: κάχρυν R: κέγχρος vel potius σόγχος coni. Moib., at cf. Zop. (Orib. l. s. 596, 4)

λόχῃ, ἄνηθον συνεψηθέντα ῥοφήματι, κιρκαίας καρπὸς ὁμοίως, μελάνθιον ὀλίγον πινόμενον ἐφ' ἱκανὰς ἡμέρας καὶ ⟨ἐν⟩ ῥοφήματι δὲ λαμβανόμενον, ὀνώνιδος ῥίζα σὺν ῥοφήματι ἑψηθεῖσα καὶ λαμβανομένη· γλαυκὸς τῆς βοτάνης τοὺς καυλοὺς καὶ τὰ φύλλα καὶ τὰ ἄνθη ἑψήσας ἐν ῥοφήματι δίδου· ἁλίμου χυλί- 2
σματος ἢ σόγχου ἢ βουγλώσσου ἢ θρίδακος δίδου κυάθους β' καὶ ὑδρομέλιτος κύαθον ἕνα ἐπὶ ἡμέρας ζ', καὶ ἐναφεψηθέντα δὲ τὰ λάχανα ⟨ταῦτα⟩ κυαμίνῳ ἀλεύρῳ καὶ λαμβανόμενα ποιεῖ· πολύγαλον πινόμενον καὶ πρασίου πόας τὰ φύλλα ἐσθιόμενα. (139) *καταπλασσόμενα δὲ γάλα κατασπᾷ σὺν ἀλεύρῳ κριθίνῳ μάραθον, μελάνθιον, κριθῶν βεβρεγμένων ⟨χυλὸς⟩ σὺν ἀνδράχνῃ, κηρὸς καὶ σμύρνα καὶ στέαρ χήνειον καὶ θεῖον μιγέντα· πτελέας φύλλα, ταύρου χολὴ καὶ ἧπαρ, σπλὴν ὄνου σὺν ὄξει.*

131 (140) *τὰς δὲ φλεγμονὰς τῶν μαστῶν παρηγορεῖ ἀσφοδέλου ῥίζα καὶ τὰ φύλλα ἐν οἴνῳ ἑφθὰ καταπλασσόμενα, βακχάριδος φύλλα καταπλασσόμενα.*

132 (141) *τὰς δὲ τῶν διδύμων φλεγμονὰς ἰᾶται τρὺξ οἴνου μεθ' ἁλῶν καταπλασθεῖσα, ὑοσκυάμου καρπὸς μετὰ οἴνου λεῖος ἢ Κιμωλία σὺν ὄξει καὶ ῥοδίνῳ γλοιώδης καταχριομένη· ὁμοίως ἀστὴρ Σάμιος καταχριόμενος ἢ λίθος γεώδης σὺν ὕδατι ἢ ἐρεβίνθων ἄλευρον ἐν μελικράτῳ ἑψηθέν, ἐρέβινθοι ἑφθοὶ καταπλασσόμενοι, ἠριγέροντος ἄνθος σὺν γλυκεῖ καὶ ἡ πόα καταπλασσομένη καὶ οἱ πάπποι ὁμοίως· κορίου φύλλα σὺν* 2
σταφίδι, κρίνου ῥίζα σὺν ὑοσκυάμου φύλλοις καὶ ἀλεύρῳ πυρίνῳ, κυάμινον ἄλευρον ἑψηθὲν ἐν οἴνῳ σὺν κυμίνῳ καὶ σταφίδι

---

17 SIM. Gal. XIII 317 (unde Orib. V 524).
17 EXC. Aet. XIV 19. Paul. Aeg. III 54.

---

1 *κικέας* O: *κιρκαίας ὁ καρπὸς καὶ τὰ φύλλα* Zop. 2 *ἐν* addidi, *σὺν* Sar. 4 *γλαυκίου* O, corr. Moib., cf. Zop. l. s., D. IV 138 (284, 3) *καυλοὺς* R: *κλάδους* reliqui 5 *ἀλίβου* F, corr. M² 6 *δύο* H 7 *ἀφεψηθέντα* O, correxi, *ἀφεψηθέντα . . σὺν κυμίνου ἀλ.* Moib. 8 *ταῦτα* addidi. *κυμίνω* Q post *λαμβανόμενα* dist. Q 9 *πρασίου* suspectum Moib. 10 a *καταπλασσόμενα* nov. cap. inc. Moib., spat. rel. Q *κρίνω* RF (*θι* superscr. M²) *μαράθου* F 11 *χυλὸς* ex Aet. add. Moib. 13 *ταύρου*] *σαύρας* O, corr. ex Aet. Moib., cf. Zop. l. s. *πλὴν* RF (*σπλὴν* in mg. A²) *οἴνου* F (in mg. corr. M²)

14 $\overline{\rho\vartheta}$ F, pr. litt. om. R

17 $\overline{\rho\iota}$ F tit. *περὶ διδύμων* add. Q 19 fort. *Κιμωλία γῆ* *γλοιώδη* O, correxi *ἐπιχριομένη* R 20 *σάμινος* F (*ν* del. M²) *ἢ* (alt.) suspectum 21 *ἐρεβινθῶ* Q: *ἐρεβίνθου* Moib. *μελικράτω* R: *ἀκράτῳ* Q 23 *οἱ πάπποι*] *τοῦ δποῦ* O, corr. Moib. e D. IV 96 (254, 10) *κορίου* Moib.: *καρίου* F: *καρύου* RH, cf. D. III 63 (74, 6)

ἢ κορίῳ ἢ κηρωτῇ κυπρίνῃ, ἢ λινόσπερμον ἐν οἰνομέλιτι ἑφθόν, ἢ μελίλωτον ἐν γλυκεῖ ἑφθόν· μυρρίνης φύλλα σὺν κηρωτῇ, σταφὶς λευκὴ σὺν νίτρῳ ἢ ἀφρονίτρῳ, πήγανον σὺν κλάδοις δάφνης ἁπαλοῖς, βράθυος φύλλα σὺν ὕδατι καταπλασσόμενα, σπλάγχνον τὸ καλούμενον βρύον ὁμοίως ἢ τὸ θαλάσσιον βρύον· ἄγνου σπέρμα μετὰ βουτύρου καὶ ἀμπέλου φύλλων, ἀκτῆς φύλλα ὁμοίως, ἀσφοδέλου φύλλα καὶ ῥίζα ἑψηθέντα ἐν οἴνῳ.

133 (142) τὰς δὲ χρονίους φλεγμονὰς τῶν διδύμων λύει Ἄσσιος λίθος λεῖος περιαπτόμενος ἐν ἐρίῳ ξηρῷ, ἀλθαίας ῥίζα ἑφθὴ καταπλασσομένη, ἐρύσιμον ἑφθὸν λεῖον, νίτρον ὀπτὸν διεθὲν ἐν ἐλαίῳ, ᾠοῦ ⟨τὸ⟩ λεκιθῶδες ἐπιτιθέμενον ἐν σπληνίῳ, ἄλευρον κρίθινον σὺν πίσσῃ ὑγρᾷ. πυριῶνται δὲ ὠφελίμως κυπαρίσσου ἀφεψήματι.

134 (143) τὰς δὲ ἐκσαρκώσεις τὰς ἐπὶ τῶν διδύμων τέφρα κληματίνη σὺν νίτρῳ φυραθεῖσα καὶ ὕδατι ἰᾶται καταπλασσομένη.

135 (144) δοθιῆνας δὲ συμπέσσει ταχέως καὶ ῥήσσει· ὁρμίνου σπέρμα ἢ τὰ φύλλα μετὰ ἀλφίτου καταπλασθέντα, ναρκίσσου ῥίζα λεία μετὰ ἀλεύρου καὶ ἐλαίου, ἅλες σὺν στέατι βοείῳ καὶ σταφίδι, ὀρίγανον σὺν σμύρνῃ καὶ ἅλσιν καὶ ἰξὸς σὺν ῥητίνῃ καὶ κηρῷ ἴσοις τακείς· κάρδαμον σὺν ἅλμῃ, χαλβάνη καθ' ἑαυτήν, τερμινθίνη ὁμοίως, λάδανον ὁμοίως, πρόπολις ὁμοίως·
2 λεοντοποδίου φύλλα σὺν ἀλφίτῳ, λινόσπερμον σὺν σικύου ἀγρίου ῥίζῃ, Ἄσσιος λίθος σὺν κηρωτῇ, νίτρον ἢ ἀφρόνιτρον σὺν ῥητίνῃ ἢ στέατι, συκῆς φύλλα ἢ κράδαι ἁπαλαὶ σὺν κη-

14 EXC. Gal. XIII 317, unde Orib. V 524, 9, cf. Paul. Aeg. III 54.
17 SIM. Apoll. (Orib. III 674), unde Orib. V 388. — EXC. Paul. IV 23.

---

1 κορίῳ R: κηρίῳ reliqui   ἑφθόν R: ἑφθῷ reliqui, Aet. l. s.   2 σμύρνης F (μύρρινα mg. add. M[2])   3 κλάδης F: φύλλοις D. III 45 (58, 13)   4 ἁπαλῆς Q   ἐπιπλασσόμενα R   5 σπλάγχνον FH, at cf. D. I 21 (27, 5)   7 φύλλα (pr.)] φύλλων F   ῥίζα καὶ φύλλα F

8 $\overline{\rho\iota\alpha}$ F   χρονίας Moib.   λύσει Moib.   ἄσειος RF: ἄσιος H, correxi   9 ἐν ῥείω F   10 δμηθεν R   11 ᾠοῦ Moib.: ωω (sic) R: ὠῶ F   τὸ addidi   ἐλαιῶδες O, correxi

14 $\overline{\rho\iota\beta}$ F   15 κληματίνη Gal.: κληματικὴ O

17 $\overline{\rho\iota\gamma}$ F   δοθείονας F   συμπέσσει] σὺν πίσσῃ Q   18 καταπλασθέντα μετὰ ἀλφίτου Q   19 στέασιν βοία F   σὺν σταφίδι δὲ ἢ στέατι βοείῳ ἢ μέλιτι D. V 109 (81, 4)   20 σμύρνῃ scripsi ex Apoll. l. s.: ζύμῃ Q: ζήμῃ R 21 ἴσος RH: ἴσως reliqui, correxi   22 ἑαυτῆς R   23 λεοντοπόδιον ὁμοίως Q (corr. M[2])   25 κραδαῖα πάλαι R: καρδαία πάλαι Q

ρωτῇ, πυκνοκόμου φύλλα σὺν ἀλφίτοις συγκεκομμένα ἢ σὺν νίτρῳ, ζύμη μεθ' ἁλῶν ἢ νίτρου, σταφὶς μετὰ ἁλῶν, θεῖον καὶ πήγανον σὺν κηρωτῇ, ὑοσκυάμου φύλλα ⟨λεῖα⟩ μετὰ βουτύρου.

136 (145) πρὸς δὲ τὰς ἐν ἀρχῇ φλεγμονὰς παντὸς μέρους ἁρμόζει μετὰ ἀλφίτου λεῖα καταπλασσόμενα· ἀείζωον, ἀμπέλου ἕλικες καὶ φύλλα, καὶ ὁ ἀπὸ τῶν τελμάτων φακός· ἀνδράχνη, κόριον, κράμβη μετὰ ἄρτου καὶ ἑφθὴ μετὰ ἀλφίτου, ἴου φύλλα, στρύχνου ⟨φύλλα⟩, καλάμου φύλλα χλωρά, κεδρίδες λεῖαι, ἀρνόγλωσσον, ἑλξίνη, ἡδύοσμον, θέρμινον ἄλευρον, κονύζης φύλλα, κολοκύνθη ὠμή· κοτυληδών, κραταιόγονον, κυπαρίσσου φύλλα 2
καὶ σφαιρία χλωρά, μανδραγόρου ῥίζα, ξανθίου καρπός, πυκνοκόμου φύλλα σὺν ὀξυμέλιτι, ἄλευρον κρίθινον ἢ ζέινον ἐν ὄξει ἑψηθὲν ἢ Κυδωνίου ἀποζέματι, σόγχος καταπλασθείς, στυπτηρία σχιστή, καὶ πᾶσα ⟨δὲ⟩ σὺν μέλιτι, ἐρεβίνθου τὰ ἁπαλὰ φύλλα καταπλασσόμενα.

137 (146) τὰς δὲ ἐν μήνιγγι φλεγμονὰς ἰδίως στέλλει ἀκτῆς τῶν φύλλων ὁ χυλὸς ἐπιχριόμενος, βούτυρον πρόσφατον ἐπιτιθέμενον σὺν ῥοδίνῳ.

138 (147) τὰ δὲ χρόνια οἰδήματα ἰᾶται καταπλασσόμενα· ἀκάνθης λευκῆς ῥίζα λεία σὺν ὕδατι καὶ ⟨ἡ⟩ τῆς Ἀραβικῆς ἀκάνθης, σελίνου φύλλα καὶ τὸ σπέρμα μετὰ ἀλφίτου, ἀπόπατος τράγου ἢ αἰγὸς ἐν ὄξει θερμῷ, βηχίου φύλλα καθ' ἑαυτά, ναρκίσσου ῥίζα λεία μετὰ ἀλεύρου καὶ ἐλαίου, παρθενίου φύλλα, δαμασωνίου φύλλα ὁμοίως· ἁλικακκάβου ῥίζα ἑφθή, ἄρου φύλλα σὺν ἀλφίτῳ, ἀρκευθίδες λεῖαι, ἰσάτεως φύλλα ἀγρίας καὶ ἡμέρου, ἰτέας φύλλα· κάλαμος ἀρωματίτης λεῖος σὺν ἀλφίτῳ, δαφ- 2
νίδες σὺν πάλῃ ἀλφίτου, δίκταμνον σὺν ἀλφίτῳ, ἐρυθροδάνου ῥίζαι ἑφθαὶ καὶ ὠμαί, ἐλλέβορος λευκὸς σὺν ἀλφίτῳ, βάλανοι

---

17 SIM. Arch. (Gal. XII 577).

---

3 ὑοσκυάμου — βουτύρου add. M² (chart. laes. F) λεῖα addidi e Paul.

5 ρ̅ι̅δ̅ F 6 post ἀείζωον transp. ἀνδράχνη Moib. 9 στρύχνου Sar.: στρύχνου O (chart. laes. F) φύλλα addidi, nisi praestat ὁμοίως καὶ ἀρνόγλωσσον Q 11 κολόκυντα Q 13 ζείη (in ἴ corr.) νον H: ζίνινον R: ζήνιον Q, correxi 15 δὲ addidi ἁπαλαὶ (ι del.) R 16 ἐπιπλασσόμενα R

17 ρ̅ι̅ε̅ F tit. περὶ μηνίγκων φλεγμονῶν F

20 ρ̅ι̅ϛ̅ F 21 ἡ addidi 22 σελίνου σπέρμα καὶ τὰ φύλλα H 24 δαμασπνίου R 25 φύλλα (pr.) om. Q 27 ἀρωματίτης O, fort. ἀρωματικὸς coll. D. I 18 (23, 13) 28 πεπάλῃ H δίκταμον O 29 ἐλλέβορος — ὠμαί om. Q

δρύιναι ἑφθαὶ καὶ ὠμαί, ἐρύσιμον σὺν ὕδατι ἢ μέλιτι· σμυρ-
νίου ῥίζαι, ζύμη μετὰ ἁλῶν, ἰξὸς σὺν ῥητίνῃ καὶ κηρῷ ἴσοις,
πυρία ἡ διὰ θαλάσσης, κάρδαμον λεῖον, κρίθινον μετὰ συκίνης
σποδιᾶς ἢ ⟨στυπτηρίας⟩ σχιστῆς, λεοντοπόδιον λεῖον μετὰ ἀλ-
φίτου, λιβανωτίδος ῥίζα καὶ φύλλα, λινόσπερμον σὺν μέλιτι
3 *καὶ στέατι αἰγείῳ, μελάνθιον σὺν ὄξει· ἐρεβίνθου ῥίζα ἑφθή,*
στρατιώτης ὁ ἐπὶ τῶν ὑδάτων σὺν λιβανωτῷ, τραγορίγανον σὺν
ἀλφίτῳ, τρὺξ οἴνου μετὰ ἀλφίτου ἢ κριθίνου καὶ μάννης ἐν
οἴνῳ ἑψηθεῖσα, φλόμου φύλλα ἑφθά, ψυλλίου σπέρμα λεῖον·
σῦκα ξηρὰ σὺν νίτρῳ ἢ ἀσβέστῳ ἢ ἴριδι, πενταφύλλου ῥίζα ἐν
οἴνῳ ἑφθή, σκίλλα ὀπτή, διὰ τετάρτης δὲ ⟨δεῖ⟩ λύειν· σικύου
ἀγρίου ῥίζα ἑφθὴ καταπλασσομένη, μυὸς ὠτὶς μετὰ κηρωτῆς
ῥοδίνης, ἑλξίνη ὁμοίως καὶ ὁ ἐπὶ τῶν τελμάτων φακὸς λεῖος.

139 (148) *παρωτίδας δὲ λύει ἐν ἀρχῇ μὲν βούτυρον ἐν ἐρίῳ*
ἐπιτεθέν, λινόσπερμον σὺν μέλιτι καὶ στέατι αἰγείῳ, κνίδης φύλλα
σὺν ἁλσίν, ἀρνόγλωσσον ⟨λεῖον⟩ ὁμοίως, βαλλωτὴ σὺν στέατι
χοιρείῳ παλαιῷ μετ᾽ ὄξους, ἐρύσιμον σὺν ὕδατι, πυρία ⟨ἡ⟩ διὰ
θαλάσσης, ἰξὸς σὺν ῥητίνῃ καὶ κηρῷ, κυάμινον ἄλευρον σὺν
τηλίνῳ ἀλεύρῳ καὶ μέλιτι, λαπάθου ῥίζα ἐν οἴνῳ ἑφθή, στρύχνου
φύλλα μετὰ ἁλῶν, πήγανον λεῖον ἀναλημφθὲν κηρωτῇ ῥοδίνῃ,
2 *θεῖον ἄπυρον ὁμοίως· ἢ ῥητίνης μέρη β΄, χαλβάνης μέρος α΄,*
νίτρῳ ὡς ὅτι πλείστῳ συμμαλαχθέντα· ἢ πύρεθρον, ἢ ψιμύ-
θιον ἢ χάλκανθον σύκῳ ἀναλημφθὲν καὶ οἴνῳ [ἀρνόγλωσσον
λεῖον], ἄσβεστος μετὰ μέλιτος, γαλῆς ζώσης καείσης τέφρα μετὰ
κηρωτῆς ἰρίνης, γλαυκὸς τοῦ ὀρνέου ⟨ὁ⟩ ἐγκέφαλος καταχριό-
μενος, ὄλυνθοι ⟨οἱ⟩ ἀπὸ ἀγρίας συκῆς ἑψηθέντες ἐν οἴνῳ λεῖοι
⟨καὶ⟩ καταπλασθέντες.

---

14 EXC. Arch. (Gal. XII 668).

---

1 *δρύινοι* R 3 fort. *κρίθινον ἄλευρον* verba *συκίνης — μετὰ* om. Q 4 *στυπτηρίας* addidi 5 *λινόσπερμα* Q 7 *ἐπὶ* H, *ἀπὸ* (ut videtur) reliqui 8 fort. *κριθίνου ἀλεύρου* 11 *δεῖ* add. Moib., *δὲ λύειν* R: *διαλύειν* F (*δὲ λύειν* corr. M²) 12 *ἀγρίου* om. Q *ὠτὶς* N: *ὠτῆς* (comp. scr.) F: *ωτ . .* (spat. rel.) R: *ὦτα* H 13 *ἑλξίνης* O

14 *ρ̅ι̅ζ̅* F tit. *περὶ παρωτίδων* Q 16 *λεῖον* addidi ex Arch. l. s. Sar., cf. v. 23 17 *ἡ* addidi *δὲ διὰ* Q 19 *λαπάθου ἀγρίου* Arch. l. s., fort. recte coll. D. II 114 (189, 16) 20 *τήγανον* R 21 post *ῥητίνης* add. *ὁμοίως* Q 23 *ἀρνόγλωσσον λεῖον* delevi, om. Sar. (emendatio mg. addita ad v. 16 pertinet) 24 *ἄσβεστον* Q 25 post *κηρωτῆς* del. *ἢ* R *ὀρνέου* HR: *ὀρνίου* F *ὁ* addidi ex H 26 *οἱ* addidi *ἑψηθέντες* RH: *ἑφθέντες ἤγουν ἑψηθέντες* F 27 *καὶ* addidi

140 (149) *διαφορεῖ δὲ φύματα καταπλασσόμενα ⟨λεῖα⟩· ἀδί-
αντον, ἀνδράφαξυς, ταύρου αἷμα σὺν ἀλφίτῳ, ἀκτῆς ῥίζα, ἑλξίνης
ὁμοίως· ἀλθαίας ῥίζα ἐν οἴνῳ ἑψηθεῖσα, ὑοσκυάμου φύλλα
σὺν ἁλσὶ λεῖα, βρυωνίας ῥίζα λευκῆς καὶ μελαίνης μετὰ πάλης
ἀλφίτου, σικύου ἀγρίου ῥίζα ὁμοίως· Ἀμμωνιακὸν μετὰ μέλιτος
μαλαχθὲν καὶ ἐπιτεθέν, ἀπόπατος βοὸς ἐν ὄξει θερμανθεῖσα
καὶ ἐπιτεθεῖσα, ἀρνόγλωσσον μετὰ ἁλῶν λεῖον· ἀσφοδέλου ῥίζα* 2
*ἢ τὰ φύλλα ἑφθὰ ἐν οἴνου τρυγί, θύμος ἢ θύμβρα μετὰ πάλης
ἀλφίτου, Κιμωλία μετ' ὄξους ἐπιχριομένη, ἠρυγγίου ῥίζα κατα-
πλασσομένη, [ἢ] ἰξὸς σὺν ῥητίνῃ καὶ κηρῷ, ἰτέας τὰ φύλλα
ἀναλημφθέντα κηρωτῇ, κονύζης φύλλα, σιλφίου ῥίζα σὺν κη-
ρωτῇ, σκαμμωνίας ὀπὸς σὺν μέλιτι, στρουθίου ῥίζα λεία σὺν
ἀλεύρῳ κριθίνῳ ἑψομένη· στέαρ ταύρειον σὺν μάννῃ, στέαρ* 3
*χοίρειον παλαιὸν πλυθὲν ⟨ἐν⟩ οἴνῳ καὶ ἀναλημφθὲν τέφρᾳ ἢ
ἀσβέστῳ, συκαμίνου ὀπὸς μετὰ κηρωτῆς, θέρμινον ἄλευρον
καταπλασθὲν εἰς μέλι ζέον ἀσβέστου μιγείσης ἐπιτιθέ-
μενον· κορίου φύλλα μετ' ἐρεγμοῦ, κραταιόγονον καταπλασσό-
μενον, κράμβη ὠμὴ μετὰ ἀλφίτου, κυπαρίσσου σφαιρία μετὰ
ᾠοῦ κοπέντα.*

141 (153) *καὶ σκληρίας ⟨δὲ⟩ μαλάσσει λίθος πυρίτης κεκαυμέ-
νος ἀναλημφθεὶς ῥητίνῃ τερμινθίνῃ, [ἢ] διφρυγὲς ὁμοίως, Ἄσσιος
λίθος ὁμοίως, λύκιον ὁμοίως· μόρου τοῦ δένδρου χυλός — ἐγκόπτε-
ται δὲ ἰσχυρῶς ἡ ῥίζα καὶ τῇ ὑστεραίᾳ εὑρίσκεται ⟨ὁ⟩ ἐπίπαγος —,
ξιφίου ῥίζα σὺν ὀξυμέλιτι, ὀνόβρυχις καταπλασσομένη, ὄξος
θερμὸν καταντλούμενον· σπόγγος ὄξει διερός, μάλιστα ἐπὶ τῶν
ἀναίμων ἀποστημάτων· ὀρίγανον σὺν μέλιτι ἢ πάλῃ ἀλφίτου,* 2
*ὀποπάναξ σὺν μέλιτι, παλιούρου ῥίζα ὁμοίως, πίσσα ὑγρὰ σὺν
κηρῷ τακεῖσα, πλατάνου φλοιὸς ἑφθὸς καὶ τὰ φύλλα, ῥητίνη*

1 EXC. Orib. V 375, 1 (unde Paul IV 22, 63b 5).

1 *ρ̄ιη̄* F tit. *περὶ φυμάτων* Q *λεῖα* addidi ex Or. 2 *ἀνδράφαξις* R: *ἀδράφαξις* FH: *ἀτράφαξυς* Or. 6 *θερμανθεὶς καὶ ἐπιτεθείς* O, correxi 7 *λείων* Q 8 *ἢ*] *καὶ* H *θρύμμα* F: *θρύμβα* R 10 *ἢ* delevi (dittogr.) 13 *ἑψημένη* Q 14 *πλασθὲν* Q (*ἀνα* superscr. H pr. m.) *ἐν* addidi 16 *ἀσβέστω* Q: *ἀσβέστ . .* (spat. rel.) R *μιγὲν* H 17 *κορίου — καταπλασσόμενον* om. Q 18 *μετ* (spat. rel.) *ου κοπέντα* R

20 *ρ̄ιθ̄* F, cap. post c. 144 transp. Moib., fort. recte tit. *περὶ σκληρίας* Q *σκληρίαν* Moib. *δὲ* addidi 21 *τερεβινθίνη* H: *τερβινθίνῃ* Q *ἢ* delevi (ditt.) 22 *λύκιον ὁμοίως* om. Sar. 23 *ὁ* addidi 24 *ὄξει καὶ μέλιτι* R *ὀνοβρύχη* H: *ὀνοβρύχης* F (*ι* superscr. M²) 25 fort. *μάλιστα δὲ* 26 *ἀνέμων* F: *ἐναίμων* coni. Moib. *ἢ — σὺν μέλιτι* om. Q 27 *παλιούρου*] *πολίου* Q, cf. D. I 92 (85, 5)

τερμινθίνη σὺν στέατι, σησαμοειδές, φλόμου ⟨φύλλα⟩, πενταφύλλου ῥίζα, σῦκον ξηρὸν λιπαρὸν ἐν θαλάσσῃ ἑψηθὲν λεῖον.

142 (150) ἐκπέσσει δὲ φύματα ἀβρότονον ἑψηθὲν σὺν ὠμῇ λύσει, ἄγνου σπέρμα ὁμοίως, σῦκα ξηρὰ μετὰ νίτρου καὶ σῦκον ἑψηθὲν ἐν μελικράτῳ ὁμοίως, καὶ πύρινον καὶ τήλινον καὶ ζέινον [λινόσπερμον] ⟨καὶ⟩ αἴρινον σὺν περιστερᾶς κόπρῳ ἑψηθέντα καὶ νίτρῳ· λινόσπερμον μετὰ οἰνομέλιτος ἑψηθέν, γῦρις μετὰ πίσσης καὶ ἐλαίου καὶ ὕδατος ἢ ὄξους ἑψηθεῖσα, ζύμη μετὰ ἁλῶν, θέρμοι ἐν ὄξει ἑφθοὶ καταπλασθέντες, χαλβάνη καθ' ἑαυτήν, λινόσπερμον μετὰ θείου καὶ ἴρεως, Ἄσσιος λίθος σὺν κηρωτῇ καὶ ἐξικμάζει τὰ ὑπώπια.

143 (151) ῥήσσει δὲ τὰ φύματα θαψίας χυλὸς μετὰ θείου καταχριόμενος, ναρκίσσου ῥίζα σὺν μέλιτι καὶ αἰρίνῳ ἀλεύρῳ καταπλασθεῖσα, πρόπολις, θέρμοι μετ' ὄξους ἑφθοὶ καταπλασθέντες· σικύου ἀγρίου ῥίζα ἀναλημφθεῖσα ῥητίνῃ τερμινθίνῃ, καππάρεως ῥίζα ὁμοίως, νίτρον μετὰ ζύμης ἢ σύκων, ἅλες ὁμοίως, κανθαρὶς ἀναλημφθεῖσα ῥητίνῃ.

144 (152) τὰς δὲ ἐντὸς ἀποστάσεις ῥήσσει θάλασσα ποθεῖσα μετὰ μελικράτου.

145 (154) χοιράδας ⟨δὲ⟩ διαφορεῖ ἄσβεστος μέλιτι ἢ γλοιῷ ἀναλημφθεῖσα ἢ ἐλαίῳ ἢ ὀξυγγίῳ καὶ ἐπιτεθεῖσα· ἄσφαλτος μετὰ γλοιοῦ, ἀπόπατος αἰγὸς ἐν ὄξει ἢ οἴνῳ ἑψηθεῖσα θερμὴ ἐπιτιθεμένη ὁμοίως· ἀρνόγλωσσον μετὰ ἁλῶν καταπλασσόμενον,

12 EXC. Orib. V 375, 4. Paul. IV 22.
18 EXC. Orib. V 375, 7.
20 EXC. Orib. IV 611, 3. V 375, 8. Paul. IV 33.

1 τερεβινθίνη H σησαμοειδές N: σησαμοειδοῦς reliqui: σησαμοειδοῦς σπέρμα coni. Moib., at cf. D. IV 163 (309, 10) φύλλα add. Moib., cf. D. IV 103 (259, 10)

3 ρκ̄ F ἐκπήσεις F: ⟨ἐ⟩κπνήσεις H δὲ om. Q 4 σύκων F 5 ἐν om. Q καὶ τήλινον om. Q 6 λινόσπερμον delevi καὶ addidi, καὶ post αἴρινον add. F 9 θέρμιον Q: θέρμινον ἄλευρον coni. Moib. ἑφθὴ Q καταπλασθέν F χαλβάνην F 11 καὶ ἐξικμάζει] ἐξικμάζει δὲ καὶ ὑπώπια coni. Moib. ἐξικμάξει (ζ in mg.) R

12 ρκ̄α F ⟨ῥ⟩ύσει H: ῥήσσῃ F τὰ om. F 13 καὶ bis hab. R 14 θέρμοι πικροὶ Or. 15 ἡ ῥίζα Or.

18 ρκ̄β F ἀποστήσεις F

20 ρκ̄γ F tit. περὶ χοιράδων F (om. M) δὲ addidi ex Or. 21 ἀξουγγίῳ vel ἀξυγγίῳ libri 22 αἰγὸς] βοὸς D. II 80 (161, 22), fort. αἰγὸς ἢ βοὸς coll. Orib. IV 611 post ἐπιτιθεμένη dist. H

ἀδίαντον ὁμοίως, ἀλθαία ἐν οἴνῳ ἑφθή, κρίθινον ἄλευρον ἐν
πίσσῃ καὶ οὔρῳ παιδὸς ἀφθόρου καὶ ἐλαίῳ καὶ κηρῷ ἑψηθέν·
αἴρινον ἄλευρον μετὰ περιστερᾶς κόπρου καὶ λινοσπέρμου ἐν 2
οἴνῳ ἑψηθέν, μανδραγόρου ῥίζα ὁμοίως, μελισσόφυλλον σὺν
ἁλσίν· ἢ ἔχιν ἀποδήσας λίνῳ κρέμασον, ὅπως ἀποθάνῃ· εἶτα
λύσας τὸ λίνον περίαψον τῷ τραχήλῳ· διαφορεῖ καὶ Ἀμμωνιακὸν
οἴνῳ διεθὲν καὶ ἐπιτεθέν· βαλλωτη, ἥν τινες μέλαν πρά-
σιον καλοῦσιν, σὺν ἁλσίν, ἀπαρίνη ὁμοίως, ἐλξίνη ὁμοίως·
ὄνυχες βοῶν ἢ ὄνων ἢ ἵππων κεκαυμένοι ἐλαίῳ φυραθέντες·
ὄστρακον ⟨ἐξ⟩ ἴπνου κηρωτῇ ἀναλημφθέν, πενταφύλλου ῥίζα 3
ὁμοίως λεία σὺν λιβανωτῷ καὶ ἁλσὶν ὀλίγοις, πέπερι σὺν
πίσσῃ, σιλφίου ῥίζα σὺν κηρωτῇ· σκίλλα ὀπτὴ σὺν κηρωτῇ —
διὰ τετάρτης δὲ λύε —, ὄλυνθοι ἄγριοι καὶ ἥμεροι ἑφθοὶ λεῖοι
καταπλασσόμενοι καὶ πᾶσαν συστροφὴν διαφοροῦσιν· στύραξ
μαλαχθεὶς καὶ ἐπιτεθείς, ἀπαρίνη μετὰ ὀξυγγίου, ἶρις ἑφθὴ
καταπλασθεῖσα, ἐρύσιμον σὺν ὕδατι ἢ μέλιτι, ἐχίδνη ἑφθὴ
ἐσθιομένη· πυρία ⟨ἡ⟩ διὰ θαλάσσης, θέρμοι ἑφθοὶ λεῖοι, ἰξὸς 4
σὺν ῥητίνῃ καὶ κηρῷ, καππάρεως ῥίζα καὶ τὰ φύλλα χλωρὰ λεῖα
σὺν πάλῃ ἀλφίτου, καρκίνοι ποτάμιοι κεκαυμένοι σὺν μέλιτι, κο-
ρίου φύλλα σὺν ἐρεγμῷ, κυάμων Ἑλληνικῶν λέπυρα μετὰ
σχιστῆς καὶ ἐλαίου καὶ πάλης ἀλφίτου, λαπάθου ἀγρίου ῥίζα
μετὰ οἴνου ἑφθή, λιβανωτίδος φύλλα, λινόσπερμον μετὰ νίτρου
ἢ ἁλὸς ἢ κονίας· λίθος πυρίτης κεκαυμένος ἀναλημφθεὶς ῥη-
τίνῃ τερμινθίνῃ, Ἄσσιος λίθος ὁμοίως, φακὸς ἐν ὄξει ἑψηθείς·
καταχρίονται δὲ ὠφελίμως χοιράδες καὶ αἵματι γαλῆς.

146 (155) *περιάπτεται δὲ πρὸς χοιράδας ἀρνογλώσσου ῥίζα τῇ ἀριστερᾷ χειρὶ λαμβανομένη καὶ ἐνδεσμενομένη κυτίδι, λαπάθου ἀγρίου ῥίζα ὁμοίως, ἀσφοδέλου ῥίζα ὁμοίως, ἠρυγγίου ῥίζα ⟨ὁμοίως⟩· πρόλεγε δὲ εἰς ὃν λαμβάνεται ἀπὸ ἑσπέρας κατὰ σελήνην ἀπὸ ὀκτὼ καὶ εἰκοστῆς ἕως τριακάδος καὶ οὕτω περίαπτε.*

---

26 SIM. D. II 126 (200, 14). 114 (189, 18). III 21 (27, 5).

---

1 *κρίθινον*] *ὀρόβινον* Paul. l. s., Or. IV 611 2 *ἐλαίου καὶ κηροῦ* O, corr. Moib. *ἑψηθέντα* Moib. 3 *κόπρου περιστερᾶς* Q *λινόσπερμα* Q, at cf. Or. l. s. 4 *ἑψηθέντα* O, correxi *μελισσόφυλλα* F 5 *ἁλσὶν* RH: *ἁλσίνη* F *ἢ* om. Q *ἀποθάνοι* O, correxi 9 *ἢ* (pr.) om. Q 10 *ἐξ* addidi *ἵππου* F (*ἐν ἄλλῳ ἴπνου* mg. add. M²) 14 *συνστροφὴν* RF 15 *ἐξαγίου* F *ἶσις* R: *ἴρης* F 17 *ἡ* addidi 19 *ποτάμιοι* bis habet F 21 *πάλη* R *ἀλφίτων* H 25 post *γαλῆς* aliena add. F, del. M²

26 *ρκδ* F *περίαπτε* Q: *περίαπτον* Moib. 27 *λαμβανόμενον* Q (corr. M²) *κυτηδη* F (*κύτιδι* corr. M²) 29 *ὁμοίως* addidi 30 *οὕτως* F

147 (156) μελικηρίδας δὲ διαφορεῖ μελίλωτον καταπλασσόμενον σὺν ἀλεύρῳ τηλίνῳ ἢ πυρίνῳ, λαπάθου ἀγρίου ῥίζα λεία καὶ τὰ φύλλα, ἀρνογλώσσου φύλλα ὁμοίως.

148 (157) στεατώματα δὲ διαφορεῖ βουφθάλμου ἄνθη λεῖα σὺν κηρωτῇ, κυκλάμινος λεία καταπλασσομένη.

149 (158) βρογχοκήλας δὲ διαφορεῖ βδέλλιον σιέλῳ τοῦ πάσχοντος νήστου μαλαχθὲν καὶ ἐπιτεθέν, ἄσβεστος μετὰ ὀξυγγίου· διαφορεῖ καὶ σαύρα προσβληθεῖσα τῇ βρογχοκήλῃ ἢ μάντις — ἔστι δὲ ὅμοιος ἀκρίδι Ἰνδικῇ —, εἶτα κρεμασθεῖσα ἐν ᾧ κατάκειται τόπῳ.

150 (159) πολύπους δὲ ἐξεσθίει προελκωθέντας δρακοντίου ῥίζα καταχρισθεῖσα καὶ ὁ χυλὸς αὐτῆς διαχριόμενος, ἐλελίσφακος καταπλασσομένη, κυπαρίσσου σφαιρία κοπέντα καὶ σύκου σαρκὶ ἀναλημφθέντα καὶ καταπλασσόμενα καὶ ἐντιθέμενα· ὀπὸς σιλφίου μετὰ ἰοῦ ἢ χαλκάνθου, ⟨κόπρος⟩ κυνεία λευκὴ ὄξει λειοτριβηθεῖσα καὶ διαχριομένη ἢ ἐγχυματιζομένη ποιεῖ ἄκρως.

151 (160) ὀζαίνας ⟨δὲ⟩ πραΰνει ἀριστολοχείας ῥίζα σὺν κυπερίδι, κισσοῦ κορύμβων χυλὸς ἐγκλυζόμενος καὶ τὰς σηπεδόνας ἐκκαθαίρει, κινάμωμον μετὰ ἐλλεβόρου λευκοῦ καὶ στρουθίου ἅμα τε πταρμικῷ προσαγόμενον, ἐλλέβορος ⟨λευκὸς⟩ μετὰ καρ-

---

4 SIM. Aet. XV 8.
6 SIM. Aet. XV 6.
11 EXC. Orib. IV 546, 4. Aet. VI 92 (121r 27).
17 SIM. Archig. (Gal. XII 679).

---

1 ρκε F

4 ρκϛ F

6 ρκζ F   σιαλῷ R: σιάλω reliqui, correxi coll. D. I 67 (61, 6), ubi ἀνεθὲν σιέλῳ lege, cf. D. simpl. I 166. 228   7 νηστικοῦ O (chart. laes. F): ἀσίτου D. l. s., correxi, cf. Ox. pap. VIII 112, 44   8 καὶ scripsi: ἡ R: ἢ reliqui   μάντης FH, cf. Theocr. Id. 10, 18 cum schol., Hes. s. v.   9 ὅμοιον O, correxi   κατάκειται sc. ὁ πάσχων

11 ρκη F   περὶ πολύποδος add. N   πώλυπας Or., fort. recte coll. D. II 166 (231, 10)   ῥίζα ξηρὰ λεία Aet. l. s.   12 ἐπιχριόμενος Or.   ἐλελίσφακον καταπλασσόμενον Q, at cf. Or. l. s.   15 κόπρος add. Moib.   κυνεία ROrib., κυνέα reliqui   16 ἀκριβῶς O, correxi ex Or.

17 ρκθ FA   περὶ ὀζαινῶν (ὀζένας F) Q   δέ addidi   κυπερίδι i. e. κυπέρῳ cf. Pl. 25, 165 *cum cypero*   18 ἐγκλυόμενος RHM   20 ἅμα τε] αἵματι O, corr. Moibano duce   πταρμικῷ Moib.: πταρμικὸν O   προσαγόμενον — πταρμικὸν om. R, ad rem cf. Arch. l. s.   προσαγομένη Q   λευκὸς addidi, nisi ὁ ἐλλέβορος mavis   καρδάμου] καρδαμώμου Q

δάμου ὁμοίως· πταρμικὸν ἐπὶ ἡμέρας δέκα πρόσαγε, εἶτα τῇ Πολυείδου λεγομένῃ σφραγῖδι διάχριε, ἄχρις ἂν πεπανθῶσιν· ἢ καλαμίνθης χυλὸν ἐγχυμάτιζε ἢ ξηρὰν καλαμίνθην λείαν [ἐγχυμάτιζε καὶ] εἰς κύτος φύσα διὰ σίφωνος, ἢ βατραχείου χυλῷ καὶ στυπτηρίᾳ διάχριε μετ' ὄξους ἢ χαλκάνθῳ ἢ ψωρικῷ μετὰ μέλιτος.

152 (161) πρὸς δὲ τὰ ἐν μυκτῆρσιν ἕλκη ποιεῖ ἀμόργη ἐλαίου ἑφθὴ διαχριομένη, λύκιον ὁμοίως καὶ ⟨μάλιστα⟩ τὸ Ἰνδικὸν οἴνῳ ἀνεθὲν καὶ διαχριόμενον, σανδαράκη σὺν ῥοδίνῳ γλοιοποιηθεῖσα· λιθάργυρος, λιβανωτός, στυπτηρία σχιστή, ψιμύθιον, ἴσα σὺν οἴνῳ καὶ ῥοδίνῳ.

153 τὰ δὲ ἐν αὐταῖς σαρκώματα στέλλει καὶ ἐλασσοῖ προσαπτόμενα· ἀρσενικὸν καὶ σανδαράκη καὶ ἀσπαλάθου ῥίζα λεία, ὀπὸς σιλφίου μετὰ ᾠοῦ, χάλκανθον κεκαυμένον μετὰ οἴνου γλοιωθέν.

154 (162) τραύματα δὲ πρόσφατα καὶ ἀφεστῶτα κολλᾷ καὶ κόλπους μικρύνει καὶ σφίγγει καταπλασσόμενα λεῖα· ἀείζωον, λογχῖτις, χαμαίπιτυς, Ἡρακλεία, ἐλελίσφακος, ἕλιξ ἀμπέλου, ἀναγαλλίς, ἀνδρόσαιμον, ἀρνόγλωσσον, βάτου φύλλα, ἀλόη σὺν ὄξει μετὰ μοτῶν καὶ καθ' ἑαυτήν, ἀμόργη ἡψημένη μετὰ μοτῶν, ἀλθαίας ῥίζα σὺν οἴνῳ ἑψηθεῖσα, ἀγριελαίας ⟨φύλλα⟩ σὺν μέλιτι, ἀκτῆς φύλλα λεῖα, ἀριστολοχείας ῥίζα σὺν ὄξει, γλυκύρριζα πρόσφατος κοπεῖσα καὶ καταπλασθεῖσα ἢ ἑψηθεῖσα ἐν ὕδατι, ἐλαφοβόσκου ῥίζα λεία, σμύρνα σὺν ὕδατι καταχρισθεῖσα καὶ ἐπιπασθεῖσα ξηρά, λίβανος ὁμοίως· σμυρνίου ῥίζα κατα- 2
πλασσομένη, ἠριγέροντος ῥίζα σὺν ὄξει, ἰὸς σιδήρου λεανθεὶς ἐπὶ πολὺ μετ' οἴνου καὶ σμύρνης ἐν ἡλίῳ, ἱππούριδος φύλλα λεῖα, ἰσάτεως φύλλα ἡμέρου καὶ ἀγρίας· Κενταυρείου τοῦ μεγά-

---

11 SIM. Apoll. (Gal. XII 687).
15 SIM. Orib. V 327, 1sq. (unde Paul. IV 37).

---

2 ἄχρι F 3 χυλῶ R ἐγχυμάτιζε καὶ delevi: ἐγχυματίζων Q 4 εἰς κύστιν R: τι Q, correxi χυλῷ om. Q 5 σὺν στυπτηρίᾳ Moib.

7 $\overline{ρλ}$ F 8 διαχριομένου F καὶ om. mg. add. M² (chart. laes. F) μάλιστα addidi coll. I 57

12 $\overline{ρλα}$ F, om. Moib. προσαγόμενα Q 13 σπαλάθου Q

16 $\overline{ρλβ}$ F 17 μικρύνει καὶ σφίγγει om. Q σμικρύνει (σ dittogr.) R 18 post χαμαίπιτυς dist. om. F ἐλελίσφακον Q 20 καὶ — μοτῶν om. F, mg. add. M² ἐψημένη M² 21 ἀγριελαία R: ἀγριελαίας Q φύλλα add. Moib. 25 ἐπιπλασθεῖσα O, corr. Moib., cf. D I 64 (58, 23) 27 post ἡλίῳ add. λεῖα O, post ἱππ. φύλλα transposui coll. D. IV 46 (204, 9)

λου χυλὸς τῆς ῥίζης καὶ ἡ ῥίζα Κενταυρείου τοῦ λεπτοῦ χλωρὰ λεία· κονύζης φύλλα, γῆς ἔντερα καὶ νεύρων διακοπὰς κολλᾷ λεῖα ἐπιτιθέμενα, κυκλάμινος σὺν ὄξει καὶ μέλιτι, κυπαρίσσου ⟨φύλλα⟩ λεῖα, λιβανωτίδος φύλλα χλωρά, Λυσιμάχειος πόα, μυριόφυλλον καταπλασσόμενον, ὄρχεως τῆς Σαραπιάδος ῥίζα, πευκεδάνου ῥίζα, πενταφύλλου φύλλα μετὰ μέλιτος, περιστερᾶς αἷμα.

155 (163) πρὸς δὲ τὰ ἐπιπόλαια τραύματα πολύκνημον λεῖον, τὸ ἐν τοῖς θυλακίοις τῆς πτελέας ὑγρόν, καὶ ὁ φλοιὸς δὲ αὐτῆς ἐπιδεόμενος — ἔστι γὰρ ὡς φιλύρα — κολλᾷ καὶ ἀφλέγμαντα ποιεῖ· πρίνου φλοιὸς λεῖος, ῥᾶ λεῖον σὺν οἴνῳ, σύμφυτον λεῖον, περιστέριον λεῖον, σκόροδα καέντα καταπλασσόμενα· παραδόξως δὲ τὰς διακοπὰς τῶν νεύρων καὶ τὰ πρόσφατα τραύματα παρακολλᾷ ἄγχουσα καταπλασθεῖσα.

156 (164) πρὸς δὲ τὰς τοῦ τραχήλου τῆς κύστεως διαιρέσεις καὶ νεύρων καὶ μηνίγγων καὶ τὰς φλεγμονὰς ἁρμόζει βούτυρον ἐπιτιθέμενον ἐν μοτῷ· ἐπὶ δὲ τῶν λιθοτομιῶν δεῖ ὀξάλμῃ παραχρῆμα καταντλεῖν.

157 (165) τὰς δὲ κατὰ τὰ νεῦρα τρώσεις ἀφλεγμάντους τηρεῖ καταπλασσόμενα· κόκκος βαφικὴ λεία σὺν ὄξει καὶ μέλιτι, κραταιόγονον λεῖον, κρίνου ῥίζα ἑφθὴ ἐν οἴνῳ λεανθεῖσα, οἰνάνθη ὁμοίως, ὀπὸς σιλφίου μετά τινος τῶν θερμαντικῶν ἀποζεμάτων ἐπιτιθέμενος· νευράδος, ἣν καὶ ποτίρριον καλοῦσιν, ῥίζα· ἄγχουσα καταπλασθεῖσα.

---

7 SIM. Orib. V 326 sq.
11 EXC. Orib. V 327, 11.

---

1 verba *καὶ ἡ ῥίζα — κονύζης* om. F, mg. add. M² (at post *φύλλα* v. 2 errore inser.) *κενταύρειον τὸ λεπτὸν χλωρὸν λεῖον* O, correxi e D. III 7 (13, 1) 3 *ἐπιτεθέμενα* R *κυκλάμινον* Q *κυπάρισσος* R *φύλλα* addidi ex HM², cf. Orib. l. s. 327, 4 5 *ῥίζης* Q *πευκεδάνου ῥίζα* om. Q 6 *περιστερεῶνος ὁμοίως* coni. Moib.

7 *ρλγ̄* F *πολυκνήμου* Q 9 *ἔστι γὰρ ὡς φ.*] *ἔστι γὰρ ἱμαντώδης* D. I 84 (80, 14) fort. *φιλύρας* 10 *φλοιὸς*] *χυλὸς* Q, correxi *λεῖος* delebat Sar. 11 *περιστέριον λεῖον* om. Q *καὶ καταπλασσόμενα* Q (dittogr.), at cf. Orib. l. s.

14 *ρλδ̄* F

18 *ρλε̄* F *τὰ νεῦρα*] *νεύρων* Q: *τῶν νεύρων* H 19 *λεία* om. mg. add. R, cf. D. IV 48 (205, 7) 20 *λιανθεῖσα* R *οἰνάνθη*] *ἢ νάρδη* Q (chart. laes. F), cf. D. V 4 (4, 7) 22 *νευρωδόσιν* F (*νευράδος ἣν* in mg. corr. M²) *ποτίρρηον* R: *ποτήριον* reliqui, cf. D. III 15 (21, 9) *ῥίζα* Sar.: *ῥίζαν* O

158 (166) *ἀνάγει δὲ ὀστέα καὶ ἀφίστησι· πάνακος ῥίζα ξηρὰ ἐπιτιθεμένη καὶ ἀριστολοχείας ὁμοίως, βρυωνίας λευκῆς ἢ μελαίνης ῥίζα ὁμοίως, ἶρις ξηρά, ὀρόβινον ἄλευρον, συκῆς φύλλα καὶ κράδαι ἁπαλαὶ σὺν μήκωνος ἀγρίας φύλλοις καταπλασσόμενα· λινόσπερμον σὺν ἀνήσσῳ, ἶρις σὺν χαλκάνθῳ καὶ Κενταυρείῳ, πευκεδάνου ῥίζα, χάλκανθος σὺν ὑοσκυάμου σπέρματι, χαμαιλέων μέλας.*

159 (167) *ἀκίδας δὲ καὶ σκόλοπας ἕλκει καταπλασθέντα· ὁρμίνου φύλλα καὶ τὸ σπέρμα μετὰ ἀλφίτου, ξιφίου ῥίζα σὺν ὕδατι ἢ καθ' ἑαυτὴν ἢ σὺν λιβανωτῷ καὶ οἴνῳ, ἴρεως ῥίζα, λεοντοποδίου καρπὸς καὶ φύλλα μετὰ ἀλφίτου· Ἀμμωνιακὸν σὺν μέλιτι, ὄρχις ἡ βοτάνη καταπλασσομένη, ἀναγαλλὶς ὁμοίως, ἀριστολοχείας ῥίζα ὡσαύτως· καλάμου φραγμίτου ῥίζα καὶ τοῦ μεγάλου τὰ φύλλα λεῖα, κοχλίαι σὺν τῇ σαρκί, ναρκίσσου ῥίζα ἢ βολβὸς σὺν μέλιτι, σίνηπυ μετὰ ζύμης, ὀξυακάνθου ῥίζα, δίκταμνον — τοῦτο δέ φασιν ἐν Κρήτῃ νεμηθείσας ὑπό τινων τοξευθείσας αἶγας ἐκβάλλειν τὰ βέλη —, πρόπολις ἐπιτιθεμένη, πυκνοκόμου καρπὸς λεῖος, σαύρας κεφαλὴ λεία, σιλούρου ταριχηροῦ σάρξ, νεβροῦ πυτία, τράγειον πινόμενον.*

160 (168) *ἐρυσιπέλατα δὲ ἰᾶται καταχριόμενα ταῦτα ὄξους καὶ ῥοδίνου μειγνυμένων· ψιμύθιον, λιθάργυρος, ἡ γῆ Κιμωλία ἢ Χία ἢ Σελινουσία· μείγνυται δὲ χυλὸς ἀρνογλώσσου ἢ σέριδος ἢ πολυγόνου ἢ ἀγριελαίας ἢ ἀνδράχνης ἢ ἀειζώου ἢ στρύχνου ἢ ὑοσκυάμου ἢ κορίου ἢ πηγάνου ἢ σελίνου ἢ ἑλξίνης ἢ ἡδυόσμου. ποιεῖ καὶ λιθάργυρος μετὰ ῥοδίνου λεῖος, ὤχρα μετ' ὄξους, ἰὸς σιδήρου σὺν ὄξει καὶ ψιμυθίῳ καὶ θείῳ καὶ λι-*

8 SIM. Orib. V 350.
18 SIM. Zop. (Orib. II 591, 10).
20 SIM. Pl. 26, 121. Orib. IV 616, 19. V 379 (e Gal. cf. III 649 sq.) Aet. XV 59. Paul. IV 21.

1 ρλϛ F fort. *καὶ λεπίδας ἀφίστησι* 6 *χαλκάνθης ῥίζα* Q (comp. scr. F): *χαλκάνθους ῥίζα* R, corr. Sar. e Pl. 34, 126 *extrahit* (sc. chalcanthon) *ossa fracta cum semine hyoscyami: λευκακάνθης ῥίζα* coni. Moib.

8 ρλζ F *αἴρει* (*ἕλκει* superscr. pr. m.) H 10 *καὶ καθ' ἑαυτὴν* Q (dittogr.) *ἑαυτὸν* F 13 *φρεγμίτου* F 15 *ὀξυακάνθης* (*ου* superscr.) M *ἡ ῥίζα* H *δίκταμον* R 17 *τοξευθείσας αἶγας* Moib.: *τοξευθησῶν αἰγῶν* RF: *τοξευτῶν αἰγῶν* H *ἐκβάλλον* F 19 *νεκροῦ* Q (corr. M²) *τράγειον* R: *τράγιον* Q

20 ρλη F 21 *ψιμύθιον, λιθάργυρος* Moib.: *ψιμυθίου λιθαργύρου* R: *ἀψινθίου* (*ψηθίου* M) *λιθαργύρου* Q (chart. laes. F) 22 fort. *μείγνυται δὲ αὐτοῖς χυλὸς*] *μετὰ* M (del. mg. add. *χυλὸς* M²) 25 *λεῖον* F 26 post *σιδήρου* habet Q *χυλὸς* (comp. scr.) *καὶ ὄξος καὶ ψιμιθίω καὶ θείω*

2 θαργύρῳ· λιθάργυρος μετὰ πηγάνου χυλοῦ καὶ ὄξους καὶ ῥοδίνου, μηκώνιον σὺν ὄξει· ἢ ἀκακία, διφρυγὲς ὀπτόν, ⟨στυπτηρία⟩ σχιστή, ἴσα μετ' ὄξους· ἄκρως δὲ ποιεῖ τοῦτο. (169) καταπλασσόμενα δὲ μετὰ ἀλφίτου πάλης ποιεῖ πρὸς ἐρυσιπέλατα ταῦτα· ἀρνόγλωσσον, κόριον, σέλινον, ἀνδράχνη, ἀείζωον, μυόσωτον, στρύχνον, ὑοσκυάμου φύλλα, ἑλξίνη, κάλυκος τῆς καλουμένης ὀνοκλείας ῥίζα, κοτυληδών, κράμβης φύλλα, κύπρου φύλλα, κυπαρίσσου ὁμοίως,
3 λυκάψου φύλλα, ὠκίμου φύλλα, ὑοσκυάμου ⟨ὁμοίως⟩· καλάμου φλοιὸς χλωρὸς λεῖος, κρότωνος φύλλα λεῖα καθ' ἑαυτὰ ἢ μετ' ὄξους, κρίνου ἄνθος καὶ φύλλα σὺν οἴνῳ, κύτινοι ἑφθοὶ σὺν οἴνῳ λεῖοι σὺν φακοῖς καὶ ῥόδοις ξηροῖς· κώνειον χλωρὸν λεῖον, μανδραγόρου ῥίζα σὺν ὄξει λεία, μολόχης φύλλα ἑφθὰ μιγέντος ἐλαίου, λευκανθέμου φύλλα καθ' ἑαυτά, φακὸς ὁ ἐπὶ τῶν τελμάτων λεῖος, ἀκίνου φύλλα λεῖα σὺν περιστερεῶνος φύλλοις λείοις καὶ ὄξει, στρατιώτης ὁ ἐπὶ τῶν ὑδάτων, σχίνου φύλλα,
4 σεῦτλον ἑφθὸν σὺν οἴνῳ καὶ ἐλαίῳ λεῖον· μελάμφυλλον, ὃ δὴ καὶ παιδέρωτα, οἱ δὲ ἄκανθον καλοῦσι, καθ' ἑαυτὸ χλωρὸν λεῖον καὶ σὺν ὄξει καὶ ῥοδίνῳ καὶ σὺν ἄρτῳ ποιεῖ ἄκρως, σποδὸς μετὰ κράμβης χυλοῦ. καταντλούμενα ⟨δὲ⟩ ὠφελεῖ τὰ ἐρυσιπέλατα κολυμβάδων χυλός, σιδίων ἀπόζεμα ⟨ἢ⟩ κυτίνων ἢ σμύρνης ⟨ἢ⟩ ἀλθαίας ἢ βάτου ἢ βαλαυστίου ἢ κισσοῦ ἢ σχοίνου ἢ ἐρεβίνθων ἢ πτελέας τῶν ῥιζῶν.

---

3 SIM. Orib. IV 616, 25.

---

1 ὄξος Q   2 στυπτηρία addidi   3 ποιεῖται οὕτως Q   nov. cap. inc. Moib., fort. recte   δὲ om. Q   4 ποιεῖ om. H   ἐρυσιπέλατα RH: ἐρυσίπελας reliqui   5 μυόσωτον (vel μυοσωτόν) O, cf. I 1   6 ἑλξίνης O, correxi   κάλυκος] καλάμου H   ὀνοκλίας R: ἐνοκλίας Q, cf. D. IV 23 (187, 10)   7 κοτυλιδῶνος H: κοτηλύδων F   8 ὁμοίως addidi   10 σὺν (alt.) suspectum   11 φακοῖ (οι del.) R (fort. φακῷ?), fort. καὶ φακοὶ σὺν   12 μιγέντος R: μιγέντα Q, fort. μιγέντος αὐτοῖς   13 ἐλαίῳ H   καθ' ἑαυτὰ — φύλλα om. H   15 λεῖος Q   καὶ] σὺν O, correxi   ἐπὶ] ἀπὸ O, cf. D. IV 101 (256, 5)   σχοίνου F   16 μελανθίου φύλλον H   17 παιδέρωτα καλοῦσιν H   ad rem cf. D. III 17 (23, 1)   18 καὶ (pr.) om. H   σὺν (alt.) om. H   19 χυλοῦ καταντλούμενα· (om. ὠφελεῖ — ῥιζῶν) M   δὲ addidi   20 ἢ addidi   21 σμύρνων RF, correxi   ἢ addidi   22 ἢ τῶν ῥιζῶν R   post ῥιζῶν aliena add. F (chart. laes.) M (del. M²) πρὸς τὸν μὴ δυνάμενον συγγενέσθαι μετὰ τῆς ἰδίας γυναικός· λαπάθου χλωροῦ ἀγρίου <· ᾱ πλήρης ἕψε ἐν γάλακτι βοὸς καὶ δὸς πιεῖν μετ' οἴνου ὑποβρέξας αὐτὸ πρῶτον εἰς τὸν οἶνον ἑσπέραν μίαν. ἄλλο· πύρεθρον καὶ γαλαγγὰν (sic) ἀνὰ <· γ̄ τρίψας ἕνωσον μετὰ ζάμβακαν Γο γ̄ βαλὼν αὐτὸ εἰς ὑαλὴν καὶ κρέμασον εἰς ἥλιον ἡμέρας λ' καὶ λαβὼν ἐξ αὐτοῦ ἄλειφε τὸν ὀμφαλὸν καὶ τὰς ψοίας τοῦ πάσχοντος καὶ θαυμάσεις

161 (170) ἕρπητας δὲ ὠφελεῖ μὲν καὶ τὰ πρὸς ἐρυσιπέλατα ἀναγεγραμμένα καὶ μάλιστα ὅσα ἐπιτεταμένως στύφει κατάχριστα καὶ καταπλάσματα· ἰσάτεως φύλλα λεῖα σὺν ὕδατι καταπλασσόμενα, βάτου φύλλα ὁμοίως, ἀπόπατος αἰγὸς σὺν ὄξει ἐπιπλασσομένη, [ἢ] βηχίου φύλλα σὺν ὕδατι, μυρσίνης φύλλα σὺν ἀλφίτῳ, πενταφύλλου ῥίζα σὺν ἀλφίτῳ, σφονδύλιον λεῖον σὺν πηγάνῳ καὶ ὄξει. καταχρίεται δὲ ὠφελίμως ἄσβεστος σὺν 2 ὄξει ἐπὶ τῶν ἀνελκώτων, ἐὰν δὲ εἱλκωμένοι ὦσιν, σὺν κηρωτῇ· διφρυγὲς σὺν ὄξει, γῆ Κιμωλία ὁμοίως, λύκιον, πίτυος φλοιοῦ <· β′ μετὰ χαλκοῦ ἄνθους <· α′ σὺν κηρωτῇ· ἢ σηπεδόνα ξύλου λεάνας καὶ μείξας ἄνησσον λεῖον ἴσον καὶ ἔλαιον φύρα καὶ ἐνδήσας ὀθονίῳ ⟨καὶ⟩ καύσας λείωσον καὶ οὕτω κατάπασσε. ποιεῖ 3 καὶ σῶρι κεκαυμένον σὺν ὄξει, μίσυ σὺν ὕδατι, πίτυος φλοιὸς συναναλημφθεὶς κηρωτῇ κυπρίνῃ, μέλαν γραφικὸν σὺν ὄξει ἐπιτιθέμενον ἄνωθεν, κράμβης φύλλα· ἢ θείου Γο α′, λιθαργύρου Γο β′, μετὰ οἴνου λεῖα κατάχριε· ἢ σκορόδων <· α′, καρύων πικρῶν <· β′, κρόκου <· ς′, συλλεάνας κατάχριε· κατάντλει δὲ ὄξει ψυχρῷ.

162 (171) τὰς δὲ ἐπινυκτίδας ἀγριελαίας ἄνθεσι κατάπλασσε, ἢ ῥάμνου ἢ ἄγνου φύλλοις σὺν μέλιτι, ἀμυγδάλοις πικροῖς σὺν οἴνῳ, προβάτου κόπρῳ καθ᾽ ἑαυτήν, ἀρνογλώσσῳ καθ᾽ ἑαυτό, σταφίδι μετὰ πηγάνου, ἀψινθίῳ σὺν ὕδατι, κορίῳ χλωρῷ λείῳ, σαμψούχῳ σὺν ὕδατι, σικύου φύλλοις ὁμοίως.

163 (172) πρὸς δὲ τὰ κηρία ἁρμόζει σταφὶς μετὰ πηγάνου, συκῆς φύλλα ἁπαλὰ σὺν μέλιτι, κάρδαμον σὺν μέλιτι καὶ λινοσπέρμῳ, σικύου ἡμέρου ῥίζα σὺν μέλιτι, θεῖον ἄπυρον σὺν κηρωτῇ ὀλίγῃ ἢ ῥητίνῃ τερμινθίνῃ.

---

1 SIM. Aet. XIV 60. Orib. V 381.
18 SIM. Aet. XIV 61. Paul. IV 9.
23 EXC. Orib. IV 611, 9; cf. Aet. XIV 11.

---

1 ρλθ F 5 ἢ delevi (dittogr.) σμύρνης H 8 ἀνελκόντων F 9 ἢ γῆ Q λύκειον R πίτυς H: πύτης F post πίτυος transpos. φλοιὸς ἀναλημφθεὶς κηρωτῇ κυπρίνῃ, πίτυος Sar. 10 <· β′ Sar.: <· ιβ O χαλκάνθους R: χαλκάνθης Q, correxi 11 ἴσον om. F, superscr. M² ἐνδύσας Q 12 καὶ addidi κατάπλασσε O, corr. Moib. 14 συναληφθεὶς M (chart. laes. F) κυπαρίνῃ M 16 καρικῶν πτερῶν Q (chart. laes. F) 17 κρόκου <· ϛ O, corr. Gesn.

18 ρμ FA 19 φύλλοις Moib.: φύλλα O 20 προβάτων H κόπρος R ἀρνόγλωσσον O, corr. Moib. 21 σταφίδα Q (chart. laes. F) ἀψίνθιον Q

23 ρμα F 24 ἁπαλῆς O, correxi ex Or.

164 (173) τὰ δὲ ἐκ τῶν ὑποδημάτων παρατρίμματα ἐπώδυνα ὄντα ἄπονα ποιεῖ καὶ ἀφλέγμαντα· πνεύμων χοίρειος ἢ ἄρνειος ἐπιτεθείς, κρόμυον σὺν ὀρνιθείῳ στέατι λεῖον ἢ ἀλφίτῳ, κασσύματα παλαιὰ καιόμενα καὶ ἐπιπασσόμενα.

165 (174) ἀφλέγμαντα δὲ τηρεῖ τὰ ἀποσύρματα ῥοῦς ἐρυθρὸς καταπλασσόμενος ⟨λεῖος⟩ σὺν μέλιτι, σιδηρίτιδος τῆς καὶ Ἡρακλείας καλουμένης τὰ φύλλα καταπλασσόμενα, σκόρδιον, σχίνου κόμη καεῖσα καὶ σὺν μέλιτι ἐπιτεθεῖσα, στρατιώτης ὁ ἐν τοῖς ὕδασι σὺν ὄξει.

166 (175) ἥλους δὲ αἴρει βατράχειον ἐπιπλασθὲν προαποξυσθέντος ἐπὶ βραχὺ τοῦ ἥλου· ἀκριβῶς δὲ ἐπιτιθέναι δεῖ τὰ κύκλῳ μέρη στέατι ἢ κηρῷ περιπλάσσοντας· διεσθίει γὰρ καὶ τὰ ἀπαθῆ· αἴρει δὲ πρὸς ὀλίγον καταπλασθὲν τὸ βατράχειον καὶ θύμια καὶ ἀκροχορδόνας, αἴρει ⟨καὶ⟩ σμαρίδος ταριχηρᾶς κεφαλὴ καεῖσα, ἰτέας φλοιὸς πρόσφατος καεὶς καὶ μετ᾿ ὄξους ἐπιτεθείς, [καὶ] λάδανον σὺν ὀλίγῳ καστορίῳ, μελάνθιον σὺν οὔρῳ, σίλφιον μετὰ κηροῦ καὶ τύλους αἴρει ἢ ὀπὸς τοῦ σιλφίου σὺν ῥητίνῃ· σαύρας κεφαλὴ λεία ἐπιπλασθεῖσα ἢ ὀπὸς ξηρὸς συκῆς· σαύρας αἷμα πρόσφατον ἐπισταζόμενον ἢ ἐρίῳ διάβροχον ἐπιτιθέμενον· Ἀμμωνιακὸν νήστει σιέλῳ ἀναμαλάξας καὶ ἀποξυσθέντος ἐπὶ ποσὸν ⟨τοῦ ἥλου⟩ ἐπιτίθει.

167 (176) μυρμηκίας καὶ ἀκροχορδόνας καὶ θύμους αἴρει μετὰ

1 EXC. Orib. V 332, 12. Aet. XIV 67.
5 EXC. Orib. V 332, 10. Aet. XIV 66.
10 EXC. Orib. IV 621, 19 (ex Archigene?). Paul. III 80.
22 EXC. Orib. IV 622, 5. Paul. IV 15.
22 SIM. Orib. V 389, 7. Aet. XIV 4.

1 ρμβ F ⟨τ⟩ὰς R παρατρύμματα Q 2 πλέμον F fort. ἄρνειος ἢ αἴγειος coll. Or. 4 κασσήματα F (corr. M²) ἐπιπλασσόμενα O, corr. Moib.
5 nov. cap. (ρμγ) inc. A, post ἐπιπασσόμενα spat. rel. O 6 ἐπιπλασσόμενος R λεῖος addidi ex Or. 8 σχίνου H, σχοίνου R, σχήνου F, cf. Or. l. s. καὶ om. R, post μέλιτι coll. Q, correxi ex Or.
10 ρμγ F 12 περιπλάσσοντας R: παραπλασθέντα Q 13 καταπλασθὲν τὸ Moib.: καταπλασθέντα O 14 θύμα O (mend. not. H): correxi, θύμους coni. Moib. αἴρει om. Moib. καὶ addidi 16 ἐπιτεθείς] λεανθεὶς Or. καὶ delevi Oribasio duce 17 κηροῦ] κιτρίου O: κηρωτῆς Moib., corr. Sar. αἱρεῖ Sar. 18 ῥητίνῃ ὁμοίως F 19 ξηρὸς om. Sar. συκῆς scripsi: ῥητίνης O, cf. D. I 128 (118, 15) ἢ] καὶ Q 20 νήστει σιελῷ R: νήστεις σιέλῳ F: νήστις σιέλῳ H 21 ἀποξυσθέντος O τοῦ ἥλου addidi post ἐπιτίθει add. βδέλλιον ἤγουν (ἢ H) φλοιὸν πτελέας κατάπλασσε add. Q (mg. M)
22 ρμδ F

κηρωτῆς ἄσβεστος λεία, διψάκου ῥίζα καταπλασσομένη λεία,
ἐλατήριον μετὰ ἁλῶν λεῖον προσψανόμενον, ἐρέβινθοι ἑφθοὶ
λεῖοι καταπλασσόμενοι· φασὶ δὲ ὅτι εἴ τις κατὰ νεομηνίαν ἑκά-
στης ἐξοχῆς ψαύων ἑνὶ ἐρεβίνθῳ καὶ τοῦτον ἐνδεσμεύων ὀθονίῳ
εἰς τοὐπίσω ῥίπτοι, ἀποπίπτειν αὐτὰς αὐτομάτας ἢ ἀφανεῖς
γίνεσθαι. ποιεῖ καὶ ἡλιοτροπίου τοῦ μεγάλου ὁ καρπὸς ἐν οἴνῳ 2
καταπλασθείς, κλινοπόδιον μετὰ ὕδατος ἑψηθὲν καὶ ἐπιτεθέν,
πήγανον σὺν νίτρῳ καὶ πεπέρει καταπλασθέν, λιβανωτὸς σὺν
ὄξει ὁμοίως, ὄλυνθοι ὁμοίως μετὰ νίτρου καὶ ἀλεύρου, καὶ ὁ ὀπὸς
δὲ τῆς συκῆς καταχριόμενος· σαύρας κεφαλὴ λεία ἐπιτιθεμένη,
σμαρίδος ταριχηρᾶς κεφαλὴ καεῖσα καὶ καταπλασθεῖσα· θύμος 3
ἢ θύμβρα ἐπιπλασθέντα, ἰὸς σὺν μίσυι κεκαυμένος, τιθυ-
μάλλου ὀπὸς καταχριόμενος, ὠκίμου φύλλα μετὰ χαλκάνθου
καταπλασσόμενα, ἀμπέλου κλημάτων χλωρῶν τὸ ἀφιδρούμενον
ἐν τῷ καίεσθαι ἐπιχριόμενον, προβάτου ἀπόπατος μετ᾽ ὄξους,
χαμαισύκη λεία καταπλασθεῖσα, αἰγὸς ἀγρίας χολὴ ἢ τράγου
καταχριομένη.

168 (177) ἀκροχορδόνας ⟨δὲ⟩ τὰς ἐν παντὶ τόπῳ αἴρει ἰχὼρ πνεύμονος ὀπτωμένου καταχριόμενος, θεῖον, λιβανωτός, συκῆς φύλλα ἴσα τρίψας ἐπιτίθει προκαταντλήσας πυρῶν ἀφεψήματι· ἢ πηλῷ, ὅπου ἐὰν κύων μέλας οὐρήσῃ, κατάχριε ἢ χαμαιάκτῃ.

169 (178) πυρίκαυτα δὲ ἐν ἀρχῇ ὠφελεῖ, ὥστε εἰ παραχρῆμά τις χρήσαιτο μηδὲ φλυκταινοῦσθαι· μέλαν γραφικὸν ἐν ὕδατι καταχριόμενον, στυπτηρία ὑγρά, μόρων φύλλα σὺν ἐλαίῳ, ναρκίσ-σου ῥίζα σὺν μέλιτι, ἀκτῆς φύλλα λεῖα, ἀρκτίου φύλλα καὶ ὁ καυ-

22 SIM. Orib. V 333. Cels. V 27, 13. Pl. 26, 129; cf. Aet. XIV 64. Paul. IV 11.

1 *λεία* (pr.)] *λεῖος* Sar. *διψάκου — λεία* om. F, mg. add. M² 2 *προσψανόμενα* F: *προεψανόμενα* H 3 *λεῖοι ἑφθοὶ* Q *ὅτι* (sic) R, om. reliqui 5 *ῥίπτει* Q *αὐτομάτους* H *ἀναφανῆς* Q ad rem cf. D. II 104 (178, 9) 8 *καὶ περικαταπλασθέν* Q: *καὶ πέπερι καταπλασθέν* R, correxi ex Or. post *καταπλασθέν* fort. verba *δαύκου ῥίζα καταπλασθεῖσα* ex Or. addenda 9 *νίτρου*] *κηροῦ* O, correxi Sar. duce coll. Or. l. s., D. I 128 (119, 13) *ὁ* om. Q 11 *κατακαεῖσα* (ditt.) Q *καταπλασθεῖσα*] *ἐπιτεθεῖσα* Q (chart. laes. F) *θύμον θύμβρα* R: *θύμον θρύμβα* Q, corr. Moib. 12 *μίσυ* F: *μίσει* Sar. *κεκαυμένος* Moib.: *κεκαυμένῳ* O

18 *ρμε* F *δὲ* addidi 20 *προσκαταντλήσας* R 21 ad *ὅπου ἐὰν* cf. Blaß, Gr. d. n. t. gr. 64 *οὐρήσῃ* Moib.: *οὐρήσει* O, ad rem cf. Seren. Sam. 63 *χαμαιάκτῃ*] *χαμαισύκῃ* mavult Moib.

22 *ρμϛ* F *πυρίκαυστα* Sar. 23 post *φλυκταινοῦσθαι* transp. *Κιμωλία — καταχρισθεῖσα* (v. 11) Sar. 24 post *ὑγρὰ* transp. *στυπτηρία πᾶσα σὺν ὕδατι* (v. 11) Sar.

λὸς καὶ αἱ ῥίζαι σὺν οἴνῳ ἑψηθέντα, φλόμου ῥίζαι καὶ φύλλα
ἑψηθέντα ὁμοίως, ἐλαίας φύλλα ἑφθά, ἅλες σὺν ἐλαίῳ κατα-
πλασθέντες, ἀνδρόσαιμον λεῖον, ἀρνογλώσσου φύλλα, ὑπερικοῦ
φύλλα πρόσφατα, μολόχη λεία ἑφθὴ καὶ ὠμὴ καταπλασθεῖσα·
2 Κιμωλία μεθ᾽ ὕδατος καταχρισθεῖσα, ἐλαῖαι λευκαὶ ἐξ ἅλμης λεῖαι
καταπλασθεῖσαι καὶ ⟨αἱ⟩ μέλαιναι ⟨δὲ⟩ ὁμοίως· καὶ ἑλξίνη κατα-
πλασσομένη ἢ βάτος ἢ σχοῖνος ἢ μυρσίνη ἢ ῥόδα ἢ κύτινοι ὁμοί-
ως, ἢ φύλλα σεύτλου ἐν οἴνῳ ἐπ᾽ ὀλίγον ἡψημένα, μυροβάλανος
μεθ᾽ ὕδατος, ἑλιχρύσου φύλλα σὺν μέλιτι ἢ οἴνῳ, σμύρνα σὺν
οἴνῳ καταχριομένη· κήρυκες πληρωθέντες ἁλσὶ καὶ καέντες καὶ
3 ἐπιπλασθέντες· ἀποστρακοῦνται γὰρ ἄχρι ἀπουλώσεως· κάσσυμα
καὲν καὶ καταπασσόμενον, κόμμι μετὰ τοῦ λευκοῦ τῶν ᾠῶν κατα-
χριόμενον, ταυροκόλλα ὕδατι ἀνεθεῖσα θερμῷ· καὶ κρίνου
φύλλα ἐν οἴνῳ ἑφθὰ καὶ ἡ ῥίζα ἑφθὴ λεία σὺν ῥοδίνῳ, λειμω-
νίου φύλλα ὁμοίως· λιβανωτὸς ἐπιχριόμενος σὺν ὕδατι, στίβι
4 σὺν στέατι νεαρῷ καταχριόμενον· στυπτηρία πᾶσα σὺν ὕδατι ἢ
ᾠοῦ τῷ λευκῷ, πτελέας τὸ ἐν τοῖς θυλακίοις δάκρυον καὶ τὸ
ἀφέψημα τῶν φύλλων καλῶς ποιεῖ καταντλούμενον, λειχὴν ὁ
ἐν ταῖς πέτραις λεῖος ἐπιτιθέμενος, συκαμίνων ἀώρων ὁ χυλός·
ἢ ἀμόργη καὶ μέλι καὶ λιθάργυρος, ἴσα λειοτριβηθέντα καὶ
ἑψηθέντα, ἕως μέλιτος σχῇ πάχος. καταχριόμενα δὲ μόλυβδος
ἐν ἐλαίῳ ἡψημένος, ἄχρι μέλιτος σχῇ πάχος, σποδὸς συκίνη
μετὰ μέλιτος, πίσση ὑγρὰ μετὰ μοτῶν.

170 (178) ἀπουλοῖ δὲ τὰ πυρίκαυτα ἀγχούσης ῥίζα μετὰ κηρωτῆς ῥοδίνης ἢ μυρσινίνης ἑψηθεῖσα, ἀπόπατος σὺν ῥοδίνῃ κηρωτῇ προβατεία μιγεῖσα, περιστερᾶς κόπρος καεῖσα ἐν ὀθο-

24 SIM. Aet. XIV 64. Paul. IV 11.

2 fort. *ἐλαίας ἀγρίας* 4 *μολόχης* (ς del.) R 5 fort. *Κιμωλία γῆ* 6 *αἱ* addidi *μελαναὶ* Q *δὲ* addidi 7 post *μυρσίνη* transp. *ἢ μυρσίνης φύλλα καέντα μετὰ κηρωτῆς* Moib. 8 *ἡψημένα* R: *ἑψημένα* reliqui 9 *ἐριχρύσου* O, corr. Moib. 10 *ἐπιχριομένη* R 11 *ἐπιπλασθέντες* R, D. II 4 (122, 15): *καταπλασθέντες* reliqui *ἀπουλώσεως* scripsi Diosc. duce: *ἐπουλώσεως* O *κάοσημα* (*κάττυμα* H) Q 12 *καταπλασσόμενον* O, corr. Moib. post *καταπαοσόμενον* transp. *ᾠοῦ τὸ λευκόν* Sar. *καταχριομένη* F 14 *λιμωνίου* Q: *λειμωνείου* R 15 *στίβι* scripsi: *στίμι* RH: *στίμη* vel *στήμη* reliqui 16 *καταχριόμενος* Q 17 *τὸ λευκόν* Q 20 *τριβηθέντα* R: *τριβέντα* H: *τριβέντες* F (*α* superscr. M²), correxi 21 *σχῇ* om. Q *μολιάδος* Q (*ἴσως μόλιβδος* in mg. N²) 22 *ἑψημένος* Q *σχῇ* om. Q *σποδοσκήνη* F (*συ* superscr. M²) 23 *πίοση* R: *πίσσα* Q

24 num. cap. addidi, post *μοτῶν* spat. rel. O *αἰπόὐλι* F: *αἰπουλεῖ* M 25 *μυροίνης* O fort. *ἀπόπατος προβατεία* *ῥοδίνῳ* O, correxi

νίῳ καὶ σὺν ἐλαίῳ λεανθεῖσα· λιθαργύρου <· α' καὶ ἐλαίου παλαιοῦ ϰ̊ α'· ἕψεται πυρὶ λαμπρῷ, ἕως ἂν πυροειδὲς γένηται, καὶ καταχρίεται, ἐπάνωθεν δὲ κισσοῦ φύλλα ἐπιτίθεται· ἢ κιννάβαρι μετὰ ψιμυθίου καὶ κριθῶν κεκαυμένων ἴσα μετὰ
κηρωτῆς μυρσινίνης· λιθάργυρος μετὰ στέατος αἰγείου ἀνα- 2
πλασθεῖσα, ἕως ἐμπλαστρῶδες γένηται· κυκλαμίνου ῥίζα ἐγγλυφεῖσα ⟨ἐλαίου⟩ σὺν κηρῷ αὐτῇ ἐνεψηθέντος, μολόχης φύλλα ἑφθὰ σὺν ἐλαίῳ, μυρσίνης φύλλα κεκαυμένα σὺν κηρωτῇ, πίτυος φλοιὸς ἢ πεύκης σὺν κηρωτῇ μυρσινίνῃ, καὶ λεῖος δὲ καθ' ἑαυτὸν ἐμπλασσόμενος, καὶ τὰ φύλλα δὲ ἐν οἴνῳ ἑψηθέντα· σεῦτλον ἑφθὸν καταπλασσόμενον, ἄσβεστος λελυμένη σὺν ἐλαίῳ· τοῦτο οὐκ ἐᾷ φλυκταινοῦσθαι καὶ τὰ εἱλκωμένα ἀπουλοῖ.

171 (179) χίμετλα δὲ ἰᾶται καταντλούμενα· κυκλαμίνου ῥίζης ἀφέψημα, ἀσφοδέλου ῥιζῶν ὁμοίως, γογγύλη ἐν θαλάσσῃ ἢ ἐν ἅλμῃ ἀφηψημένη, βατράχειον σὺν ὕδατι· ἀρκτίου φύλλα καὶ καυλὸς καὶ ῥίζα ἐν οἴνῳ ἀφεψόμενα καὶ αὐτὰ ⟨δὲ⟩ καταπλασσόμενα, μάδος ⟨ὁ⟩ ἀπὸ βυρσοδεψῶν καταντλούμενος, σιλφίου
ἀπόζεμα, ὀρόβου ἀφέψημα, θάλασσα καθ' ἑαυτήν. (180) κατα- 2
χριόμενα δὲ ὠφελεῖ πρὸ τοῦ ἑλκωθῆναι τὰ χίμετλα· ἀκακίας, πρασίου χυλός, ῥόος βυρσοδεψικῆς χυλός, λύκιον, ἀμόργη ἑψητή, κηροῦ πλατύσματα θερμὰ παρὰ μέρος ἐπιτιθέμενα ὡς πυρία, στυπτηρία μετὰ ψιμυθίου καὶ κηρωτῆς· ἢ βάτου κεκαυμένης τέφρα μετὰ κηρωτῆς. καταπλάσσεται δὲ πρὸ ἑλκώσεως γογγύλη ἑφθὴ ἐν ἅλμῃ. (181) πρὸς δὲ τὰ εἱλκωμένα ποιεῖ κηρωτὴ ἐν γογγύλῃ ὠμῇ ἐγγλυφείσῃ ἐπὶ θερμοσποδιᾷ ἑψηθεῖσα ἢ ἐν κυκλαμίνου ῥίζῃ
ὁμοίως ἐγγλυφείσῃ· δρακοντίου φύλλα ἑφθά, καρκίνοι ποτάμιοι 3

13 SIM. Orib. V 391. IV 620. Aet. XIV 73. Paul. III 79.

1 <·' H: <· ϰ̄ reliqui, corr. Moib., nisi <· ἡμίσεια praestat 4 ψηθίου F: ἀψινθίου H 5 μυρσίνης O 6 ἐνγλυφθεῖσα H 7 ἐλαίου add. Sar. σὺν κηρῷ αὐτῇ ἐνεψηθέντος] ἐν κηρωτῇ ἐνεψηθέντα O, corr. Sar.

13 ρμζ F χείμετλα F: ⟨χ⟩ύμετλα R: χείμεθλα (τ superscr.) H κυκλαμίνου] συκαμίνου O, corr. Sar. coll. D. II 164 (230, 2), cf. Pl. 26, 106. 100 14 verba ἀσφοδέλου ῥιζῶν ὁμοίως, quae post βατράχειον σὺν ὕδατι habet O, transposui Sar. duce γογγύλης O 15 ἀφεψομένη F ἀρκτίνων R: ἀρητίνων F, corr. Moib. 16 ῥίζα ὁμοίως Q δὲ addidi, καὶ add. F 17 ad μάδος cf. D. IV 182 (329, 10) ὁ addidi βυρσοδιψῶν F 18 a καταχριόμενα nov. cap. inc. Moib., spat. rel. Q 19 ἀκακίας O, fort. ἀκακίας ἢ 21 ὡς πυρίαν RH: ὡς πυρίων reliqui, corr. Moib. 23 γογγύλου F 24 a πρὸς δὲ nov. cap. inc. Moib., spat. post ἅλμῃ rel. Q ἡλκωμένα Moib. post εἱλκωμένα add. τῶν χιμέτλων Moib.

κεκαυμένοι μετὰ μέλιτος, κοτυληδὼν λεία, λιβανωτὸς σὺν στέατι ἀρκείῳ, λιθάργυρος σὺν κηρωτῇ μυρσινίνῃ, ἢ μολύβδαινα ὁμοίως, ἢ ὄνυχες ὄνων ἐπιπασσόμενοι λεῖοι κεκαυμένοι, πνεύμων θαλάσσιος λεῖος καταπλασσόμενος, πράσιον λεῖον ὁμοίως κατα-
4 πλασσόμενον· σῦκα ξηρὰ μετὰ κηρωτῆς ἢ ὠμὰ μετ' ἐλαίου θερμοῦ λεῖα, φακὸς ὁ ἐπὶ τῶν τελμάτων, κρίνου ῥίζα ἑφθὴ λεία καταπλασσομένη μετὰ στέατος χοιρείου ἀνάλου, σίδια ἐν οἴνῳ ἑφθά, σίλφιον μετ' ἐλαίου λεῖον, στέαρ ⟨καὶ⟩ κηρὸς ⟨μετ' ἐλαίου⟩ μυρσινίνου, ἢ φακὸς ἑφθὸς μετ' ἐλαίου θερμοῦ λεῖος.

172 (182) πρεσβυτικὰ δὲ ἀπουλοῖ ἕλκη ἀναγαλλὶς μετὰ κηρωτῆς, ἄρου φύλλα ἑφθὰ ἐν οἴνῳ ἐπιτιθέμενα, κριθαὶ καεῖσαι καὶ ψιμύθιον μετὰ κηρωτῆς μυρσινίνης τριπλασίονος· ᾠῶν λέκιθοι καὶ λιθάργυρος ὁμοίως κηρωτῇ ἀναλημφθέντα, κηρωτὴ μετὰ μολύβδου κεκαυμένου, μυρσίνη, πίτυος φλοιὸς ὁμοίως.

173 (183) τὰ δὲ παλαιὰ ἀπουλοῖ πίτυος φλοιὸς σὺν κηρωτῇ μυρσινίνῃ, ἢ διφρυγὲς λεῖον καταπασσόμενον, Εὐπατορίου φύλλα λεῖα σὺν ὀξυγγίῳ, θηλυπτερίδος ῥίζα λεία, ἰξὸς σὺν λιβανωτῷ, ἰὸς μετὰ διφρυγοῦς ἴσου καὶ μετὰ κηρωτῆς μυρσινίνης, καδμεία μετὰ κηρωτῆς, Κενταύρειον ⟨τὸ λεπτὸν⟩ χλωρὸν λεῖον, κισσοῦ
2 ἄνθη μετὰ κηρωτῆς· κρίνου ῥίζα λεία σὺν ῥοδίνῳ, καὶ τῶν φύλλων καὶ αὐτὸς ὁ χυλὸς ἑψηθεὶς ἐν χαλκῷ ἀγγείῳ σὺν μέλιτι καὶ ὄξει ἔμμοτος καλλίστη ὑγρὰ γίνεται· λάδανον καὶ σμύρνα καὶ μέλι σὺν κηρωτῇ μυρσινίνῃ ἢ ἔλαιον παλαιὸν σὺν μοτῷ.

11 SIM. Arch. (Gal. XIII 731).
11 EXC. Orib. V 327, 11. Paul. IV 37.
16 SIM. Arch. (Gal. XIII 730).
16 EXC. Orib. V 331, 3. Paul. IV 45.

2 *ἀρκτείῳ* R 3 *ἐπιπλασσόμενοι* O, corr. Moib. coll. Gal. XII 341 *λεῖοι κεκαυμένοι* om. Q, at cf. D. II 42 (134, 7), Gal. l. s. *πνεύμων — καταπλασσόμενος* om. F (mg. add. M²) 4 fort. *πρόσφατος λεῖος* coll. D. II 37 (133, 13) *ἐπιπλασσόμενον* R 6 *λεῖον* Q (corr. M²) post *τελμάτων* transpos. *ἢ φακὸς — λεῖος* Moib. 8 *καὶ* addidi Spr. duce 9 *μετ' ἐλαίου μυρσινίνου* Sar: *μύρσινον* O

11 *ρμη* F 13 *μετὰ*] *σὺν* Or. *μυρσίνης* O *τριπλασίονι* O, correxi e Paul. 15 *μυρσίνη*] *μυρσινίνη* coni. Sar.

16 *ρμθ* F *ἐπουλοῖ* O, correxi e Paul. 17 *καταπλασσόμενον* O, corr. Sar. *εὐπατόρια* F 18 *ἀξουγγίῳ* O *πτέριδος* O, correxi e D. IV 185 (334, 7) *λιβάνῳ* Or. 20 *τὸ λεπτὸν* addidi e D. III 7 (13, 2) 22 *καὶ* fort. delendum *χαλκείῳ* R, fort. *ἐν χαλκείῳ* [*ἀγγείῳ*] 23 *ἔμβοτος* Q 24 *ἢ μυρσίνη* R: *ἀμυρσίνη* F (corr. M²)

174 (184) τὰ δὲ ἐν τοῖς ἀκρωτηρίοις δυσαλθῆ εἰς τάξιν ἄγεται καταπλασσόμενα· μύρτα σὺν οἴνῳ, σαραπιάδος ῥίζα καταπλασσομένη, πρόπολις ἐπιτιθεμένη, σηπεδὼν καταπασσομένη ξύλου· ἀρκτίου φύλλα καταπλασσόμενα, ἀσφοδέλου ῥίζα σὺν ἀλφίτῳ, ἀστραγάλου ῥίζα ὁμοίως, βαλλωτῆς φύλλα ὁμοίως, βράθυος φύλλα ὡσαύτως, κράμβης φύλλα μετὰ τηλίνου ἀλεύρου καὶ ὄξους, λιβανωτίδος φύλλα καὶ ἡ πόα· μελισσόφυλλον ἐπιπλασσόμενον καὶ πευκέδανον, χαμαίδρυς σὺν μέλιτι, περιστερεὼν ὁμοίως, σιδηρίτιδος τῆς Ἡρακλείας φύλλα σὺν μέλιτι.

175 (185) σαπροκνήμους δὲ ἰᾶται καππάρεως ῥίζα καταπλασσομένη, Κενταύρειον τὸ λεπτὸν λεῖον, ὀρόβινον σὺν μέλιτι, ὄρχεως ῥίζα σὺν μέλιτι, πευκεδάνου ῥίζα ὁμοίως, πίσσα ὑγρά, ποταμογείτων ὡσαύτως, σάκχαρον ἐν μοτῷ, σηπεδὼν ξύλου χνοώδης ξηρά· σταφυλίνου ῥίζα ξηρὰ λεία σὺν μέλιτι καὶ ἀλφίτῳ καεῖσα ἐν ὀθονίῳ μέχρις ἀνθρακώσεως· σῦκα ξηρὰ μετὰ 2 χαλκάνθου· ἰός, λεπίς, τερμινθίνη, κηρός, ἴσα· συκῆς τῶν ἁπαλῶν κλάδων τὰ ἀποξύσματα ἑφθὰ σὺν ὕδατι μετὰ ἀλεύρου πυρίνου, ἄχρις ἂν ἐμπλαστρῶδες γένηται, ἐπιτιθέμενα ὡς σπληνίον, καὶ ἐώμενον ἐπὶ ἡμέρας τρεῖς.

176 (186) καθαίρει δὲ ⟨τὰ ῥυπαρὰ⟩ ἕλκη πράσιον μετὰ μέλιτος, κνίδης φύλλα μετὰ ἁλῶν, ἀριστολοχεία σὺν μέλιτι, Γεντιανή, ἶρις σὺν μέλιτι, ⟨ἐλαῖαι⟩ κολυμβάδες καταπλασθεῖσαι, ἐλελίσφακος λεῖος, ἐχίνου θαλασσίου κεκαυμένα ὄστρακα, ναρκίσσου ῥίζα σὺν ὀρόβῳ καὶ μέλιτι· ἢ νίτρον ἀφρὸν μέλιτι μείξας καῦσον ἐν χύτρᾳ καινῇ καὶ μείξας ἶριν στοχασμῷ χρῶ· ἢ χάρτου κεκαυμένου ∠·η′, ἀρσενικοῦ ∠·δ′ σὺν ῥοδίνῳ ἢ μέλιτι ἢ κηρῷ.

---

1 EXC. Aet. XIV 46.
20 EXC. Orib. V 330, 3. IV 612, 7. Paul. IV 41.

---

1 ρ̅ν̅ F 2 *καταπλασσομένη* F (corr. M²) post *καταπλασσόμενα* transp. *πρόπολις ἐπιτιθεμένη* QMoib. *μύρτοις* O (corr. M²) 3 *καταπλασσομένη* (alt.) O, corr. Moib. 4 *ξύλου* om. F, superscr. M² 5 *βαλωτὸς* (-ης corr. M²) 6 *βραδύως* F (*θ* superscr. M²) *ὡσαύτως* R: *ὁμοίως* reliqui

10 ρ̅ν̅α̅ F 11 fort. *ὀρόβινον ἄλευρον* 13 *ξύλων* Q 15 *καέντες* O (comp. scr. H), corr. Moib. *μέχρι* F 16 *χαλκοῦ ἄνθους* Pl. 23, 123 *λέπης* F 18 *ἄχρι* F *ἐπιθεμένη* Q 19 *ἐώμενον* R: *ἐσόμενος* F: *ἔα μένειν* Moib.

20 ρ̅ν̅β̅ F *τὰ ῥυπαρὰ* addidi ex Or. coll. D. II 1 (121, 13) 22 *ἐλαῖαι* addidi ex Or. 23 *λελίσφακος* F *σχίνου* RF (*ἐχ* superscr. M²) *κεκαυμένου* R, cf. D. II 1 (121, 13) 26 *κηρῷ*] *ξηρῷ* O, *κηρῷ ἴσως* in mg. N²

177 (187) *ἐσχάρας ⟨δὲ⟩ περιρρήσσει τὰς ἀπὸ καύσεως ἐπιτιθέμενα· ἶρις, ὀνωνίδος φύλλα, ὄροβοι ἑφθοί, θέρμοι, ἀρνογλώσσου φύλλα, ἱερὰ βοτάνη, θαλλία, μήκωνος κερατίτιδος φύλλα καὶ ἄνθη, πράσου κεφαλωτοῦ φύλλα μετὰ ἁλῶν καὶ ὄξους, σῶρι κεκαυμένον, τιθυμάλλου ὀπός, ἄρου ῥίζα λεία.*

178 (188) *πληροῖ δὲ τὰ ἕλκη βούτυρον, κηρός, ῥητίνη, ῥόδινον, βουνίου ῥίζα καὶ τὰ φύλλα, ἀριστολοχεία καθ' ἑαυτὴν καὶ σὺν ἴριδι καὶ ⟨μέλιτι⟩, πάνακος ῥίζα σὺν μέλιτι.*

179 (189) *στέλλει δὲ ἕλκη ἄσβεστος, μάννα, λεπίς, ἴσα· ἐχῖνος κεκαυμένος, σμαρίδος ταριχηρᾶς κεφαλὴ καεῖσα, κεδρία, κηκίς, κήρυκες κεκαυμένοι, λίθος σάπφειρος, μόλυβδος κεκαυμένος, σπόδιον, στυπτηρία πᾶσα καεῖσα, σῶρι καὶ τὰ πλαδῶντα ἀποτήκει· σκόρδιον λεῖον, χαλκῖτις, χάλκανθος, μίσυ, διφρυγές, ὀθόνιον κεκαυμένον.*

180 (190) *πτερύγια δὲ θεραπεύει ἀκακίας χύλισμα καταχριόμενον, ἀλόη ξηρὰ ἐπιπασσομένη, ἰὸς διπλασίων μετὰ λιθαργύρου ἁπλῆς, πενταφύλλου ῥίζα καταπλασσομένη, τιθυμάλλου ὀπὸς ἐπιχριόμενος, γλυκύρριζα ξηρὰ ἐπιπασσομένη, ἰὸς σιδήρου σὺν ὄξει, ῥίνημα ἐλέφαντος ὀστέου ὁμοίως, πράσιον σὺν μέλιτι, στυπτηρία σὺν ὕδατι, σῦκα ξηρὰ μετὰ σιδίων ῥοᾶς ἑφθῶν καὶ μέλιτος, χαλκίτεως καὶ λεπίδος μιγέντων καὶ ὡς ἔμπλαστρος*

---

1 EXC. Orib. IV 612, 9.
1 SIM. Paul. IV 19.
9 SIM. Or. V 331. Paul. IV 43. Aet. XIV 36.
15 SIM. Aet. XIV 74.

---

1 *ρνγ* F, antec. cap. adiung. R *ἐσχάρας* om. R *δὲ* addidi 2 *ἐπιτιθεμένας* R *ἔρις* F (corr. M²) 3 post *φύλλα* transpos. *καὶ ἄνηθον· πράσσου (πράσου* H) *κεφαλαὶ (καὶ* add. H) *τὰ φύλλα μετὰ ἁλῶν καὶ ὄξους (ὄξος* H) Q (cf. v. 4) *θαλλεία* (vel *θαλλετα*) Q 4 *ἄνθη*] *ἄνηθον* Q 5 post *λεία* add. *ὁμοίως* FH

6 *ρνδ* F, nullo spat. interiecto perg. R *καὶ ῥητίνη* Q 8 *σὺν ἴριδι* R: *ἀνειρίδι* F (corr. M²) *μέλιτι* addidi e D. III 4 (8, 8) *πάκος* F (corr. M²) *ῥίζη* R

9 *ρνε* F 11 *κήρες* F 12 *σῶρι δ* Moib. *καταπλάδωντα ἀποτίνει* F (corr. M²) 13 *χαλκοῦ ἄνθος* Or. *μίον* R

16 *ρνϙ* F 16 *ἐπιπλασσομένη* O, corr. Moib. *ἰὸς — καταπλασσομένη* om. F, mg. add. M² 17 *καταπασσομένη* coni. Moib., at cf. D. IV 42 (201, 6) 18 *κυκυρρίζης ξηρᾶς* Q *ἐπιπασσομένη* Moib.: *ἐπιπλασσομένη* (-*ης* Q) O 19 *ῥίνησμα* F *πλάσιον* F 20 *σισίων* F *ἑφθὸν* F 21 *χαλκίτεως* R: *χαλκίτιδος* reliqui *ἔμπλαστρον* H

ἐπιτιθεμένων· ἢ στυπτηρίαν σχιστήν, σανδαράκην, ἄσβεστον, διφρυγές, ἴσα μείξας κατάπλασσε.

181 (191) *παρωνυχίας δὲ θεραπεύει λιβανωτὸς σὺν μέλιτι, μυρσίνη κεκαυμένη σὺν κηρωτῇ· ἢ τοῖς φύλλοις ⟨λείοις⟩ ὁμοίως κατάπλασσε, ἢ σταφίδι μετὰ μάννης.*

182 (192) *ἀναστομοῖ δὲ τὰ μύσαντα τῶν τετυλωμένων καὶ χρονίων ἑλκῶν σκίλλης τὸ ἐντὸς ἐν μέλιτι. ἀναξηραίνει δὲ καὶ πτερύγια λεπὶς Κυπρία λεία ἐπιπασσομένη θαυμαστῶς.*

183 (193) *ῥαγάδας ⟨δὲ⟩ τὰς ἐν αἰδοίῳ ὠφελεῖ ῥητίνη φρυκτὴ σὺν ῥοδίνῳ λειωθεῖσα, ἄχρι γλοιωθῇ, μειγνυμένης καὶ ᾠοῦ λεκίθου ὀπτῆς· κισσοῦ φύλλων ξηρῶν κεκαυμένων ἡ τέφρα τριβεῖσα σὺν ἐλαίῳ ἐν μολυβῇ θυείᾳ· ποιεῖ καὶ ἐπὶ τῶν περὶ τὸν δακτύλιον συρίγγων σὺν παπυρίῳ ἐντιθεμένη.*

184 (194) *τὰ δὲ ἕλκη τὰ ἐν αἰδοίῳ θεραπεύει βαλαύστιον καταπλασσόμενον, ἀλόη, πίτυος φλοιὸς σὺν λιβανωτῷ, ἀσπαλάθου ξύλα, ἀκακίας χύλισμα, ῥοᾶς ἀγρίας χυλός.*

185 (195) *τὰ δὲ ἀλγήματα παύει οἶνος ἀθάλασσος θερμὸς καταντλούμενος καὶ χολὴ αἰγεία καταχριομένη.*

186 (196) *νομὰς δὲ τὰς ἐν αἰδοίῳ ὠφελεῖ ἐγκλυζόμενον μίσυ σὺν ὄξει καὶ τὰ ἱστορηθησόμενα ἐπὶ νομῶν.*

187 (197) *σκώληκας δὲ ἐκβάλλει τοὺς ἐπὶ τοῖς ἕλκεσιν γεννω-*

---

3 SIM. Aet. XIV 75.
9 EXC. Gal. XIII 317, unde Orib. V 523. cf. Aet. XIV 13. Paul. Aeg. III 59.
14 SIM. Gal. XIII 316. Orib. V 522 (unde Paul. III 59).
14 EXC. Aet. XIV 15.
21 EXC. Aet. XIV 48.

---

2 post *κατάπλασσε* transpos. verba *ἀναξηραίνει — θαυμαστῶς* (e c. 182) Moib.

3 *ρνζ* F *δὲ* om. Q 4 *μυρσίνη* H: *μυρρίνη* R: *μυρίνη* Q *λείοις* addidi e D. I 112 (106, 7)

6 *ρνη* F 7 *ἐν*] *σὺν* Moib. *καὶ*] *τὰ* Moib. 8 *ἐπιπλασσομένη* O, correxi

9 *ρνθ* F *δὲ* addidi 10 *ἄχρις ἂν* Gal. *καὶ ᾠοῦ ἑνὸς καὶ ᾠοῦ λεκίθου* F (*καὶ ᾠοῦ ἑνὸς* del. M[2]) 12 *σὺν* Paul. l. s.: *ἐν* O *ἐλαίῳ*] *ῥοδίνῳ* Paul. *μολιβδίνῃ* H: *μολίβῃ* reliqui *τὸν* om. H 13 *παπυρίῳ* R: *πυρίῳ* Q, fort. *παπύρῳ*

14 *ρξ* F 16 *ῥοᾶς* H: *ἀρόας* reliqui

17 *ρξα* F 18 *ἐπιχριομένη* R

19 *ρξβ* F

21 *ρξγ* F *ἐκβαλλεῖ* F *γενομένους* F

μένους ἀρνόγλωσσον λεῖον καταπλασθέν, ἐρινεοῦ κεκαυμένου τέφρα καταπασσομένη.

188 (198) *ἄνθρακας δὲ θεραπεύει καταπλασσόμενα· ἀγριελαίας φύλλα μετὰ μέλιτος καὶ ὁ καρπὸς πεφρυγμένος λεῖος σὺν μέλιτι, ἀείζωον καθ' ἑαυτό, ἀρνόγλωσσον ὁμοίως, αἴρινον ἄλευρον σὺν ῥαφάνῳ καὶ ἁλσί, βρυωνίας ῥίζα λεία μετὰ οἴνου, ἄρου ῥίζα ὁμοίως· ὑὸς ἄφοδος ξηρὰ καταπλασθεῖσα, περιστερᾶς ἄφοδος μετὰ λινοσπέρμου καὶ μέλιτος, ἀσπάλαθος λεῖος καταπλασσόμενος, σταφὶς ⟨λεία⟩ σὺν πηγάνῳ ἢ ὀπῷ, βράθυος φύλλα λεῖα σὺν μέλιτι, θέρμοι ἑφθοὶ λεῖοι, κάρδαμον χλωρὸν καὶ τὸ σπέρμα.*

189 (199) *πυοποιεῖ δὲ καὶ περιρρήσσει ⟨τοὺς ἄνθρακας⟩ καρύου βασιλικοῦ παλαιοῦ καὶ προσφάτου τὸ ἐντός, στροβίλου τὸ ἐντὸς ὁμοίως, κορίου φύλλα μετὰ σταφίδος, μήκωνος κερατίτιδος φύλλα καὶ τὰ ἄνθη· ὀπὸς σιλφίου μετὰ πηγάνου καὶ νίτρου καὶ μέλιτος ἢ καθ' ἑαυτόν· ⟨δεῖ δὲ⟩ ἄνωθεν ἀειζώῳ καταλαμβάνειν, ὥστε προσμένειν· ὄροβος λεῖος σὺν οἴνῳ, πίσσα ὑγρὰ σὺν σταφίδι καὶ στέατι, κράμβης φύλλα λεῖα σὺν ὕδατι.*

190 (200) *τὰς δὲ ἐπιγινομένας νομὰς καὶ σηπεδόνας θεραπεύει ἀρσενικὸν καὶ ἄσβεστος μετὰ σανδαράκης καὶ χάρτου κεκαυμένου, νίτρον σὺν ἀσβέστῳ καὶ τρυγὶ ἢ ὄξει ἢ ὕδατι, στυπτηρία πᾶσα κεκαυμένη σὺν διπλασίοσιν ἁλσίν, σῶρι κεκαυμένον, λεπὶς καὶ κίσηρις κεκαυμένη ἴσα, ἅλες ὡς ὅτι πλεῖστοι ἀνα-*
2 *λημφθέντες πίσσῃ ὑγρᾷ· ἀριστολοχείας ῥίζα σὺν ῥητίνῃ, ἀρνόγλωσσον καταπλασθέν, αἴρινον ἄλευρον σὺν ῥαφάνῳ καὶ ἁλσίν,*

3 SIM. Aet. XIV 58.
12 EXC. Orib. IV 618, 37; Paul. Aeg. IV 25.
20 SIM. Arch. (Gal. XIII 731); Paul. Aeg. IV 44.

---

1 *ἐπιπλασθέν* R, *καταπασθέν* mavult Moib. 2 *κατάπλασσον* O, correxi post *καταπασσομένη* addidit *πρὸς ἄνθρακας* (atr. rubro)· *τριβόλου φύλλα χλωρὰ καὶ τέτηγα μίαν* (sic) *καὶ στέαρ χοίρου ὠμὸν λειώσας προκαταμαλάξας τὸ ἕλκος ἐπιτίθει* F (del. M[2])

3 *ρξδ* F *ἐπιπλασσόμενα* R 7 *πλασθεῖσα* Q 9 *λεία* addidi e D. V 3 (3, 18) verba *ἢ ὀπῷ* aut delenda (cf. D. l. s.) aut *ἢ ὀπῷ σιλφίου* leg.

12 *ρξε* F *δὲ* om. R *περίσση* F *τοὺς ἄνθρακας* add. Moib. 16 *νίτρου*] *μίλτου* O, corr. Moib. e D. III 80 (95, 20) *ἢ* Moib.: *καὶ* R, om. Q, cf. D. l. s. *ἑαυτὸ* RF, corr. Moib. *δεῖ δὲ* add. Moib. 18 *στέατι ὑείῳ* P. Aeg. l. s.: *μέλιτι* D. I 72 (71, 5)

20 *ρξϛ* F 22 *νίτρου* F *τρύγης* F (corr. M[2]) 23 *διπλασίονι* F 24 *κησσηρίας* Q: *κισσῆρις* R: *κισήρειως* H *κεκαυμένης* H

ἀμύγδαλα πικρὰ σὺν μέλιτι, σταφὶς μετὰ πηγάνου, γαλήοψις μετὰ ἁλῶν, θαλλία σὺν μέλιτι, σμαρίδος ταριχηρᾶς κεφαλὴ κεκαυμένη, ἰὸς σὺν μίσυι κεκαυμένῳ, κηκὶς καεῖσα καὶ ὄξει σβεσθεῖσα, κήρυκες κεκαυμένοι, κύπρου ἄνθη καέντα καθ᾽ ἑαυτὰ καὶ σὺν μέλιτι καταπλασθέντα· ἡ κυπάρισσος καθ᾽ ἑαυτὴν καὶ σὺν ἀλφίτῳ, 3
μόλυβδος κεκαυμένος λεῖος, λεπὶς σιδήρου σὺν ἐλαίῳ, μάρου φύλλα καταπλασσόμενα, σεῦτλον ἑφθὸν καταπλασσόμενον, περιστέριον σὺν μέλιτι, τιθυμάλλου ὀπός, χαλκὸς κεκαυμένος, [φακὸς κεκαυμένος], φακὸς ἑφθὸς σὺν σιδίοις, [καὶ] θαλλία ⟨σὺν⟩ ἅλμη καὶ μεθ᾽ ἁλὸς λεία, ἢ σίδια καὶ ἅλες. κατάντλει δὲ ἀφεψήματι κυτίνου, σχίνου, κυπαρίσσου, μυρσίνης, γάρῳ τῷ ἐκ σιλούρων ἢ ἰχθύων.

191 (201) γαγγραίνας δὲ περιχαράσσει αἴρινον ἄλευρον σὺν ῥαφάνῳ καὶ ἁλσὶν καταπλασσόμενον, βράθυος φύλλα, σταφὶς σὺν ῥαφάνου φλοιῷ ἢ ῥαφάνου φλοιὸς σὺν μέλιτι, καρύων βασιλικῶν παλαιῶν τὸ ἐντός, κύτινοι ἑφθοὶ μετὰ σιδίων, λίθος ὀστρακίτης σὺν μέλιτι, μυρσίνης φύλλα ἑφθὰ ἐν οἴνῳ λεῖα μετὰ μέλιτος, ὄροβος σὺν μέλιτι· ῥαφάνου σπέρμα μετ᾽ ὄξους κατα- 2
πλασθὲν τὰς ἐσχάρας ἄχρις ὀστέου ῥήσσει· πράσιον ⟨σὺν⟩ μέλιτι ⟨αὐτὰς⟩ καὶ ἀνακαθαίρει· τιθυμάλλου ὀπὸν κατασχίσας ἐντίθει εἰς τὰς διαιρέσεις, ἢ ὀπὸν σιλφίου ὁμοίως. κατάντλει δὲ θέρμων ἀποζέματι συνεχῶς ἢ οὔρῳ ἀνθρωπίνῳ ἢ ὄξει.

192 (202) τὰ δὲ τεθηριωμένα ἕλκη ἰδίως στέλλει χαμαιλέων λεῖος, ὤχρα Ἀττικὴ κεκαυμένη, ἀρσενικὸν καὶ ἄσβεστος ἴσα πλυθέντα σὺν ὕδατι ἐπὶ ἡμέρας λ´ ἀποχεομένου τοῦ ἐπιπάγου καθ᾽ ἡμέραν.

---

13 SIM. Arch. (Orib. III 648 cf. 646, 2).
13 EXC. Orib. (Paul. Aeg. IV 19); Aet. XIV 56.

---

1 *γαλεῖα* O (mend. not. H): *γαλήοψις* scripsi e D. IV 94 (252, 14sq.), nisi praestat *γαληόψεως φύλλα λεῖα* 3 *μίσυ* F 4 *καὶ — ἑαυτὴν* om. F, add. M² 6 *μάρου* corr. in *ἄρου* F: *ἄρου* RH, at cf. D. III 42 (55, 4) 9 *καὶ* delevi *φακὸς κεκαυμένος* om. R, delevi *σὺν* add. Moib 11 *σχοίνου* Q *κυπαρίσσῳ μυρσίνῃ· γάρος* F *μυρρίνη* R fort. *καὶ γάρῳ* *ἢ* om. Q (add. M²)
13 *ρξζ* F 14 *ἐπιπλασσόμενον* R 15 *κάρυον βασιλικὸν παλαιὸν* Q 16 *σικύτινοι* F 17 verba *μυρσίνης — μέλιτι* post *ῥήσσει* (v. 19) transpos. FM, post *μέλιτι* (v. 17) mg. add. M² neque del. quae sequuntur *μυρίκης* O, corr. Moib. e Paul. l. s. *ἑφθὰ φύλλα* F 18 *ἐπιπλασθὲν* R 19 *ἄχρι* Q: *μέχρις* H post *ῥήσσει* verba iter. *μυρσίνης — ὄροβος σὺν μέλιτι*MH *σὺν* add. Moib. post *μέλιτι* add. *δ* Moib. 20 *αὐτὰς* addidi *καὶ* om. H *ὀπὸς δν* O, correxi *κατασχήσας* F: *κατασχάσας* Moib., fort. recte 21 *ὀπὸς* Q 22 *ἀνθρωπίῳ* F
23 *ρξη* F 24 *κεκαυμένον* R 25 *πληθέντα* Q *ὕδατι ὁμοίως* F *ἐπιπάνυ* M

193 (203) *πονηρευόμενα ⟨δὲ⟩ ἕλκη καὶ σκληρίας κακοήθεις
θεραπεύει βαλάνων δρυίνων σὰρξ λεία σὺν ὀξυγγίῳ ἐπιτεθεῖσα,
δρακοντίου ῥίζης χυλὸς — καὶ πρὸς τὰ εἱλκωμένα καὶ ἡ ῥίζα
ἐπιπλασθεῖσα —, ἄρου ῥίζης ὁμοίως, γαλίου φύλλα καὶ χυλὸς
σὺν ὄξει, βρυωνίας λευκῆς καὶ δρακοντίου ῥίζα σὺν μέλιτι, ἐρέ-
βινθοι ἢ ὄροβοι ἑφθοὶ σὺν μέλιτι· ἰξὸς σὺν λιβανωτῷ, καρκί-
νων ποταμίων ἡ τέφρα σὺν μέλιτι, κισσὸς λεῖος καταπλασσό-*
2 *μενος· Ἄσσιος λίθος ἢ τὸ ἄνθος αὐτοῦ καταπασσόμενον ἐπου-
λοῖ, σὺν μέλιτι δὲ ἀνακαθαίρει, καὶ ὄνυξ δὲ ὁ ἐκ τῆς πορφύρας
κατουλοῖ τὰ κακοήθη ἕλκη καταπλασσόμενος· πυροῦ ἀγρίου
τοῦ χελιδονίου λεγομένου ῥίζα ξηρὰ καταπασσομένη, φιλεται-
ρίου ῥίζα καταπλασσομένη, περιστέριον σὺν μέλιτι, θέρμων
ἀπόζεμα συνεχῶς καταντλούμενον.*

194 (204) *πρὸς δὲ φαγεδαίνας ποιεῖ μὲν ὅσα καὶ πρὸς
κακοήθη καὶ πονηρευόμενα ἕλκη ἀναγέγραπται, ἁρμόζει δὲ καὶ
ταῦτα· ἀσφοδέλου ῥίζα μετ᾽ ἐλαίου ἑψηθεῖσα καὶ καταπλα-
σθεῖσα, κνίδης φύλλα μετὰ ἁλῶν, ἅλες σὺν μέλιτι καὶ ἀλφίτῳ*
2 *καέντες ἐν ὀθονίῳ, μέχρις ἀνθρακωθῶσιν· βρυωνίας λευκῆς καὶ
μελαίνης φύλλα καὶ οἱ καυλοὶ μετὰ ἁλῶν καταπλασσόμενα,
συκῆς φύλλα λεῖα ἐν οἴνῳ, ἰσάτεως φύλλα ἀγρίας καὶ ἡμέρου,
κάρδαμον σὺν μέλιτι. ἀνακαθαίρει δὲ Ἄσσιος λίθος σὺν κη-
ρωτῇ, ῥοὸς βυρσοδεψικῆς φύλλα σὺν μέλιτι, σταφυλίνου ἀγρίου
ῥίζα ξηρὰ καταπλασθεῖσα, στυπτηρία πᾶσα κεκαυμένη μετὰ
κηκῖδος καὶ τρυγὸς ὄξους· ποιεῖ δὲ καὶ ὄξος συνεχῶς καταντλού-
μενον.*

195 (205) *ἐλεφαντιάσεις δὲ ὠφελεῖ ἀρνόγλωσσον ⟨κατα-
πλασσόμενον⟩ σὺν μέλιτι ἐπὶ τῶν ἐξοιδούντων μερῶν, ἱερὰ βο-*

---

1 SIM. Arch. (Gal. XIII 733).
26 SIM. Philum. (Orib. IV 67. 75. 82); Cels. III 25 (117, 1 e Themisone); Aet. XIII c. 124. 123.

---

1 *ρξθ* F *δὲ* addidi 3 *καὶ πρὸς τὰ εἱλκωμένα* del. M²Moib., ad rem cf. D. II 166 (232, 5) 4 *ῥίζα* R *γαλείου* R 5 *ἐρεβίνθου* F 6 *ἑφθοὶ* om. Q 8 *καταπλασσόμενον* O, corr. Moib. fort. *ἀπουλοῖ* 9 *ἀποκαθαίρει* Q 11 *τῆς χελ. λεγομένης* O, correxi, cf. I 228 *ἐπιπλασσομένη* R: *καταπλασσομένη* F, corr. Moib. 12 *ἐπιπλασσομένη* R

14 *ρο* F 15 *καὶ* (alt.) om. H 16 *ἐπιπλασθεῖσα* R 18 *μέχρη* F 21 ab *ἀνακαθαίρει* nov. cap. inc. H, spat. interm. F

26 *ροα* F *καταπλασσόμενον* addidi e D. II 126 (199, 6) 27 *σὺν*] *καὶ* O, correxi coll. D. l. s. *μέλι* R *ἢ ἱερὰ* (dittogr.) R

τάνη ὁμοίως, χολὴ ἀγρίας αἰγὸς ἢ τράγου καταχρισθεῖσα· ὠφελεῖ καὶ γάλα σχιστὸν καταπινόμενον ἱκανῶς τοὺς ἐλεφαντιῶντας, ὠφελεῖ καὶ καλαμίνθη ἐσθιομένη ἢ ὁ χυλὸς αὐτῆς πινόμενος ὀρροῦ γάλακτος ἐπιπινομένου, καὶ κεδρία ἐκλειχομένη· ποιεῖ δὲ θαυμαστῶς ἵππειον στέαρ ἐπιχριόμενον τοῖς οἰδηκόσι μέρεσιν.

196 (206) ῥαγάδας δὲ τὰς ἐν ποσὶ θεραπεύει ἐντιθέμενα· σκίλλης τὸ ἐντὸς σὺν ἐλαίῳ ζεσθὲν καὶ ῥητίνῃ τερμινθίνῃ συλλεανθέν, καρκίνοι ποτάμιοι καέντες λεῖοι σὺν μέλιτι, πολυποδίου ῥίζα καταπλασσομένη, κέρας αἴγειον κεκαυμένον ἀναλημφθὲν στέατι αἰγείῳ· ἢ μέλιτος λίτρα, κηρὸς καὶ ἔλαιον συντακέντα ἴσα, λιθαργύρου Γο δ′ ἑψηθέντα, ἕως ἐμπλαστρῶδες γένηται· δεῖ δὲ προπερικαθαίρειν τοὺς τύλους καὶ ⟨οὕτω⟩ χρῆσθαι τοῖς φαρμάκοις.

197 (207) σύριγγας δὲ ἐκτήκει καὶ αἴρει ἰοῦ ⟨·β′, Ἀμμωνιακοῦ θυμιάματος ⟨·β′ κολλουριοποιηθέντα καὶ ἐντεθέντα ταῖς σύριγξιν μετὰ ὄξους ἢ ὕδατος· ἀμόργη ἡψημένη καὶ ἐγκλυζομένη· ἴριδος ῥίζης ἀπόζεμα ἐγκλυζόμενον καὶ πρὸς κόλπους ποιεῖ· ἄρου, ἀρισάρου καρπὸς ἐντιθέμενος, καὶ ἡ ῥίζα δὲ αὐτῶν καὶ τὰ φύλλα λεῖα ὡς κολλούρια ἀναπλασσόμενα. ποιεῖ 2

---

7 EXC. Orib. V 392, 3. Aet. XIV 83.
15 SIM. Pl. 26, 126.
15 EXC. Orib. V 376, 1.

---

2 post ὠφελεῖ dist. Moib. Q καταπινόμενον ἢ πινόμενον (var. lect.) RF post καταπ. add. συνεχῶς ἐν ἧ F (πινόμενον — ἧ del. M²) 3 post ὠφελεῖ dist. QMoib. 5 οἰδηκόσι R: ἰδηκόσι F 6 post μέρεσιν aliena add. F ρο̅β̅· ἐν ἀρχῇ ὅτε [δὲ] δειχθῇ ὁ ἐλέφας (κελεφὸς F) ποίησον οὕτως· λοῦσον αὐτὸν εἰς λουτρὸν ἡμέρας γ′ καὶ καθὼς ἐξέρχεται ἐκ τοῦ λουτροῦ, τρῖβε τοὺς ὀσφῦς (ὀσφίας F) αὐτοῦ καὶ τὰς παρειὰς ἅλας πικρὸν (ἁλσὶ καὶ νίτρῳ coni. Sar.) εὐτόνως· καὶ μετὰ τὰς γ′ ἡμέρας ἔχε ἕτοιμον ἔλαιον ἀπὸ πεπονίων σπέρματος κἀκεῖνο τρῖβε ὁμοίως καὶ ἐγχυμάτιζε

7 ρο̅β̅ A, om. F fort. τοῖς ποσὶ 8 σκίλλος F σὺν ἐλανθὲν F (corr. M² in mg.) 10 καυθὲν Or, fort. καὲν καὶ καὶ ἀναληφθὲν R 11 λίτραν Q σύν κηρῷ H, fort. καὶ κηρὸς 12 ἴσα om. F (mg. add. M²) λιθάργυρον Q ἑψηθέντα om. R ἔμπλαστρος libri, correxi, cf. I 170. 175 13 προκαθαίρειν O, correxi ex Or. οὕτω addidi ex Or.

15 ρο̅γ̅ F αἴρει scripsi: καθαίρει O, cf. D. V 99 (70, 5) ad rem cf. Or. III 636, 10; Cels. V 28, 12 (215, 10) ἰοῦ <· ιβ′ O, correxi ex Or.Celso 17 ἑψημένη Q 19 ἄρου, ἀρισάρου καρπὸς scripsi: ἄρου ῥίζα ἅλικος O, cf. D. II 166 (232, 6); 168 (234, 11). Pl. 24, 151 αὐτοῦ Moib. 20 λεῖα om. Q κολλύρια O

δὲ καὶ πρασίου ῥαβδίον ἁπαλὸν ἐντιθέμενον, κοτυληδὼν μετὰ μυελοῦ ἐλαφείου ἐντεθεῖσα, Γεντιανῆς χύλισμα, διψάκου ῥίζα χυλισθεῖσα καὶ ἐντεθεῖσα, τιθυμάλλου ὀπός, χαλκῖτις κεκαυμένη ἀναλημφθεῖσα Ἀμμωνιακῷ ὡς κολλούριον, ἐλλέβορος μέλας ἐντεθεὶς καὶ μετὰ τρεῖς ἡμέρας ἐξαιρεθείς, κυπαρίσσου σφαιρία λεῖα μετὰ σύκου λείου ἐγκλυζόμενα σὺν ὄξει, ὤχρα
3 ὁμοίως· σῶρι ὠμὸν ἢ κεκαυμένον μετὰ ὀλίγου κραματίου καὶ μέλιτος ἐγκλυζόμενον καὶ σαρκοῖ, ὀμφάκιον ἐγκλυζόμενον, πενταφύλλου φύλλα σὺν ἁλὶ καὶ μέλιτι, κονία συκίνη ἐγκλυζομένη, τηλεφίου φύλλα ἐμπλασσόμενα λεῖα, σφονδυλίου ῥίζα ξυσθεῖσα καὶ ἐντεθεῖσα· δεῖ δὲ προαναστομοῦν τὰς σύριγγας σπογγίῳ ἢ παπύρῳ ἐσκελετευμένοις, καὶ οὕτως ἔνεστι χρῆσθαι τοῖς προειρημένοις.

198 (208) αἱμορραγίας δὲ ἵστησιν τὰς ἐκ τῶν τραυμάτων· Αἰθιοπίδος ῥίζα λεία καταπλασθεῖσα σὺν ὄξει, Λυσιμάχειος πόα ὁμοίως, ἀλόη λεία καταπλασθεῖσα, φλοιὸς ἀμπέλου λεῖος καὶ τὰ φύλλα ξηρὰ λεῖα, ἀμύγδαλα, ἀνδρόσαιμον ἐπιπλασθέν, ἀπαρίνης φύλλα ὁμοίως, ἀπόπατος αἰγὸς ἢ ἵππου ἢ ὄνου ἄκαυστος ὡς ἄλφιτα ἐπιπλασσομένη μοτῶν ὄξει βραχέντων καὶ ἐπιτεθέντων· ποιοῦσι δὲ καὶ κεκαυμέναι καθ᾽ ἑαυτὰς καὶ ὄξει ἀναλημφθεῖσαι· ἀρνόγλωσσον λεῖον, ἀράχνης ὕφος.

199 (209) τὰς ⟨δὲ⟩ ῥήξεις τὰς ἐπιπολαίους στέλλει ἀστραγάλου ῥίζα καταπλασθεῖσα, ἄσφαλτος ξηρά, Ἀχιλλείου τῆς σιδηρίτιδος φύλλα καταπλασσόμενα, βατράχων καέντων ἡ τέφρα

14 SIM. Pl. n. h. 26, 131sq.
14 EXC. Orib. IV 604, 24. Paul. IV 53.
22 EXC. Orib. IV 604, 26. Paul. IV 53 (71r 2).

---

1 *κοτύλων δ'* (in mg. corr. M²) M (chart. l. F)   2 *ἐντιθεῖσα* F   3 *χυλισθεῖσα*] *ἐν οἴνῳ ἀφεψηθεῖσα καὶ κοπεῖσα* D. III 11 (19, 6)   4 *κολλύριον* F   5 *ἐντιθεὶς* (ut saepius) F   6 *ἐγκλυζόμενον* Q   7 post *ὁμοίως* habet O *μετὰ ὀλίγου κραματίου καὶ μέλιτος ἐγκλυζόμενον* (-να R): transposui Oribasio duce   9 fort. *ἁλσὶ*   10 *ἐμπλασσομένη* M (chart. l. F): *ἐμπασσόμενα* coni. Moib.   12 *ἐσκελετευμένοι* F: *ἐσκελετευμένῳ* Sar., at cf. Antyll. (Orib. II 433, 11)   *οὕτω* Q (chart. laes. F)   *ἔνεστι*] *ἐν* R, om. reliqui, cf. D. I 70 (66, 22)   *κεχρῆ(εῖ M)σθαι* Q (ch. laes. F)

14 *ροδ̄* F   15 *καταπασθεῖσα* coni. Moib.   19 *ἄκαυστα* O, corr. Sar.   *ἐπιπασσόμενα* H: *ἐπιπλασσόμενα* reliqui, correxi, cf. D. II 80 (163, 1)   20 *ἐπιπλασθέντων* Q   *καὶ* (pr.) om. Q, at cf. D. II 80 (163, 1)   *κεκαυμένα* O: *κεκαυμένοι* Sar., correxi   *ἑαυτὰ* O, *ἑαυτοὺς* Sar., correxi   21 *ἀναληφθέντα* O, *ἀναληφθέντες* Sar., correxi

22 *ροε̄* F   *δὲ* addidi   23 *ἐπιπλασθεῖσα* R

καταπασσομένη, ὀθονίου καέντος ὁμοίως ἢ διφρυγοῦς κατα-
πασθεῖσα· θαλλία λεία, ἐλελίσφακος ὁμοίως· θεῖον ἄπυρον, 2
Ἰδαία ῥίζα, ἰὸς σιδήρου καὶ λεπίς, ⟨χαλκῖτις⟩, ἰσάτεως φύλλα
ἀγρίας καὶ ἡμέρου, καδμεία λεία, κηκὶς λεία, κύπερος, κυπα-
ρίσσου σφαιρία σὺν ὄξει, λίβανος, μάννα, λειχὴν ὁ ἐπὶ τῶν
πετρῶν, μυρσίνη ξηρὰ καὶ ὑγρά, πενταφύλλου ῥίζα· στυπτηρία
πᾶσα, ἡ δὲ ὑγρὰ καεῖσα, καὶ σπόγγος ἀραιὸς πίσσῃ βραχεὶς
καὶ καεὶς λεῖος καταπασσόμενος.

200 (210) τὰς δὲ ἐκ μυκτήρων αἱμορραγίας στέλλει ὀξύ-
σχοινος ἐντιθεμένη λεία, κνίδης φύλλων χυλὸς ἐν μοτοῖς ἐντι-
θέμενος καὶ αὐτὰ ⟨δὲ⟩ τὰ φύλλα λεῖα κατὰ τοῦ μετώπου ἐπι-
τιθέμενα, χαλκῖτις, χάλκανθον κεκαυμένον· ἢ ἀνθήλη κεκαυ-
μένη ξηρὰ ἐν μοτοῖς ἐντιθεμένη, ὁμοίως φλόμος ὁ εἰς τὰ
ἐλλύχνια καὶ ἐλελισφάκου φύλλα λεῖα· βολβοὶ λεῖοι κατὰ τοῦ
μετώπου καταπλασσόμενοι ἐν πράσου χυλῷ ἢ ὄξει, ὀνὶς ὁμοίως·
γύψος σὺν ⟨ὄξει ἢ⟩ ὕδατι ἢ ᾠοῦ τῷ λευκῷ καταχρισθεῖσα καθ' 2
ὅλης τῆς κεφαλῆς ψιλωθείσης καὶ μετώπου, ἱππουρίδος χυλὸς
ἢ περικλυμένου σὺν μοτῷ ἀναλημφθείς, κοχλίου σὰρξ ἐν ὄξει
καὶ ὅλοι ⟨δὲ⟩ κοπέντες σὺν τῷ ὀστράκῳ καταπλασσόμενοι καθ'
ὅλου τοῦ μετώπου ἢ τοῦ μυκτῆρος· κύμινον σὺν ὄξει ἐντιθέ-
μενον λεῖον, νάρθηκος τὸ μέσον σὺν ὄξει, πήγανον ἐντεθὲν λεῖον,
κρόμυον λεπισθὲν καὶ ἐντεθὲν ξηρόν, πυτία λεανθεῖσα καὶ ἐμ-
πλασθεῖσα. ἐπέχει καὶ τὰ ὦτα κηρῷ ἁπαλωτάτῳ ἐμπλασσό- 3
μενα ἐπιμελῶς καὶ τὸ ἐν βαλανείῳ ἐκλούεσθαι αὐτοὺς καὶ ἡ
πόσθη ἀποδεδεμένη ῥάμματι· ἐνστάζεται δὲ ὠφελίμως καὶ εἰς

9 SIM. Orib. V 354 sq.
9 EXC. Orib. IV 604, 30. Aet. VI 94. Paul. IV 53.

1 καταπλασσομένη O (λ del. M[2]), corr. Moib. καταπλασθέντος O, correxi Moibano duce 2 ἐλελίσφακον Q 3 ἰδαία Moib.: ἰδαίας R: ἰδέας F χαλκῖτις addidi ex Or., nisi post καεῖσα (v. 7) transponi mavis coll. Gal. XIII 857, 11 4 κύπρος coni. Moib. 8 καταπασσόμενος Moib.: καταπλασσόμενος O

9 ροq̄ F 10 μότις F (corr. M[2]) 11 δὲ addidi ἐντιθέμενα O, correxi 12 ἀνθήλη O: ἀνθυλλὶς Or., ad rem cf. D. I 85 (81, 15), fort. ἀνθήλη καλάμων legendum, ut vult Sar. 13 post ὁμοίως dist. Q, at recte ὁμοίως ad φλόμος quod sequitur refert Sar. 14 κατὰ] ἐπὶ R 15 ἐν O: σὺν Or. 16 γύψης F (corr. M[2]) ὄξει ἢ addidi ex Or. τὸ λευκὸν Q 17 ψιλωθείσης om. mg. add. R (pr. m.) ἱππόριδος F 18 περικεκλυμένου R: περικυκλομένου F: κλυμένου Moib. 19 δὲ addidi fort. κοπέντες καὶ καέντες coll. Aet. l. s. 21 καυθὲν σὺν ὄξει Paul. ἐντιθὲν Q 23 ad rem cf. Aet. l. s. (121ᵛ 34) ἐμφρασσόμενα coni. Sar. 24 τὸ R: τῷ Q ἐκλύεσθαι R: ἑλκύεσθαι Q: correxi ad rem cf. Paul. 2, 58 δοκεῖ δὲ καὶ τῆς πόσθης ἡ διάδεσις ἐπέχειν τὰς ἐκ ῥινῶν αἱμορραγίας 25 ὠφελίμως post οὖς transpos. H καὶ om. R εἰς] ἐν F, corr. M[2]

τὸ οὖς ὕδωρ ψυχρόν. φασὶ δὲ ἐπέχεσθαι τὰς ἐκ μυκτήρων αἱμορραγίας μόρων ἄνθους μεμυκότος πρὸ τοῦ πεσεῖν ἐνδεομένου κυτίδι καὶ περιαπτομένου τραχήλῳ· δεῖ δὲ λαμβάνειν τὸ πρώτως ἐν ἐκείνῳ τῷ θέρει εὑρεθὲν ἢ ὀραθέν.

201 (211) διαχεῖ δὲ θρόμβους τοὺς ἐκ τραυμάτων ἐν βάθει γινομένους ἢ ⟨ἐν⟩ κοιλίᾳ ἢ κύστει· κονία συκίνη μετὰ ὕδατος ποθεῖσα, θύμβρα ⟨ἢ⟩ θύμος ἐν ὀξυκράτῳ, ἑλιχρύσου ἀπόζεμα ἐν οἰνομέλιτι, [ἢ] ὀπὸς σιλφίου λεῖος σὺν ὀξυκράτῳ ἢ ὕδατι πινόμενος.

202 (212) ἐφίστησι δὲ πλεοναζούσας αἱμορροΐδας ἀλόη καταπασθεῖσα, λεπὶς σιδήρου, λιβανωτίδος φύλλα, λίθος Ἀραβικός — ἔστι δὲ ὅμοιος ἐλέφαντι —, μόλυβδος κεκαυμένος, ὀξυκράτου ἐπαντλήσεις καὶ τῶν λοιπῶν στυμμάτων.

203 (213) ἀναστομοῖ δὲ αἱμορροΐδας μυττωτὸν ἐσθιόμενον, ἀμαράκινον ἢ ἴρινον περιχριόμενον· ἐρεθίζει αὐτὰς καὶ χολὴ βοεία ὡς βάλανος προστεθεῖσα, καὶ πρὸ τῆς χειρουργίας δὲ περιχρισθεῖσα· κατέχει δὲ καὶ οὐκ ἐᾷ ἐκτρέπεσθαι αὐτάς, ὁμοίως κυκλαμίνου χυλός.

204 (214) αἱμορροΐδας ⟨δὲ⟩ αἴρει θαυμαστῶς τοῦτο· κωνείου ξηροῦ ⟨·β', ὑοσκυάμου χυλίσματος ⟨·δ', στυπτηρίας σχιστῆς ⟨·β', χαλκάνθου κεκαυμένου ⟨·β', Σινωπίδος ⟨·α', ψιμυθίου ⟨·α', κηρωταρίῳ ῥοδίνῳ ἀναλημφθέντα καὶ ἐπιτεθέντα· ῥοᾶς

5 SIM. Orib. V 467, 8 (e Gal.); Aet. XIV 64; Paul. III 31.
5 EXC. Orib. IV 605, 15.
10 EXC. Orib. V 495, 8. VI 306; Aet. XIV 5.
14 EXC. Aet. XIV 6.
19 EXC. Orib. V 496, 1. VI 307; Aet. XIV 6.

2 μόρων] μύρτων coni. Spr. ἄνθος Q 3 κίτιδι F: κύτιδι R: κυστίδι Sar. 4 verba ἢ ὀραθέν fort. delenda

5 ροζ F 6 γεινομένους R ἐν addidi ex Orib., nisi praestat κοιλίας ἢ κύστεως 7 ἢ addidi ex Or. ἀλιχρύσου Q 8 ἢ delevi 9 post πινόμενος add. ὁποῦ Παρθικοῦ ὀροβιαῖον μέγεθος Or.

10 nov. cap. inc. Moib. ἀφίστησι Q 11 καταπλασθεῖσα R: καταπλασομένη Q, correxi ex Or. coll. D. III 22 (29, 14sq.) ἢ λεπὶς Or. 12 μόλυβος R: μόλιβδος Q 13 ἀπαντλείης H: ἀπαντλήσεις reliqui: προσάντλησις Or., correxi στημάτων Q

14 ροη F ἀναστομεῖ Q 17 δὲ om. Q ἐκτρέπεσθαι] συστέλλεσθαι Aet.

19 ροθ F c. 204 post 205 transpos. Or. δὲ addidi ex Or. 22 post ἐπιτεθέντα add. καὶ Or. ῥοιαὶ ὄξεται R

ὀξείας λέπη λεῖα σὺν ὄξει ἐπιπλασθέντα· ἂν δὲ ἐνδοτέρω ὦσιν, ὡς μαζίον ποιήσας ἐντίθει. ποιεῖ δὲ καὶ τοῦτο θαυ- 2
μαστῶς· σανδαράκης ⟨· η', ἀρσενικοῦ χρυσίζοντος ⟨· η', ἐπίχριε προεσχηματισμένῳ· ἀπονεκροῦται ⟨γὰρ⟩ καὶ ἀποπίπτει ἐν ἡμιωρίῳ ἀποξηραινομένη καὶ ἐκ τῆς βάσεως ἀποκυλιομένη· ἀνίεται δὲ στακτῇ ⟨καὶ⟩ κύκλῳ χρίεται κηρωτῇ· γίνεται δὲ ἢ ἐν ἡλίῳ ἢ παρὰ πυρί.

205 (212) ἐπέχει δὲ αἱμορροΐδας παραχρῆμα· ἀκακίας κιρρᾶς ⟨· δ', μολυβδαίνης ⟨· δ', τραγακάνθης ⟨· β', κατὰ ἓν λειώσας ἕκαστον, εἶτα μείξας καὶ δεύσας ὕδατι ἔμπλασσε εἰς μοτὸν ἢ ἔριον καὶ ἐπιτίθει. προσκλύσματι δὲ χρῶ χαλκάνθῳ ἢ κηκῖδι ⟨καὶ⟩ στυπτηρίᾳ, ἴσοις λείοις διειμένοις θερμῷ ὀξυκράτῳ ἢ ὕδατι καὶ προσκλυζομένοις.

206 (215) φλεγμονὰς δὲ τὰς τοῦ δακτυλίου ὠφελεῖ ἄρτος ἐκ μελικράτου καταπλασσόμενος, σόγχου χυλὸς ἐν ἐρίῳ προστεθείς, μολόχη ἑφθὴ καὶ ὠμὴ καταπλασσομένη, ἀλθαίας ῥίζα ἣν Ῥωμαῖοι ἐβίσκον καλοῦσιν ἐν μελικράτῳ ἑφθὴ ὁμοίως· ἀμαράκινον περιχριόμενον, μελίλωτον σὺν οἰσύπῳ καὶ βουτύρῳ, σιλφίου ⟨ῥίζα⟩ σὺν ὄξει ἐν σιδίοις ἡψημένη, πίσσα ὑγρὰ σὺν κηρίῳ ἴσα, σιδήρου ἰὸς σὺν κηρωτῇ.

---

8 EXC. Orib. V 495, 12. VI 307. Aet. l. s.
14 SIM. Orib. III 563.

---

1 *λέπις* O (at *ἐπιπλασθέντα* R): correxi ex Or. coll. D. I 110 (104, 21) *ξηρὰ λεῖα* Aet. *ἐπιπλασθεῖσα* Q *ἂν*] *ἐὰν* Or., fort. recte 2 *ποιήσας* om. Or. 3 *σανδαράκης* Or.: *σανδαράχης* O *χρυσίζοντος* comp. scr. Q, om. R, cf. D. V 104 (74, 2) *ἐπίχριε* scripsi Or. duce: *ἐπιχρίσει* R: *ἐπιχρίσεις* Q 4 *προεσχηματισμένῳ* Or.: *παρεσχηματισμένων* (-*ως* R, -*ον* H) O, corr. Moib. *ἀπονεκροῦται* H: *ἀπὸ νεκροῦ* F: *ἀπονεκροῦν* R: *ἀπονεκροῖ* Or., cf. Aet. l. s. *ἀπονεκροῦται γὰρ καὶ ἀποπίπτει* *γὰρ* add. Moib., fort. *γὰρ ἡ αἱμορροΐς* *καὶ* om. RF 5 *ἀποξηραινομένων* (-*όμενον* F) *αὐτῶν καὶ . . . ἀποκυλιομένων* (*ἀποκυλισμάτων* FM, *λυομένων* superscr. M[2]) O: correxi Moib. duce ex Or., Aet. *ἀνιεὶς* O, corr. Moib. ex Or. 6 *κονίᾳ στακτῇ* Aet. *καὶ* add. Moib. *χρίεται*] fort. *ἐγχρίεται* *ἢ* (pr.) om. FHOr.

8 *ρπ̄* F, post c. 202 transpos. Moib. 11 *χρῶ* Moib.: *χρὴ* O 12 *καὶ* add. Moib. *στυπτηρίας* Q *ἢ*] *καὶ* Q

14 *ρπ̄α* F tit. *περὶ* (l. *πρὸς*) *φλεγμονὴν δακτυλίου* F 17 cf. D. III 146 (154, 13) 18 *οἰσύπῳ*] *ὑσσώπῳ* O, corr. Moib. e D. II 74 (150, 1) *σιλφίου* N: *σίλφιον* reliqui 19 *ῥίζα* addidi coll. D. III 80 (94, 8) *ἐν*] *καὶ* O (= ICN), correxi e D. *σιδίοις* R: *τίδηρις* Q, at cf. D. l. s. *ἑψημένης* F: *ἑψημένοις* R, correxi 19 *κηρῷ* F

207 (216) τὰ δὲ ἀλγήματα ὠφελεῖ πευκεδάνου ὀπὸς ἐπιχριόμενος, σμύρνα σὺν μέλιτι, ἠριγέροντος ἄνθη σὺν οἴνῳ γλυκεῖ, κισσοῦ ἄνθη ὁμοίως, ἑλξίνη καθ᾽ ἑαυτὴν καὶ σὺν ἄρτῳ.

208 (217) τὰ δὲ κονδυλώματα στέλλει ἐλαίας ἄνθη μεθ᾽
ὕδατος καταπλασσόμενα, ἀλόη σὺν γλυκεῖ καταχριομένη, βαλλω-
τῆς φύλλα καταπλασθέντα, βάτου φύλλα ⟨ὁμοίως⟩ καὶ ὁ χυλὸς
⟨δὲ⟩ καταχριόμενος καὶ σὺν ῥοδίνῃ κηρωτῇ ἐπιτιθέμενος· πεντα-
φύλλου ῥίζα καταπλασθεῖσα, κύπρου φύλλα ὁμοίως, κυπαρίσσου
φύλλα ὁμοίως σὺν ἀλφίτῳ, καὶ τῷ ἀφεψήματι δὲ αὐτοῦ πυρία·
2 λιβανωτίδος φύλλα ὁμοίως· μελίλωτον σὺν οἴνῳ γλυκεῖ ἑψηθὲν
μιγείσης αὐτῷ λεκίθου ᾠῶν ἢ μελιλώτου καὶ σχοίνου ἄνθους
μετὰ βουτύρου ἢ λινοσπέρμου ἢ σέρεως ἢ τήλεως ἢ κωδυῶν.
ἢ Κυδώνια ἑφθὰ σὺν ἄρτῳ ἢ ἀλφίτῳ, μυρσίνης φύλλα κεκαυ-
μένα σὺν κηρωτῇ, λύκιον διαψώμενον, ἀμόργη ἡψημένη ὁμοίως,
3 ἅλμη πυριωμένη ὁμοίως. κατάχριε δὲ καὶ τῷ ἀφρῷ τοῦ ἑψο-
μένου μέλιτος· ποιεῖ δὲ ⟨καὶ⟩ μελίλωτον ⟨ἢ⟩ σχοῖνος ἀναπλασ-
θέντα σὺν βουτύρῳ, καὶ ἀρνογλώσσου φύλλα σὺν ἁλσὶ κατα-
πλασσόμενα, ἔρια οἰσυπηρὰ κεκαυμένα συλλημφθέντα ῥοδίνῳ καὶ
στέατι χηνείῳ, πρόπολις προμαλασσομένη καὶ ἐπιτιθεμένη.

209 (218) αἴρει δὲ ⟨τὰ⟩ κονδυλώματα καὶ τὰς συκᾶς ἀρσενικὸν ἐπιπλασθέν, βολβοὶ ἐν θερμοσποδιᾷ ὀπτηθέντες καὶ λεῖοι καταπασθέντες μετὰ μαινίδων κεφαλῶν κεκαυμένων· ἄσβεστος καὶ τρὺξ ἰξῷ ἀναλημφθέντα καὶ ὡς σπλήνιον ἐπιτεθέντα.

---

4 EXC. Orib. V 390, 3.
20 SIM. Orib. V 388, 3.
20 EXC. Orib. V 390, 7.

---

1 ρπβ F   2 ἄνθος Q   γλυκεῖ R: λευκῷ Q, at cf. D. IV 96 (254, 8)   3 ἄνθη R, ἄνθος reliqui

4 ρπγ F   5 καταπλασσομένη Q   6 ὁμοίως addidi coll. D. IV 37 (197, 3)   7 δὲ addidi e D.   ῥοδίνῳ Q   ἐπιτιθεμένη Q   8 κυπαρίσσου — ὁμοίως (v. 10) om. F, mg. add. M^2 11 μιγέντων αὐτῶ λεκίθων ᾠοῦ H   αὐτοῦ F: αὐτοῖς coni. Moib.   μελιλώτων R   σχίνου R   ad rem cf. D. III 40 (53, 5sq.)   13 μυρσίνης] σμύρνης O, in mg. corr. M^2, cf. Or. l. s.   14 ἡψημένη R: ἑψημένη Q   15 ὁμοίως om. Q   ἑψομένου R: ἑψημένου Q   16 καὶ add. Moib.   ἢ add. Moib.   σχῖνος R   ἀναπλασθέντα RF: ἀναπλασθεὶς M   17 σὺν (pr.) om. R   18 συλληφθέντα R: καὶ ἀναληφθέντα Q

20 ρπδ F   τὰ addidi ex Or.   σύκας (συκὰς R) O, τὰ σῦκα Or.   21 καταπλασθὲν Or.   θερμῇ σποδιᾷ O   22 καταπλασθέντες O, correxi coll. D. II 29 (131, 13)   23 καὶ (pr.) om. H

210 (219) τὰς δὲ ὑπερμεγέθεις συκᾶς ἀποβάλλει λιβάνου ὑποκαπνισμὸς ἐπὶ ἡμέρας ἓξ ἐπιτηδευόμενος, ἰὸς σιδήρου σὺν οἴνῳ γλυκεῖ ἐπιχρισθείς, ἀνήθου σπέρματος κεκαυμένου ἡ τέφρα καταπασσομένη, χάλκανθος καὶ σίδια σὺν ὄξει λεῖα, στυπτηρία [ὑγρὰ] σχιστὴ κεκαυμένη ὁμοίως σὺν ὄξει λεία, ἐλατήριον σὺν ἁλσί, στυπτηρία ὑγρὰ μετὰ ἄρτου καὶ οἴνου καὶ σελίνου.

211 (220) συκᾶς δὲ ἀφαιρεθείσας καὶ θύμους καὶ κονδυλώματα ἀποθεραπεύει καὶ οὐκ ἐᾷ πάλιν αὔξεσθαι τέφρα κλημάτων ἢ καὶ ἡ ἐκ τῶν γιγάρτων σὺν ὄξει καταπλασσομένη.

212 (221) τὰς δὲ ῥαγάδας θεραπεύει διφρυγὲς σὺν ῥοδίνῳ, ἀλόη σὺν γλυκεῖ καταχριομένη, διψάκου ῥίζα λεία ἀναλημφθεῖσα κηρωτῇ, καρκίνων ποταμίων καέντων ἡ τέφρα σὺν κηρωτῇ ῥοδίνῃ ἐπιτεθεῖσα, οἴσυπος σὺν μελιλώτῳ καὶ βουτύρῳ, πίσσα ὑγρὰ καθ' ἑαυτήν, σέριδος χυλὸς σὺν μάννῃ, πορφύρας ὄστρακον καὲν καὶ σμύρνα ἴσα κηρωτῇ ἀναλημφθέντα ὑγρᾷ.

213 (221) περὶ τῶν κατὰ τὸν δακτύλιον τραυμάτων· μελάνθιον μετὰ ῥοδίνου τριβὲν καὶ λεῖον ἐπιτεθέν.

214 (222) τὰς δὲ ἐντὸς τῆς ἕδρας ὠφελεῖ ἑλκώσεις ἀμόργη ἑψηθεῖσα καὶ ἐγκλυζομένη, ἄκοπον τὸ δυσῶδες διὰ πυουλκοῦ ἐντιθέμενον.

215 (223) σκώληκας δὲ καὶ ἀσκαρίδας φθείρει κεδρία προστιθεμένη, ὀξύγγιον παλαιὸν ὡς βάλανος ἐντιθέμενον.

---

1 EXC. Orib. V 390.
7 EXC. Orib. V 390. Aet. XIV 4. Paul. III 59.

---

1 ρπε F 2 ϙ Q ἐπιτηδευόμενος R: ἐπιγευόμενος Q σὺν οἴνῳ ἐπιχρισθεὶς γλυκεῖ Or. 4 καταπλασσομένη O Or., corr. Sar. 5 ὑγρὰ delevi: ὑγρὰ ἢ σχιστὴ coni. Moib., at cf. Or. l. s. ὁμοίως fort. delendum ἐλατήριον R: πελατήριον Q (mend. not. H): μελαντηρία coni. Moib. 6 σελίνων Q

7 nov. cap. inc. Moib., post σελίνου spat. rel. Q 8 θεραπεύει O, ἀπο superscr. M², cf. Or. l. s. κλημάτων O Or., at cf. I 96. 218 9 ἢ] ἂν O, correxi, cf. Aet. l. s. καὶ ἡ ἐκ τῶν γιγάρτων γιγάρτων κεκαυμένων Aet. post γιγάρτων add. γένηται Q καταπλασσομένη H: καταπλασσομένων reliqui

10 ρπϙ F 13 ῥοδίνω F ὕσσωπον O, correxi Moib. duce coll. D. II 74 (150, 1)

16 ρπζ F verba περὶ — τραυμάτων om. Sar. τῶν δακτυλίων F verba μελάνθιον — ἐπιτεθέν anteced. cap. adiungit Moib. 17 τριβὲν R: τριβέντα reliqui

18 ρπη F 19 fort. καὶ delendum διὰ πυουλκοῦ scripsi: διὰ πυουακου R: διἀπύου ὤκου F (ἐν ἄλλω τὸ δυσῶδες διὰ ποιουακου ἐντιθ. mg. add. M²): διὰ ποιοῦ ἀκου H

21 ρπθ F 22 ἀξούγγιον O

216 (224) τὰς δὲ προπτώσεις τοῦ δακτυλίου στέλλει περιχριόμενα· ἀκακίας χύλισμα, βάτου χυλὸς καὶ τὰ φύλλα καταπλασσόμενα, ἀναγαλλὶς ἡ τὸ κυάνεον ἄνθος ἔχουσα καταπλασθεῖσα — ἡ δὲ ἐρυθρὰ ἐρεθίζει καὶ ἐκτρέπει —, κηκῖδος ἀφέψημα ἢ Κυδωνίων ἢ μυρρίνης ἢ σιδίων ἐγκαθεζόμενον ἢ ὀξύκρατον· λιβανωτίδος φύλλα καταπλασσόμενα, Κυδώνια ἑφθὰ λεῖα ἐπιτιθέμενα, μυρσίνη ὁμοίως καταπλασσομένη, [ἢ] νάρκη θαλασσία προστιθεμένη, οἰνάνθη ⟨ἡ⟩ ἀπὸ τῆς ἀγρίας ἀμπέλου ἢ κύπρου φύλλα καταπλασσόμενα.

217 (225) παρατρίμματα δὲ ἤδη εἱλκωμένα χαλκῖτις μεθ' ὕδατος τριβεῖσα καὶ ἐπιχρισθεῖσα παραυτίκα ὠφελεῖ, μολύβδαινα σὺν ὄξει καὶ ῥοδίνῳ λεία ἢ λιθάργυρος ὁμοίως, πίτυος ⟨φλοιὸς ὁμοίως⟩.

218 (226) στρέμματα δὲ ἰᾶται καταπλασσόμενα· ἄγνου σπέρμα σὺν ἁλσὶ καὶ νίτρῳ καὶ κηρωτῇ, ἀγχούσης φύλλα σὺν μέλιτι καὶ ἀλφίτοις, ἀκάνθου τοῦ παιδέρωτος φύλλα, κνίδης φύλλα σὺν ἁλσὶ πολλοῖς, ἅλες σὺν ἀλεύρῳ καὶ μέλιτι, ἀμόργη ἑψηθεῖσα σὺν ἐρίῳ οἰσυπηρῷ ἐπιτεθεῖσα, τέφρα κληματίνη καὶ ἡ ἐκ γιγάρτων μετ' ὄξους, ὑὸς ἄφοδος ξηρὰ μετὰ κηρωτῆς, ἀρ-
2 κίου ῥίζα, ἄσβεστος σὺν πίσσῃ ἢ ὀξυγγίῳ παλαιῷ· βολβοὶ μετὰ μέλιτος, ἐνίοτε δὲ καὶ ἄρτου μειγνυμένου, μάλιστα δὲ ἐπὶ τῶν τρυφεροχρώτων· ἄλευρα μετ' ὄξους ἑψηθέντα μετὰ ἀφόδου ὑὸς λεῖα, ἡλιοτρόπιον τὸ μέγα λεῖον, καλάμου φραγμίτου ῥίζα σὺν ὄξει, κάρυα βασιλικὰ σὺν πηγάνῳ καὶ μέλιτι, κρίνου ῥίζα ἑψηθεῖσα ἐν οἴνῳ ἢ λεανθεῖσα ἐν μέλιτι, τήλινον ἄλευρον σὺν ὠμῇ

---

1 SIM. Aet. XIV 7. Gal. XIII 314.
10 SIM. Aet. XIV 12. Or. V 332.
14 SIM. Orib. V 350 (ex Apollonio?), unde Paul. IV 29.
14 EXC. Aet. XIV 71.

---

1 ρϙ̄ F 3 post τὸ del. *κυάμινον ἄλευρον* H 4 *κήκιδος* RH: *κήλιδος* reliqui 5 *ἐγκαθιζόμενον* (ι in ε corr.) M 7 post *καταπλ.* del. ρ R ἢ delevi *νάκι* F 8 ἡ addidi

10 ρϙ̄α F *ἤδη εἱλκωμένα* R: *ἢ διειλκωμένα* Q 12 *πίτυς* R: *τίτης* Q (chart. laes. F), correxi *φλοιὸς ὁμοίως* addidi e D. I 69 (65, 6)

14 ρϙ̄β M, om. F 18 *ἑψητὴ* Q *ἰρίνω* (ν del. H) *οἰσηπήρω* Q 19 ἡ om. F *ὑὸς ἀγρίου* D. II 80 (162, 21), *fimum aprinum* vel *suillum* Pl. 28, 234 *ἀρκτίου* O, corr. Moib. e D. IV 106 (261, 7) *κηρωτῆς ῥοδίνης* D. l. s. 20 *ἀξουγγίω* F 21 *δὲ* (pr.) om. Q *ἄρτου* RH: *ἄρκτου* reliqui 22 *ἄλευρον* R, at *ἑψηθέντα* O *ὑίας* Q 23 *ἡλιοτρόπειον* R *μεγαλῖον* F (*λιον* del. M²): *μέγαν* R (om. *λεῖον*), correxi 24 *ὄξει*] *ὄρει* F 25 *ὠμηλύσει* F

λύσει, ναρκίσσου ῥίζα λεία σὺν μέλιτι· νίτρον σὺν κηρωτῇ, 3 ὀξυακάνθου ῥίζα ἑφθή, πολυποδίου ῥίζα ὁμοίως, σύμφυτον σὺν κηρωτῇ, τέφρα κληματίνη σὺν ὀξυγγίῳ παλαιῷ. τὰ δὲ λίαν ⟨χρόνια⟩ στρέμματα ἰᾶται ἀπόπατος ⟨βοὸς⟩ θερμὴ καταπλασθεῖσα, κύπρου ἀφέψημα καταντλούμενον.

219 (227) κεχαλασμένα δὲ ἄρθρα ἀκακίας χυλὸς ἀνεθεὶς ὕδατι καὶ καταντλούμενος, ἀκάνθης ἀφέψημα ἢ βάτου ἢ μυρσίνης ⟨ἢ σιδίων⟩ ἢ σχίνου ἢ φηγοῦ ἢ πτελέας τῶν ῥιζῶν [ἢ] τοῦ φλοιοῦ, ἐλάτη λεία μετὰ κηρωτῆς, ἔλαιον μυρσίνινον ἢ σχίνινον περιχριόμενον συνεχῶς, σίδια καταπλασθέντα, μυρσίνης φύλλα σὺν κηρωτῇ μυρσινίνῃ ἐπιτιθέμενα.

220 (228) κόπους ⟨δὲ⟩ λύει ἐπιτιθέμενα· Ἀμμωνιακὸν μετ' ὄξους καὶ κυπρίνου ἐλαίου καὶ ὀλίγου νίτρου, ἀπίου σπέρμα μετ' ἐλαίου, δάφνινον ἔλαιον, κρόκινον, σαμψούχινον, ἀφρόνιτρον ⟨ἢ⟩ νίτρον σὺν ἐλαίῳ καὶ οἴνῳ καὶ ὄξει. φασὶ δὲ ἐν ταῖς ὁδοιπορίαις μὴ παρατρίβεσθαι τοὺς βουβῶνας ἄγνον ῥάβδον ἢ ⟨Ἀρτεμισίας⟩ τῆς θαλασσίας κρατουμένης.

221 (229) τετανικοῖς δὲ καὶ τοῖς ἄλλοις σπωμένοις ἁρμόζει ἐν ποτῷ μὲν γλήχων μεθ' ἁλὸς καὶ μελικράτου, ἴρεως ⟨· β' σὺν μελικράτῳ, σὰρξ ἐχίνου ἐσκελετευμένη ὁμοίως, κύπρινον ἢ καστόριον· κράμβη ἑφθὴ ἐσθιομένη, ὀξαλλίδος ῥίζα σὺν οἴνῳ, ὀπὸς σιλφίου περιπλασθεὶς κηρῷ ἀντὶ καταποτίου, σέσελι, σταφυλίνου ἀγρίου ῥίζα ⟨καὶ⟩ σπέρμα, ἀκάνθης λευκῆς σπέρμα.

---

6 EXC. Orib. V 365, unde Aet. XIV 72. Paul. IV 56.
12 SIM. Orib. IV 581, 24.
18 SIM. Orib. V 423, 3. IV 583, 9 (unde Aet. VI 39 Paul. III 20).

---

2 *πολυποδίου*] *ποδίου* Q (*ἴσως λεοντοποδίου* mg. add. N[2]), cf. D. IV 186 (335, 4) 3 *παλαιῷ*] *ἢ ἐλαίῳ* O, corr. Moib. ex Aet. 4 *χρόνια* addidi coll. II 38 *βοὸς* addidi coll. I 228 5 *ἀφεψήματα* (-*τι* H) *καταντλούμενα* Q

6 *ρϙ̅γ̅* F fort. *ἄρθρα ἰᾶται* 7 *καταπλασσόμενος* H 8 *ἢ σιδίων* addidi ex Or. *σχοίνου* Q *σφύγου* Q (mend. not. N[2]) *ἢ* del. Moib., cf. Or. 9 *ἐλάτη λεία* R: *ἐλατηρίου* H: *ἐλατηρία* reliqui *σχοίνινον* Q

12 *ρϙ̅δ̅* F *δὲ* addidi *ἐπιτιθέμενον* O, correxi 13 fort. *ἀπίου τοῦ φυτοῦ* 14 *δάφνιον* F *σαμψούκινον* R: *σαμψύχινον* Q 15 *ἢ* addidi coll. Or. l. s. 16 *βόβοννας* F (corr. M[2]) *ἄγρον ῥάδον* F (*ἄγνον ῥάβδον* in mg. corr. A[2]), cf. D. I 103 (96, 8) 17 *Ἀρτεμισίας* addidi Sar. duce coll. Pl. 25, 74. 130. 26, 150. Ps. Ap. 10. carm. de herbis III 30

18 *ρϙ̅ε̅* F *σπωμένοις* egregie Moib.: *εἱλκωμένοις* O 19 *ἐν ποτῷ* Moib.: *ποτὲ* O 20 *ἐσκελετευμένον* F fort. *κύπρινον μύρον* 21 *ὀξαλλίδος* RF 23 *ῥίζα* R: *ῥίζας* F: *ῥίζης* H *καὶ* add. Sar.

222 (229) παιδίοις ⟨δὲ⟩ σπωμένοις βοηθεῖ δαμασωνίου ⟨· α´ τῶν φύλλων ἐν μελικράτῳ, βατράχων ζωμὸς ἁλσὶ καὶ ἐλαίῳ ἠρτυμένος καὶ ἐσθιόμενος, καὶ αὐτοὶ ⟨δὲ⟩ οἱ βάτραχοι, καρκίνων ζωμὸς ὁμοίως, ξυλοβαλσάμου τριώβολον ἐν οἴνῳ.

223 (229) τοὺς δὲ προσφάτους σπασμοὺς θεραπεύει σέσελι μετὰ μελικράτου πινόμενον. (230) συγχριόμενα δὲ ἐπὶ τετάνου καὶ σπασμωδῶν τρόμων ἁρμόζει· καστόριον σὺν ἐλαίῳ, ὑπερικὸν ὁμοίως, πευκεδάνου ὀπός, πισσέλαιον, σάμψουχον σὺν ὠμῇ λύσει, κονία συκίνη σὺν ἐλαίῳ· ἁρμόζει καὶ ἔλαιον συνεχῶς καταχεόμενον κατὰ τοῦ αὐχένος, καὶ εἰς τὴν ἔμβασιν τοῦ ἐλαίου κατάβασις. ἐπιμενούσης δὲ τῆς τάσεως ἐπὶ χρόνον ἱκανὸν ὠφελοῦνται καιόμενοι τὸ κατὰ τοῦ τένοντος δέρμα.

224 (231) τρομώδεσι δὲ ἁρμόζει πινόμενα· καστόριον μετὰ μελικράτου, λαγωοῦ ἐγκέφαλος ἑφθὸς ἐσθιόμενος, κράμβη ἑφθὴ ἐσθιομένη, ἀλθαίας ῥίζης ἀφέψημα, δαμασωνίου φύλλων ⟨· α´ μετὰ μελικράτου, Εὐπατόριον σὺν ὕδατι ἐπὶ πλεῖον πινόμενον.

225 (232) γλώσσης ⟨δὲ⟩ παραλυθείσης ἁρμόζει ὀπὸς καὶ ὀπόφυλλον μετὰ ῥοφήματος λαμβανόμενον, καὶ σταφὶς ἀγρία καὶ πέπερι καὶ σίνηπυ διαμασώμενα.

226 (233) παραλυτικοῖς δὲ ποιεῖ ποτά· καρδαμώμου ⟨· α´ σὺν ὕδατι ἢ οἴνῳ, καππάρεως τοῦ ἐκ τῶν ἀπίων καρποῦ ⟨· β´ σὺν οἴνῳ ⟨καὶ⟩ τῆς ῥίζης ὁμοίως, καστόριον ἐν ὕδατι ἢ μελικράτῳ ἢ οἴνῳ, πενταφύλλου ῥίζης χυλός, καὶ ⟨τὰ⟩ ἀρθριτικοῖς ἁρμόζοντα συγχρίσματα ἐπιτηδείως παραλαμβάνεται ἐπὶ παραλύσεως ⟨καὶ⟩ κόστος σὺν ἐλαίῳ καὶ τὰ θερμαντικὰ τῶν ἀκόπων.

---

7 SIM. Orib. IV 583. Aet. VI 39.
14 EXC. Orib. IV 562, 19. Paul. III 21.
22 SIM. Aet. VI 28.

---

1 ρϙϛ̄ F, ad finem cap. praec. refert Moib. *δὲ* addidi 2 *ζωμοῖς* Q (corr. M²) *ἐλαίῳ καὶ ἁλσὶ* H fort. *σὺν ἁλσὶ* 3 *ἠρτυμένοις* Q *δὲ* addidi *καρκίνου* F

5 ρϙ̄ζ̄ Q, pr. litt. voc. *τοὺς* om. R 9 post *ἁρμόζει* dist. Q 10 *καταχριόμενον* Q 11 *ἐπινεμούσης* R *στάσεως* O, corr. Moib.

13 ρϙ̄η̄ F 15 *ῥίζας* R ⟨· δ´ Or., cf. D. III 152 (160, 3 sq.)

18 ρϙ̄θ̄ FA *δὲ* addidi fort. *σιλφίου ὀπὸς*

21 σ̄ F 23 *καὶ* addidi ex H 24 *τὰ* addidi 25 *ἁρμόζοντα* Moib.: *ἁρμόζει* O (chart. laes. F) 26 *καὶ* addidi

227 (234) ποδαγρικοὺς ⟨δὲ⟩ καὶ ἀρθριτικοὺς πινόμενα ὠφελεῖ· ἀμώμου ἀφέψημα, ἀνδρόσακες μεθ' ὕδατος, Κενταυρείου ⟨τοῦ⟩ λεπτοῦ χύλισμα, μήου ἀπόζεμα, πήγανον ἄγριον σὺν ἀνήθῳ ἀποζεσθέν, ὀπόφυλλον καὶ ὀπὸς σὺν τροφῇ λαμβανόμενος, χαμαίδρυος ἀπόζεμα, Βεττονικὴ πόα μετ' οἴνου πινομένη· ὠφελεῖ καὶ ἐχιδνοφαγία.

228 (235) καταχριόμενα δὲ ποδάγρας καὶ ἀρθρίτιδας ὠφελεῖ
καὶ καταπλασσόμενα· ἄσβεστος λεία ὄξει φυραθεῖσα καὶ ἐπι-
τεθεῖσα — ἐπιχρίειν δὲ δεῖ ἐλαίῳ ἢ κηρωτῇ πρὸς τὸ μὴ ἑλ-
κοῦσθαι —, ἢ ἄσβεστος καὶ ὄστρακον ἴσα μετ' ὄξους καὶ ῥο-
δίνου ἀνειλημμένα ἢ ὀξυγγίου, ὀπὸς μήκωνος μετ' ὄξους καὶ
ῥοδίνου καταχριόμενος· ποιεῖ δὲ δυσκινήτους καὶ βαρεῖς τοὺς
πόδας. παραχρῆμα δὲ ποιεῖ ἀπόνους τοῦτο· φλόμου τὰ ἁπα- 2
λώτατα τῶν φύλλων μετὰ βολβῶν καὶ ἀλφίτου καὶ ὕδατος
καταπλασσόμενα, καὶ κάππαρις ἣν ἐσθίομεν βραχεῖσα ἐν
ὕδατι καὶ τριβεῖσα, εἶτα ἐγχλιασθεῖσα μετ' ἐλαίου ὡς κηρωτὴ
καὶ ἐν ὀθονίῳ ἐπιτεθεῖσα, αἰγίλωψ ἢ ἀείζωον σὺν κριθίνῳ
ἀλεύρῳ καταπλασθέν, πράσιον μετὰ ἁλῶν, βολβοὶ μετὰ μέλιτος,
αἰγείρου φύλλα ἐν ὄξει ἑφθά, αἷμα καταμήνιον καταχριόμενον·
ἀκτῆς καυλοὶ σὺν τοῖς φύλλοις λεῖοι μετὰ πρασίου καὶ στέατος, 3
ὑοσκυάμου φύλλα, ἅλες σὺν ἐλαίῳ, ἀμόργη ἐλαίου πρόσφατος
θερμὴ καταντλουμένη ἢ ἀνέψητος καταχριομένη, Ἀμμωνιακὸν
σὺν πίσσῃ ξηρᾷ μαλαχθέν, ἀνδρόσακες καταπλασσόμενον, ἀπό-
πατος βοὸς θερμὴ καταπλασσομένη, αἰγὸς ἀπόπατος λεία σὺν
ὀξυγγίῳ ἢ αἰγείῳ παλαιῷ στέατι, ἀφρόνιτρον καὶ λιβανωτὸς
σὺν ὀξυγγίῳ· σμύρνα, πευκέδανον, στύραξ, ὄπιον, ὑοσκύαμος, 4

---

7 SIM. Aet. XII 28sq. Paul. III 78.

---

1 σ̅α̅ F ποδαγρικοῖς καὶ ἀρθριτικοῖς Q δὲ addidi 3 τοῦ addidi μίου R: μίσονος H: μήσης F (μύσι corr. M[2]) 4 fort. ὀπὸς σιλφίου στροφῇ O (mend. not. H) 5 βετονίκη H: βεττονικῆς F: βετονίκης M

7 σ̅β̅ F post ὠφελεῖ add. Moib. ἢ καταντλούμενα ἐπὶ τῷ τέλει τοῦ κεφαλαίου 8 καὶ (pr.) om. Q καταπλασσομένη Q 9 διελαίω F ἀκούσθαι (sic) F 10 ἄσβεστον O 11 ἀναλημμένα F: ἀνηλημμένα H 12 καταχριόμενα H 13 verba παραχρῆμα — τοῦτο cum praecedenti remedio coniungit Moib. 14 βολβοῦ Q ἀλφίτων H 15 καὶ fort. del. βρεχεῖσα R 16 ἐγχλιασθεῖσα R: ἐγκλισθεῖσα Q: ἐγχρισθεῖσα coni. Gesn., sed dubito 19 καταμηνίων R 22 θερμὴ καταντλουμένη H: θερμὸς καταντλούμενος reliqui, cf. D. I 102 (94, 19), aliter Gesn. ἑψητὸς O, correxi καταχριομένη scripsi: καταχριόμενος O 24 λεῖος Q 25 ὀξυγγίου R 26 σμύρνα καὶ Q

ἴσα σὺν κηρωτῇ· ἄρου ῥίζα σὺν βολβίτῳ καὶ ὄξει, Περσικῶν
φύλλα σὺν ὀξυγγίῳ, ἀσφοδέλου ῥίζα σὺν ἀλφίτῳ καὶ ῥοδίνῳ
καὶ ὕδατι, κωνείου σπέρμα σὺν λιθαργύρῳ, λευκοίου ῥίζαι σὺν
ὄξει ἑφθαί, λιβανωτίδος φύλλα σὺν ὄξει καὶ αἰρίνῳ ἀλεύρῳ,
Ἄσσιος λίθος λεῖος ἐν ἐρεγμῷ, μήκωνος ὀπὸς σὺν γυναικείῳ
γάλακτι καὶ κρόκῳ καὶ κηρωτῇ ῥοδίνῃ μιγέντα καὶ ἐπιτεθέντα,
καὶ τὰ φύλλα δὲ καὶ αἱ κωδύαι σὺν ἀλφίτῳ καταπλασσόμενα
5 μειγνυμένων καὶ ὑοσκυάμου φύλλων· δεῖ δὲ αὐτὰ καὶ ἀλεύρῳ
κριθίνῳ ἀναλαβόντα ξηραίνειν ὡς τροχίσκους, ἐπὶ δὲ τῆς χρείας
ὄξει διαλύειν· ὀποπάναξ μετὰ σταφίδος ἐδωδίμου, χελιδονίου
τοῦ καλουμένου πυροῦ ἀγρίου ῥίζα λεία, σαγαπηνὸν σὺν ἐλαίῳ
καταχρισθέν, σέρις μετὰ πάλης ἀλφίτου ἢ σέλινον ἢ κιχόριον
6 ἢ ἀνδράχνη ἢ στρύχνον ἢ περδίκιον ἢ σησάμινον ἔλαιον· σι-
κύου ἀγρίου ῥίζα ἐν ὄξει ἑφθή, σιδήρου ἰὸς ἐν ὄξει καὶ ῥοδίνῳ,
σιδήρου σκωρία ἐν ὄξει ζεσθεῖσα καὶ καταντλουμένη, σκόρδιον
μετ' ὄξους δριμέος καταχριόμενον ἢ καταπλασσόμενον σὺν
ὕδατι, στέαρ αἴγειον σὺν αἰγὸς σπυράθοις καὶ κρόκῳ καὶ στύ-
ρακι ἢ σὺν κισσοῦ φύλλοις λείοις ἢ περδικίου, συκῆς ὀπὸς
μετὰ σητανίου ἀλεύρου καὶ ὄξους, σταφίδες ἐκγεγιγαρτισμέναι
μετὰ γάλακτος, ἄσφαλτος περιχριομένη μετὰ τῆς ὠμῆς λύσεως
ἑφθή, τυρὸς ἁπαλὸς καταπλασσόμενος, κράμβης πικροτάτης τὰ
7 φύλλα καυθέντα καὶ ἀναλημφθέντα κηρωτῇ κυπρίνῃ· ποιεῖ καὶ
λευκῶν ἐλαιῶν χυλὸς καταντλούμενος καὶ αἱ λευκαὶ ⟨δὲ⟩ ἐλαῖαι
καταπλασσόμεναι· γογγύλης ἐγκρυβείσης πυρὶ καὶ ὀπτηθείσης
τὸ ἔσωθεν καταπλασσόμενον λεῖον, μυροβάλανος καταπλασσο-
μένη σὺν ἀλεύρῳ αἰρίνῳ καὶ μελικράτῳ, φῦκος ἢ βρύον θαλάσ-

---

1 verba *σὺν βολβίτῳ — ἀσφ. ῥίζα* om. mg. add. M² 2 *φύλλων* F 3 *σπέρματος* F *λευκίου* F *ῥίζα* Q: *φύλλα* R, at cf. D. III 123 (134, 7), correxi 4 *ἑφθά* O, correxi 5 *λίθος ἄσιος* Q *λεῖος* om. R *μηκώνειος* R: *μηκώνιος* reliqui (*ι* del. M²) 7 *καταπλασσόμενος* H: *καταπλασσόμεναι* reliqui, correxi 9 *ἀναλαμβάνοντα* Q 10 *ὀποπάναξ* H: *ὀποπάνακα* R: *ὀποπάνα καὶ* reliqui *ἐδωδίμου* del. M², *ἡμέρου* D. III 48 (63, 7) 11 *πυροῦ* Moib.: *μικροῦ* O, cf. D. II 181 (251, 19) 12 *κιχόριον* scripsi: *κιχώριον* O 13 *περδίκκιον* R *σύκου* Q 17 *στύρακι*] *στέατι* H 19 *σταφίδος ἐκγιγαρτισμένης* O, corr. Sar. 20 *γάλακτος*] *ὀποπάνακος* D. V 3 (3, 19) 21 *καταπλασσόμενος* om. R *πυροτάτης* R: *πυραιτάτης* Q, corr. Moib. 22 *ἀναφθέντα* F *καὶ* (alt.) om. Q 23 *δὲ* addidi 24 *γογγύλης* Moib.: *γογγύλη* RH: *γογγύλου* Q (*η* superscr. M²) *ἐγκρυβείσης* Moib.: *ἐγκυβεῖσα* R: *ἐνκρυβεῖσα* Q *ὀπτηθείσης* Moib.: *ὀπτηθεῖσα* O 25 *τοῦ* R *καταπλασσόμενον λεῖον* H: *καταπλασσομένου λείου* reliqui 26 *θαλάσσης* F (corr. M²)

σιον, ἔχιδνα ἑφθὴ ἐσθιομένη· ὠφελεῖ ⟨καὶ⟩ μανδραγόρου ῥίζα 8
σὺν ἀλφίτῳ καταπλασσομένη, μελισσόφυλλον ἢ πήγανον, σί-
νηπυ σὺν μέλιτι, βάλανος μυρεψικὴ σὺν πάλῃ ἀλφίτου, γάλα
γυναικεῖον μετὰ κωνείου, γαλῆς καείσης ἡ τέφρα μετ' ὄξους,
γλήχων μετὰ ἀλφίτου, ἑλξίνη σὺν τραγείῳ στέατι ἢ κηρωτῇ,
ἡλιοτροπίου τοῦ μεγάλου τὰ φύλλα σὺν τοῖς καυλοῖς, θαψίας
χυλὸς καταχριόμενος πρὸς ὀλίγον, ἐφ' ὧν τὴν ἐπιφάνειαν βούλει
ῥευματίσαι· θεῖον ἄπυρον σὺν ὕδατι καὶ νίτρον ὁμοίως, καστό- 9
ριον σὺν ἐλαίῳ συγχριόμενον, κολοκύνθης ξύσματα λεῖα κατα-
πλασσόμενα, κράμβης ὠμῆς χυλὸς μετὰ τηλίνου ἢ φακίνου
ἀλεύρου καὶ ὄξους· ἢ ἀχράδες σὺν ἀλεύρῳ κριθίνῳ καὶ ὄξει,
αἴρινον ἄλευρον φυραθὲν ἀφεψήματι κωδυῶν. καταντλεῖται δὲ
ὠφελίμως ἐπ' αὐτῶν γογγυλίδων σὺν ἅλμῃ ἑψηθεισῶν τὸ
ἀφέψημα, θάλασσα θερμή, ἰτέας φύλλων καὶ φλοιοῦ ἀφέψημα.

229 (236) *πώρους δὲ τοὺς ἐπὶ ποδαγρικῶν καὶ συστροφὰς τῶν νεύρων λύει Ἀμμωνιακὸν σὺν πίσσῃ ξηρᾷ ἐπιτεθέν, βδέλλιον σιέλῳ ἀσίτου μαλαχθέν, κάνναβις ἀγρία καταπλασθεῖσα, στύραξ μαλαχθεὶς ἐν σιέλῳ, σήσαμον καταπλασθέν.*

230 (237) *ἰσχιαδικοὺς δὲ ὠφελεῖ πινόμενα· ἑλιχρύσου ἀφέψημα, ἐρυθρόδανον σὺν οἴνῳ — ἄγει δὲ αἷμα δι' οὔρων, λούειν δὲ δεῖ καθ' ἡμέραν τὸν πίνοντα —, ἐρύσιμον σὺν οἴνῳ, σμυρνίου σπέρμα ὁμοίως, καρδάμου ⟨·α′ σὺν οἴνῳ, ὑπερικόν, καππάρεως τοῦ ἐκ τῶν ἀπίων καρποῦ ⟨·β′ — αἷμα δὲ ἄγουσιν —, ἢ τῆς ῥίζης τοῦ φλοιοῦ ὁμοίως, μήκωνος κερατίτιδος τῆς ῥίζης*

---

15 Test. Aet. XII 65 (113, 7 K.): *ἄλλο Διοσκουρίδου· Ἀμμωνιακὸν μετὰ πίσσης ξηρᾶς συμμαλάξας παρὰ πυρὶ ἐπιτίθει. ἄλλο· στύρακα σιάλῳ νήστεως μαλάξας ἐπιτίθει [τοῦτ' ἔστι νῆστις μασησάμενος]· ποιεῖ καὶ σήσαμον ἄπλυτον λεῖον καταπλαττόμενον.*

19 EXC. Aet. XII 1 (19 sq. K.).

---

1 *ἔχιδνα — καὶ* om. Sar. post *ὠφελεῖ* dist. Q *καὶ* addidi post *καὶ* transp. *μελισσόφυλλα* (sic) Q *μανδραγούρου* F 2 *μελισσόφυλλιν* R *ἢ* fort. del. 7 *βου(λ'* superscr.) Q 9 *κολοκύντης* F *λεῖα* om. R 10 *χυλὸν* F 11 *καὶ* (pr.) R: *ἢ* Q *ἀχράδων ἄλευρον σὺν κριθίνω* (*ἐριθίνω* Q) O, corr. Moib. 12 fort. *ἢ αἴρινον*

15 *σγ̄* F *πόρους* Q (corr. M[2]) *τὰς συστροφὰς* Q 17 *σιέλῳ* H: *σιελῷ* RF *κάρραβις* F (*ἐν ἄλλω κάνναβις* mg. add. M[2]) *ἐπιπλασθεῖσα* R 18 *μαλαχθεῖσα* Q fort. *σήσαμον λεῖον*

19 *σδ̄* F 20 *ἐρυθροδάνου* Q 21 fort. *ἐρυσίμου σπέρμα* ex Aet. *οἴνῳ*] *μέλιτι* D. II 158 (224, 5): *cum melle et fico* Pl. 22, 158 22 *σπέρματος* Q 24 post *φλοιοῦ* add. ⟨· *α′* Q

ἢ τῆς πόας ὀξύβαφον ἑψηθὲν σὺν ὕδατος κο΄ δ΄ εἰς τὸ ἥμισυ·
2 ἴρεως ῥίζα σὺν γλυκεῖ, πηγάνου ἀγρίου καὶ ἡμέρου ⟨·α΄ σὺν
ἀνήθου ἀφεψήματι καὶ οἴνῳ· σπάρτον τὰς ῥάβδους σὺν τοῖς
φύλλοις ἐν ὄξει βρέχε ἐπὶ πλείονας ἡμέρας, ἔπειτα κόψας
καὶ χυλίσας δίδου πιεῖν ἕνα κύαθον· σύμφυτον πετραῖον ἑψη-
θὲν σὺν ὑδρομέλιτι, πενταφύλλου ῥίζης ὁ χυλός, ἀβροτόνου
ἀφέψημα καὶ τοῦ καρποῦ ⟨· α΄ μετ᾽ οἴνου, ἀγαρικοῦ ξε΄ α΄ μετ᾽
οἴνου, Αἰθιοπίδος ἀφέψημα μετ᾽ οἴνου, πολύγονον μετὰ οἴνου,
ἀρκτίου ῥίζα μετὰ οἴνου καὶ τὸ ἀφέψημα, Κενταυρείου ⟨τοῦ
3 λεπτοῦ⟩ ἀπόζεμα, ἀλθαίας ῥίζης ἀφέψημα· Ἀμμωνιακοῦ ⟨·α΄
σὺν μελικράτῳ ἢ ὕδατι — ἄγει δὲ αἷμα δι᾽ οὔρων —, ὑπερι-
κοῦ ἢ ἀνδροσαίμου ⟨· β΄ σὺν μελικράτου κο΄ γ΄ — ἄγουσι δὲ
κόπρον πολλὴν καὶ φλέγμα —, ἀρκευθίδες μετὰ οἴνου, ἀσπαρά-
γου ῥίζης ἀφέψημα καὶ ὁ καρπός, ἄσφαλτος ἀντὶ καταποτίου
λαμβανομένη, βαλσάμου καρποῦ ⟨⟨·⟩ ἐξ σὺν μελικράτῳ, χαμαικίσ-
σου φύλλων ⟨ὀβολοὶ⟩ τρεῖς ἐπὶ ἡμέρας μ΄, χαμαιπεύκης ⟨·β΄
μετὰ οἴνου, σαγαπηνοῦ ⟨·β΄ μετὰ ὕδατος ἐπὶ ἡμέρας τρεῖς λαμ-
βανόμεναι.

231 (238) κλυσμοὶ δὲ ἁρμόζουσιν ἐπὶ ἰσχιαδικῶν γάρος ⟨ὁ⟩ ἐξ ἰχθύων ταριχηρῶν καὶ σιλούρων, ἴρεως ἀπόζεμα, Κενταυρείου τοῦ λεπτοῦ, κολοκυνθίδος, ἀριστολοχείας ῥίζης ὁμοίως ἐν ὕδατι, θλάσπιος σπέρμα λεῖον ἐνεθὲν ἢ καὶ ἑψηθὲν ἐν ὕδατι, λεοντοπετάλου ῥίζα ἀφεψηθεῖσα ἐν ὕδατι, ἅλες ἢ νίτρον σὺν μελικράτῳ, ἅλες σὺν πτισάνης χυλῷ· σπάρτον θαλάσσῃ βρέξας

---

1 ὕδατι Q 2 πήγανον ἄγριον καὶ ἥμερον O, corr. Moib. <· α΄ post ἀφεψήματι colloc. O, transp. Moib. 3 ἀφεψήμασι Q καὶ] σὺν O, correxi (vit. sollemne) σπάρτον O: σπαρτίου D. IV 154 (300, 8), at cf. Pl. 24, 65 ad verba σὺν τοῖς φύλλοις cf. Pl. 24, 66 4 ὄξει Pl. l. s.: ὕδατι D. l. s. βρέχε ἐπὶ scripsi: βρέχειν O 5 χυλίσας] ἀφυδίσας O, corr. Moib. δίδου H: καὶ reliqui, δὸς coni. Sar. ἑψηθέντα Q 6 σὺν οἰνομέλιτι Aet. 7 ξε̃ ᾱ Q (chart. laes. F): ξ̄ ᾱ R: ὁλκὴ τριωβόλου D. III 1 (3, 3), *obolis tribus* Pl. 26, 90: <· α΄ Moib., fort. <· ἡμίσεια 8 πολύγονον] πολεμώνιον coni. Moib., sed cf. Pl. 27, 115, ut recte monet Sar. 9 ἄρκτον O, corr. Moib. τοῦ λεπτοῦ addidi ex Aet. 11 ὑπερικοῦ] ἀσκύρου coni. Moib., at cf. Aet. l. s. 12 fort. ἀνδροσαίμου σπέρματος coll. Aetio μελικράτου N: μελικράτῳ (ut videtur) reliqui 15 καρποῦ O: καρποὶ Sar.: καρπὸς (del. ἐξ Moib.) <· addidi 16 φύλλων R: φύλλα FH ὀβολοὶ addidi coll. D. IV 125 (273, 3) Pl. 24, 135 17 μετὰ οἴνου] σὺν ὕδατι D. IV 126 (273, 7) τρεῖς R: γ΄ F: λ̄ N, fort. recte

19 num. cap. om. F ὁ addidi 21 ἐν R, σὺν reliqui 22 καὶ om. R 24 πλισάνης F: πισάνης R ἢ post χυλῷ add. R fort. ἐν θαλάσσῃ

*ἐφ' ἱκανὰς ἡμέρας, εἶτα ἐγκόψας καὶ χυλίσας ἔνες — αἷμα δὲ
ἄγει —, κολοκυνθίδος ἐντεριώνη ἐν πιτύρων ἀφεψήματι ἀπο-
βραχεῖσα. ὠφελοῦνται δὲ λίαν, εἰ προεγκλύσας τις αὐτοὺς ἐξ* 2
*οἴνου κλύσματι σικύους ἀγρίους ἐναποθλίψει τῷ δακτυλίῳ·
αἷμα γὰρ ἄγουσι.* (239) *μετὰ τὸ κλύσαι ποιεῖ τὸ διὰ τοῦ νάπυος
μέχρι πυρώσεως ἐντιθέμενον, μεθ' ὃ κηρωτὴ τοιαύτη· κηροῦ
₰ α', κυπρίνου ₰ γ', ὀποπάνακος Γο β'* [*ἐν ἄλλῳ Γο α'*].

232 (240) *καταπλάσσεται δὲ ἐπὶ ἰσχιαδικῶν πύρινον ἢ κρί-
θινον ἄλευρον ἑψηθὲν μετ' ὀξυκράτου καὶ πίσσης, αἴρινον
ἄλευρον ἑψηθὲν μετὰ μελικράτου καὶ λινοσπέρμου καὶ νίτρου
καὶ σύκων ἑφθῶν, ἢ σισυμβρίου σπέρμα, κολοκυνθίδος* ⟨*σπέρ-
μα*⟩ *ἴσα· μυροβάλανος σὺν μελικράτῳ καὶ αἰρίνῳ ἀλεύρῳ, τῆλις
μετὰ αἰρίνου ἀλεύρου καὶ ὀποῦ συκῆς καὶ ὄξους, πίσσα σὺν
ὄξει ἐν ὀθονίῳ καὶ γῦρις ἑφθή· καλάμου φραγμίτου ῥίζα μετ'* 2
*ὄξους, καλαμίνθη μετ' οἴνου — ἐπικαίει δὲ τὴν ἐπιφάνειαν —,
λεπίδιον ὁμοίως ὡς τέταρτον ὥρας ἐπιτιθέμενον· δεῖ δὲ θερ-
μῷ ὑποκλύζειν αὐτούς. ποιεῖ δὲ καὶ κάρδαμον σὺν ὄξει καὶ
ἀλφίτοις, σελίνου φύλλα σὺν οἴνῳ ἑψηθέντα, θέρμινον ἄλευρον
σὺν ὄξει.*

233 (240) *τὰς δὲ ἀρχομένας ἰσχιάδας ναρθηκισμὸς θερα-
πεύει ἄχρις ἀπαλλαγῆς, καὶ τὸ σύγχρισμα τοῦτο· σμύρνης,
ἀφρονίτρου, πεπέρεως, ἰρίνου ὑποστάθμης* ⟨*ἴσα*⟩, *ὄξους τὸ αὔ-
ταρκες· ἢ σῦκον, νᾶπυ, νίτρον, κολοκυνθίς, ἴσα ἀφεψηθέντα
καὶ συντεθέντα· ἢ θύμος ἢ θύμβρα μετὰ οἴνου καὶ ἀλφίτων,
ἢ κολοκυνθίδος χλωρᾶς ὁ χυλὸς ἀναμισγόμενος, σίλφιον λεῖον*

---

1 post *ἔνες* spat. rel., verba *αἷμα δὲ ἄγει* insequ. remedio adiungit O 2 *ἐντεριώνη* (comp. scr.) H: *ἐντεριῶναι* reliqui *ἀποβραχεῖσα* H: *ἀποβρεχεῖσαι* R: *ἀποβραχεῖσαι* reliqui 3 *προκλύσας* O, correxi *ἐν οἴνῳ* O, corr. Moib. 4 *ἐναποθλίψει* Q: *ἐναποθλίψῃ* R 5 a verbis *μετὰ τὸ* nov. cap. inc. Moib. *τὸ διὰ* om. Q 7 ₰ *α'*] *λίτρα λᾱ* F (corr. M[2]): *Λ* (*τρ* superscr.) H var. lect. delevi

8 cap. anteced. adiung. O, nov. cap. inc. Moib. *ἢ* om. RF 9 *ἑψήσαντα* O, correxi 10 *ἑφθὸν* Q 11 *ἢ* fort. del. *σισυμβρίου*] *συκανπρον* R (mend. not.): *σικάμπρου* H: *σεκάμπρον* reliqui, corr. Moib. *σπέρμα* (alt.) add. Sar. 13 *ὀπὸς* Q *ὀπὸς συκῆς μετ' ὄξους* Moib. *ὄξος* H 14 *ἐν* Moib.: *καὶ* O *γῦρις* Moib.: *γύρει* RF (*η* superscr. M[2]): *γύριί* H 15 *ἐπικαεῖ* Q 18 *ἀλφίτοις*] *ἀλσὶν ἴσοις* O, corr. Moib. e D. II 155 (222, 8)

20 *σε̄* F *ναρθηκισμὸν* F 21 *ἄχρι* Q *τὸ* om. R *χύλισμα* H 22 *ὑποστάθμη* R: *ὑποστάθμην* F: correxi *ἴσα* addidi *τὸ* om. Q 23 *κολοκύνθης* Q 24 *θύμον* O, correxi *θύμβρον* R: *θρύμβον* Q *ἀλφίτου* Q 25 *τοῦ χυλοῦ ἀναμισγομένου* coni. Moib.

ἢ πευκέδανον σὺν ἐλαίῳ ἀνατριβόμενον, σκαμμωνίας ῥίζα σὺν
2 ἀλεύρῳ κριθίνῳ καταπλασσομένη· σπάρτον ἐν ὄξει βραχὲν ἐφ᾽
ἱκανὰς ἡμέρας καὶ κοπὲν καὶ χυλισθὲν καὶ μιγὲν νίτρῳ καὶ
ἐλαίῳ καὶ συναλειφόμενον· ποιεῖ καὶ πρὸς τὰ συντεταμένα
τῶν νεύρων· ποιεῖ καὶ ὁ τῶν σωματεμπόρων δρώπαξ συνεχῶς
προστιθέμενος· ἔστι δὲ πίσσα ὑγρὰ μετὰ ξηρᾶς πίσσης ἑψο-
3 μένη [ἢ] πρὸς ἴσην· μήκωνος ἀγρίας φύλλα καὶ κωδύαι σὺν
ἀλφίτῳ καταπλασσόμενα· δεῖ δὲ καὶ ξηραίνειν αὐτὰ μίσγοντα
ἀλεύρῳ καὶ ποιοῦντα τροχίσκους ἀποτιθέναι, ἐπὶ δὲ τῆς χρείας
ὄξει ἀναλύειν. ποιεῖ δὲ καὶ κρίθινον ἄλευρον μετὰ ἀφεψήμα-
τος κωδυῶν ἢ μελικράτου.

234 (241) πυρίαι δὲ ἰσχιάδος καὶ τῶν ἄλλων ἀλγημάτων ἱκανῶς ἐνεργοῦσι· βοὸς νομάδος πρόσφατον ἀπόπατον ἐνειλήσας φύλλοις καὶ θερμάνας ἐν θερμοσποδιᾷ ἐμπλάσας ⟨τε⟩ εἰς ὀθόνιον ἐπίθες· ἅλες φρυκτοὶ ἐν σάκκῳ ἢ κέγχρος ⟨ἢ⟩ ἀμφότερα μιγέντα ἢ ἔλυμος ὁμοίως, ἢ πίτυρα ἑφθὰ σὺν δάφνης φύλλοις καὶ ἅλμῃ ἢ θαλάσσῃ ἢ μελικράτῳ ὁμοίως εἰς σάκκον βαλλόμενα ἐκ πυκνοῦ πεποιημένου ῥάκους.

235 (242) καύσεις δὲ ἰσχιαδικῶν ὠφελοῦσιν αὗται· σπυρά-
θους αἰγὸς πυρώσας ἐπιτίθει ἐπὶ τὸ μεταξὺ τῶν νεύρων τοῦ
ἀντίχειρος κοῖλον, ἔλαιον προυποχέας ἢ ἔριον ἐλαίῳ βρέξας,
καὶ ὑποθεὶς πύρωσον, ἕως ἂν οὗ διὰ τοῦ βραχίονος ἡ αἴσθησις
ἐπὶ τὸ ἰσχίον ἔλθῃ· ἢ πήλινον κυκλίσκον ποιήσας μέγεθος ἀσ-
σαρίου βάθος δὲ δακτύλου, ἐπίθες ἐπὶ τὸν ἀλγοῦντα τόπον·
2 ἔρειδε δὲ κατ᾽ αὐτοῦ πεπυρακτωμένον καυτήριον ἄχρις αἰσθή-
σεως δυσανασχέτου, ἢ ἀποτείνας τὸ δέρμα κατὰ τὸν ἀλγοῦντα

---

19 SIM. Cael. Aur. M. Chr. V 1.
19 EXC. Aet. XII 1 (17 K.).

---

1 *σκαμώνια* F   3 *καὶ ἐλαίῳ* om. Q   4 *καὶ* (pr.) suspectum   6 *ἑψωμένης* R: *ἑψομένης* H: *ἑψημένης* reliqui, correxi   7 *ἢ* del. Moib.   8 *καταπλασσόμεναι* H   *σμίγοντα* F   9 *ἄλευρον* Q   *ἀποτιθέμεναι* R: *ἀποτιθέμενα* F (*ἐπιτιθέμενα* M, *α* superscr. M²): *ἐπιτιθέμενα* H, corr. Sar.

12 nov. cap. inc. Moib.   13 *ἐνεργοῦσι* RF: *ἐνεργοῦνται* A: *ἐνεργοῦσαι* Moib.   14 *τε* addidi   15 *ἢ* add. Moib.   16 *ἔλιμος* Q   17 *βαλλόμενα* R: *βαλόμενα* H: *καλούμενα* (*υ* post *κα* superscr. M) reliqui

19 nov. cap. inc. Moib.   20 *νεύρων* RH: *οὐρῶν* reliqui, cf. D. II 80 (162, 12) 21 fort. *ἐν ἐλαίῳ*   22 *ἡ* om. Q   *αἰσθήσεις* Q (corr. H)   23 *τῇ ἰσχεῖν* F *ἀσαρίου* R   25 *ἔρειδε* H: *ἔρει* reliqui   *καὶ τήριον* (sic) FM: *βακτήριον* R (mg. add. M²), correxi, cf. Aet. XII 1 p. 17, 1 K.   *ἄχρι* Q   26 *δυσανεσχέτου* F

τόπον διαιρεῖ γραφίδι πεπυρωμένῃ ἐκ διδακτυλιαίου διαστήματος. Λίβυες δὲ πυραμίδα ποιήσαντες ἐκ λωτοῦ πρισμάτων καὶ θείου ἀπύρου καὶ ἐλατηρίου ἐπιτιθέασιν ἐπὶ τὸ ἀλγοῦν μέρος, προυποτιθέντες διπλοῦν ὀθόνιον ἢ ταινίδιον ἢ λεπτὸν ὀστάριον, ἐφ᾽ ὧν ἐπιτιθέασιν ἡμμένην τὴν πυραμίδα. Μαρμαρί- 3
δες ⟨δὲ⟩ ὑγροῖς ξύλοις ἐλαίνοις περικεχυμένοις καίουσιν θερμαίνοντες αὐτά, ὥστε μὴ καίεσθαι, θερμὰ δὲ καὶ ἔνικμα γίνεσθαι. Πάρθοι δὲ μολυβδοῦν σωλῆνα ποιήσαντες ἀπύθμενον ἔχοντα ὦτα ἐπὶ τὰ ἀλγοῦντα ἐπιτιθέασι, προυποχρίσαντες τὴν βάσιν τοῦ σωλῆνος στέατι πρὸς τὸ μὴ παρεκρυῆναι τὸ ἔλαιον· περιβάλλουσι δὲ ἱματίοις ἐπιμελῶς πρὸς τὸ μὴ βλάπτεσθαι ὑπὸ
τῶν ἀπορραινομένων ῥανίδων· ἔπειτα καθιᾶσι ζεστὰ καυστήρια 4
τεσσαράκοντα ἢ πεντήκοντα, ἄχρις ἂν οὗ αἴσθησίς τις περὶ τὸν τόπον γένηται· περιμάττουσι δὲ καὶ τὸ πρόσωπον ψυχρῷ ὕδατι διὰ τοὺς ἐκ τῆς θερμασίας ἐπιγινομένους ἱδρῶτας, καὶ διὰ τοῦτο περιβεβλῆσθαι δεῖ ⟨καὶ⟩ μὴ λίαν πληροῦν τὸν σωλῆνα· ὑπερχεῖται γὰρ ἐν τῇ ζέσει.

καὶ περὶ μὲν τούτων ἐπὶ τοσοῦτον, τὰ δὲ λοιπὰ ἐν τῷ ἑξῆς διελευσόμεθα.

---

1 γραφίδι H: γραφία reliqui πεπυρακτομένη H δακτυλιαίου H: διδακτυλιαῖον F διαστόματος F (corr. M²) 3 ἀπύρου H: πύρου RF 4 μέρος om. H προσυποτιθέντες F λεπτὴν F (ο superscr. M²) 5 ὀστάριον O: ὄστρακον Moib. ἐμμένην F (ή superscr. M²): ἐμμένειν H (η superscr.) μαρμαρίδοι R, cf. D. II 173 (241, 15) 6 δὲ addidi ἐλείνοις H περικεχυμένους RF 7 καίεσθαι Moib.: κάσθαι O ἔνικμα H: ἔνιγμα reliqui 8 μολίβδουν (μολιβδοῦν H) O 9 τιθέασι R 10 σταιτὶ coni. Sar. παραρεκρουῆναι M 13 ῦ F 14 γίνεται F 15 ἐπιγενομένους F, om. R, correxi 16 καὶ add. Moib. πληροῦντες H: πληροῦν reliqui, fort. πεπληρῶσθαι 17 γὰρ H: δὲ R, om. reliqui 18 περὶ] μέχρι RF 19 post διελευσόμεθα aliena add. F

ΠΕΔΑΝΙΟΥ ΔΙΟΣΚΟΥΡΙΔΟΥ ΑΝΑΖΑΡΒΕΩΣ ΠΕΡΙ ΑΠΛΩΝ ΦΑΡΜΑΚΩΝ ΒΙΒΛΙΟΝ ΔΕΥΤΕΡΟΝ

τὴν τῶν ἁπλῶν φαρμάκων ἐνέργειαν ἐν δυσὶν καταχωρίσαντες βιβλίοις, τιμιώτατε Ἀνδρόμαχε, καὶ ἀμφότερα σοὶ ἀναθέντες, ἐπελθόντες τε ἐν τῷ πρὸ τούτου βοηθήματα ἁρμόζοντα τοῖς περὶ κεφαλὴν καὶ ὀφθαλμοὺς καὶ ἀρτηρίαν καὶ τὴν λοιπὴν ἐπιφάνειαν συνισταμένοις πάθεσιν, ἐν τούτῳ περὶ τῶν λειπομένων διευκρινήσομεν, ἀρξάμενοι ἀπὸ τῶν περὶ τὸν στόμαχον συνισταμένων παθῶν, προδιαστειλάμενοι, ὅτι ἐπὶ τῶν πινομένων, ἐφ᾽ ὧν τὰς ποσότητας οὐ προσγράφομεν, ἡ μὲν ἐλαχίστη πόσις ἐστὶ τριώβολον, ἡ δὲ μέση δραχμὴ μία, ἡ δὲ τελεία δραχμαὶ δύο.

1 (1) *τοὺς χρονίως καυσουμένους τὸν στόμαχον ὠφελεῖ ἅμα καὶ δίψαν παύει γλυκυρρίζης χυλὸς πινόμενος καὶ ⟨αὐτὴ⟩ ἡ ῥίζα σὺν ὕδατι, ἑλίκων ἀμπέλου ἀπόβρεγμα, ἀνδράχνης χυλὸς καὶ αὐτὴ ἐσθιομένη, σέριδος χυλὸς καταρροφούμενος, πολυγόνου χυλὸς ὁμοίως. ἐπὶ δὲ τῶν ἐξ ἀσθενείας ἀναλαμβανόντων δίψαν παύει κράμβη ἐσθιομένη ἔνωμος, σῦκα ἁπαλά, στρόβιλοι ἐσθιόμενοι, σύμφυτον πετραῖον διαμασώμενον.*

13 EXC. Orib. IV 558, 31. Aet. IX 4.

1 tit. *περὶ δανίω τοῦ αὐτοῦ* (atr. r.) F: *διοσκουρίδου ἀναβαρζέως* (sic) *περὶ ἁπλῶν φαρμάκων βιβλίον δεύτερον* MH, om. R 3 *καταχωρήσαντες* RF 4 *ἀμφοτέρω* M (corr. M², ch. laes. F) *σοὶ* om. superscr. M² 6 *τοῖς*] *τῆς* M 8 *διευκρινήσωμεν* F (*ευ* in mg. in *α* corr. M²): *διακρινήσομεν* R 9 *προσδιαστειλάμενοι* F

13 *τϙ̄* F tit. *περὶ* (l. *πρὸς*) *τοὺς χρονίως καυσομένους τὸν στόμαχον* F *καυσομένους* (ut semper) F 14 *αὐτὴ* addidi ex Aet. 16 fort. *αὐτὴ δὲ σέρεως* Aet. 17 ab *ἐπὶ* nov. cap. (*τζ̄*) inc. F, spat. post *ὁμοίως* rel. R ad *ἀναλαμβανόντων* cf. D. V 6 (11, 2), *ἀναλαμβανομένων* H 18 *ἔνωμος* om. F (add. M²) 19 post *διαμασώμενον* add. F (del. M²) *ἐπίθετον εἰς στόμαχον* (atr. r.)· *φύλλα κράμβης ὠμὰ τρίψον μετὰ μέλιτος ἐπιτίθει*

2 (1) καταπλασσόμενα δὲ ὠφελεῖ στομάχους καυσουμένους καθ' ἑαυτὰ καὶ σὺν ἀλφίτῳ· ἀειζώου ῥίζα, κοτυληδόνος φύλλα, κύπρου φύλλα, πολύγονον, σέρις, σόγχος, σέλινον, στρύχνον κηπαῖον, ἕλικες ἀμπέλου καὶ τὰ φύλλα, ἀνδράχνη μετ' ἀλφίτου ἢ ἄρτου, φύλλα ἀμπέλου καθ' ἑαυτὰ ἐξ ὕδατος ψυχροῦ, ἐλάτη λεία σὺν ἀλφίτοις.

3 (2) τοὺς δὲ τὴν ἐπιφάνειαν καυσουμένους ὠφελεῖ κολοκύνθης ξυσμάτων ὁ χυλὸς μετὰ ῥοδίνου, ἢ ὄμφακος χυλὸς σὺν ῥοδίνῳ.

4 (3) χολὴν ⟨δὲ⟩ γεννῶντας μέλαιναν καὶ ἐμφυσωμένους στόμαχον καὶ ἔντερα ὠφελεῖ γλήχωνος ἀπόζεμα ἢ ἀπόβρεγμα πινόμενον, καὶ ὕδωρ τὸ ἀπὸ τοῦ πεπυρωμένου σιδήρου. ἁρμόζουσι δὲ καὶ σπόγγοι ἐξ ὄξους ἐπιτιθέμενοι, ⟨καὶ⟩ μάλιστα κατὰ τὴν ἐμφύσησιν τῶν ἐντέρων καὶ τῆς διανοίας τὴν παρατροπήν. εἰ δ' ἐπιμένοι, στυπτηρίαν ὑγρὰν μετὰ χαλκάνθου 2 ⟨λείου⟩ καὶ ἀλόης καὶ μέλιτος ἐπιτίθει κηρωτῇ μείξας· ἢ κισσοῦ φύλλα ἑφθὰ σὺν οἴνῳ κατάπλασσε, ἢ ἀρνόγλωσσον λεῖον σὺν ἁλσίν· ἢ βοὸς ἀγελαίας βολβίτῳ ξηρῷ ἐν οἴνῳ ἡψημένῳ, ἢ πρασίῳ μετ' ἄρτου καὶ ῥοδίνου, ἢ βολβοῖς μετὰ στυπτηρίας λείοις.

5 (4) ἐπὶ δὲ τῶν λυγμῶν ἁρμόζει πινόμενα· ἀλύσσου τῆς

---

1 EXC. Aet. IX 4.

7 EXC. Aet. IX 4.

10 EXC. Arch. (Gal. XIII 172), ex quo Orib. V 483, 6 (unde Paul. III 37); cf. Orib. IV 558, 33.

10 TEST. Aet. IX 2: *Διοσκουρίδου· ἐπιτηδειότατόν ἐστι τοῖς χολὴν μέλαιναν γεννῶσι καὶ ἐμπνευματουμένοις καὶ δακνομένοις γλήχωνος ἀφέψημα πινόμενον, ἢ ὕδωρ ἐν ᾧ σίδηρος ἀπεσβέσθη πλειστάκις.*

21 SIM. Arch. (Gal. XIII 176), unde Didym. (Al. Tr. II 319), Orib. V 477.

---

1 nov. cap. (τη) inc. Q   καταπλασσομένη F (corr. M²)   στομαχικοὺς Q   2 ἑαυτὸ O, correxi   3 πολύγονον N: πολυγόνου reliqui   σεμνὸν O, corr. Moib.

7 τθ F   καυσουμένους τὴν ἐπιφάνειαν Q, at cf. Aet. l. s.   9 post ῥοδίνῳ add. ἀψινθίου φύλλων ἀπόζεμα (l. ἀποζέματος) ποτήριον ἓν κατὰ πρωὶ ἢ ἐπίθυμον μετ' ὀρροῦ γάλακτος πέντε ἢ ϛ φορὰς τὸν μῆνα F (del. M²)

10 υ F   δὲ addidi   11 τὸν στόμαχον Arch.   12 post σιδήρου add. F (del. M²) ἐν ᾧ σίδηρος σβέννυται   13 καὶ addidi ex Arch.   μάλιστα ἐν ταῖς ἐπιτάσεσι Arch.   15 ἐπιμένει Q   16 λείου addidi ex Arch.   fort. κηρωτῇ μυρσινίνῃ ex Arch.   17 φύλλοις ἑφθοῖς Arch.   18 βόλβιτον ξηρὸν κτλ. Moib.   ἑψημένω F: εἱψημένω R: correxi   19 πρασσίου F   ἢ (alt.)] καὶ Q (chart. laes. F)   βολβοῖς πυρροῖς Arch.   20 λείοισιν (-σι F) Q

21 να F   δὲ om. F, superscr. M²

πόας ἀφέψημα, καὶ αὐτὴ κρατηθεῖσα, ἀνήθου σπέρμα πινόμενον καὶ ὀσφραινόμενον, ἀριστολοχείας ῥίζα μεθ᾽ ὕδατος, ἀσπληνος πόα μετ᾽ ὀξυκράτου, ἡδυόσμου κλωνία ⟨τρία⟩ σὺν ῥοᾶς ὀξείας χυλῷ, καστόριον σὺν ὄξει, κύμινον σὺν ὄξει, ῥᾶ σὺν ὕδατι, σισυμβρίου τῆς καρδαμίνης λεγομένης χυλὸς καὶ τὸ
2 σπέρμα, πταρμικοῦ προσαγωγή. τὸν δὲ διὰ ψῦχος λυγμὸν λύουσιν ἄκραι χεῖρες εἰς θερμὸν ὕδωρ καθιέμεναι, ὕδατος θερμοῦ καταρρόφησις, σπόγγος ἐκ ζεστοῦ ὕδατος προσαγόμενος τῷ στομάχῳ, ἔλαιον Σικυώνιον ἀνατριβομένων τῶν ἄκρων.

6 (5) πρὸς δὲ τὰ ἀλγήματα τοῦ στομάχου ποιεῖ γάλα γυναικεῖον ἢ βόειον ἢ ὄνειον θηλαζόμενον, ἢ πινόμενον [ἢ] κόχλαξι συναφεψόμενον, γεντιανῆς ⟨· α´ μεθ᾽ ὕδατος, μαστίχης κοχλιάριον ἓν καθ᾽ ἡμέραν πινόμενον ἢ διαμασώμενον τοῦ χυλοῦ καταπινομένου, ἡδυόσμου κλωνίων τριῶν φύλλα σὺν ὀξείας ῥοᾶς χυλῷ καταρροφούμενα, γλήχων μετ᾽ ὀξυκράτου.

7 (6) πρὸς δὲ τοὺς δηγμοὺς τοῦ στομάχου τερμίνθου φύλλα ἀφηψημένα, ὁμοίως σκορδίου χύλισμα, σόγχου χυλὸς μετὰ στροβίλων καὶ καρύων πικρῶν καὶ σικύου ⟨ἀγρίου⟩ σπέρματος, κῶνοι ἐσθιόμενοι καθ᾽ ἑαυτούς. (7) καταπλασσόμενα δὲ ὠφελεῖ ἀλγήματα στομάχου· μελίλωτον ἐν οἴνῳ ἑφθὸν μετὰ τηλίνου ἀλεύρου ἢ γύρεως, Κυδώνιον ἑφθὸν σὺν οἰνάνθῃ, [ἢ] πήγανον σὺν μέλιτι.

8 (8) πρὸς δὲ τοὺς τὴν τροφὴν ἀποβάλλοντας ἐπιτιθέμενος ὠφελεῖ σπόγγος ἐξ ὄξους δριμέος ἄχρις φλυκταινώσεως ἐπί τε τοὺς πόδας καὶ βραχίονας· ἐπὶ δὲ τοῦ θώρακος καταπλασσόμενος τυρὸς νεαλὴς μετ᾽ ἀλφίτου ἢ σελίνου φύλλων, ἢ

10 EXC. Arch. (Gal. XIII 171).
16 SIM. Orib. IV 558, 35.
23 EXC. Arch. (Gal. XIII 174. 171).

1 fort. *αὐτὴ δὲ* 2 *ἀποσφραινόμενον* O, correxi 3 *τρία* addidi e D. III 34 (46, 1) 4 *κύμινον* Moib.: *κλύμενον* (*κλύμενοι* M) O, sed cf. D. III 60 (72, 11) *ῥᾶ*] *ῥοῖα* O (chart. laes. F), cf. D. III 2 (4, 9) 6 *δὲ* om. F (superscr. M[2]) *ψύχους* F

10 *υβ̄* F 11 *ἢ* del. Moib., cf. Arch. l. s. *κόχλα συναφεψόμενον* Q: *κόχλασιν ἀφεψόμενον* R, corr. Moib., nisi praestat *ἐν κόχλαξιν ἀφεψόμενον* 12 fort. *μαστίχης Χίας* ex Arch. 14 *ἢ ἡδυόσμου* H

16 *υγ̄* F fort. *στομάχου ποιεῖ* 17 *ἀφεψόμενα* Q 18 *ἀγρίου* addidi ex Arch. 19 a *καταπλασσόμενα* nov. cap. inc. Moib. 20 *τηλίνου*] *λίνου* F (mg. add. *ἐν ἄλλῳ τηλίνου ἀλεύρου* M[2]) 21 fort. *μῆλον Κυδώνιον* *οἰνάνθῃ* R: *ἄνθει* (*ἄνθη* MH) Q (mend. not. H) *ἢ* delevi

23 *υδ̄* F 24 *ἄχρι* Q 26 *νεώλης* F *φύλλα* H, at cf. Arch. (Gal. l. s. 171, 5)

σέριδος ⟨φύλλα⟩ μετ' ὄξους καὶ ἀλφίτων, ἢ ἀνδράχνης ὡσαύτως,
ἢ κολοκύνθης ξύσματα ὁμοίως.
9 (9) τοὺς δὲ ναυτιῶντας καὶ πλαδῶντας ὁμοίως τὸν στό-
μαχον καὶ ἐξεμοῦντας ἵστησι πινόμενα· ἄλφιτα σὺν οἴνῳ,
ἀμύγδαλα γλυκέα πρόσφατα σὺν τῷ λέπει ἐσθιόμενα, ἀγρώστεως
τῆς ἐν Παρνασσῷ σπέρμα, κύμινον Αἰθιοπικόν, ἀνήθου σπέρμα·
πολυγόνου χυλός, καὶ κιχόριον ἐσθιόμενον καὶ σέρις, καὶ ὁ χυ-
λὸς πινόμενος· σισύμβριον ἡ καρδαμίνη λεγομένη πινομένη, 2
θέρμοι γλυκεῖς λεῖοι σὺν ὄξει ποθέντες, θρίδακες ἄπλυτοι
ἐσθιόμεναι καὶ τὸ σπέρμα πινόμενον μετὰ ὕδατος, σόγχου
ὁμοίως, ἴον ἄνθος μετὰ ὕδατος, κόστου ⟨· α' μετ' οἴνου· κο-
χλίου χερσαίου Λιβυκοῦ σὰρξ ὅλη καταποθεῖσα νήστεσιν καὶ
ἀλγήματα παύει στομάχου, προεσθιόμενοι δὲ ἔνωμοι δύο ἢ
τρεῖς ἡμέρας τὸ αὐτὸ ποιοῦσιν· ποιεῖ δὲ καὶ σὺν τῷ ὀστράκῳ 3
ὅλος καταποθεὶς τοῦ ὀστράκου περιπασθέντος, γίγαρτα φρυκτὰ
ἀντὶ ἀλφίτων ἐπιπασσόμενα, γλήχων καταπλασθεῖσα ἐξ ὀξυ-
κράτου, κύμινον σὺν ὀξυκράτῳ πινόμενον ⟨ἢ⟩ σὺν ὄξει· λαπά-
θου ⟨ἀγρίου⟩ σπέρματος ὀβολοὶ δύο ἢ τρεῖς, ἀκακία μετὰ ὕδα-
τος, λίθος ὁ ἐν τῇ Σαμίᾳ γῇ εὑρισκόμενος, μαράθου σπέρμα
ἢ χύλισμα, μάλιστα τοῖς ἀποξύνουσιν ἢ ἐμοῦσι τὴν τροφήν.
10 (10) τοὺς δὲ ῥευματισμοὺς τοῦ στομάχου ἵστησιν βα-
λαύστιον μετ' ὄξους ποθέν, βάτου χυλὸς καθ' ἑαυτὸν καὶ μεθ'
ὕδατος, ὕδωρ τὸ ἀπὸ σιδήρου πεπυρωμένου θερμανθέν, ὄξος
σκίλλινον καταρροφούμενον — δεῖ δὲ ἀπ' ὀλίγου ἄρχεσθαι καὶ
πίνειν ἄχρι κυάθου —· ῥοὰ μεθ' ὕδατος ψυχροῦ, σκάνδικος 2
ἀφέψημα, σκίλλης ἑφθῆς τριώβολον ἐν ὀξυκράτῳ, ὑποκιστίδος
⟨· α' ἐν ὕδατι, φακὸς πεφωγμένος ἀντὶ ἀλφίτου ἐπιπασσόμενος,

3 EXC. Arch. (Gal. l. s. 172, 2).

1 *φύλλα* addidi ex Arch. *μετ' ὄξους* Arch.: *καὶ ὄξους* O post *ἀλφί-των* add. *καὶ σελίνου φύλλων* Arch.

3 *νε̄* F *ὁμοίως* suspectum 7 fort. *χυλὸς πινόμενος* *καὶ* (pr.) suspectum *σέροις* F 8 *ἢ* F 9 *ἄπλυται* F 15 *ὅλως* F *περιπλαοθέντος* O, corr. Gesn. 16 *ἐπιπασσόμενα* egregie Sar.: *ἐσθιόμενα* O, cf. D. V 3 (3, 6), Pl. 23, 13 17 *ὀξυ-κράτῳ* (superscr. *ὀξυλαπάθῳ*) H *ἢ* add. Moib. *σὺν ὀξυλαπάθου* R: *σὺν ὄξει λαπάθου* F (mg. add. *ἐν ἄλω σὺν ὀξυλαπάθου* M[2]) 18 *ἀγρίου* addidi ex Arch. *σπέρμα* Q, cf. Arch. (Gal. l. s. 171, 18) *ὀβολοῖς δύο ἢ τρισὶν* F 20 *ἀποξενοῦσιν* F (*υ* superscr. M[2]) post *τροφὴν* requiro *ἁρμόζει* vel *ποιεῖ*

21 *νϙ̄* F *βαλάντιον* R 22 post *χυλὸς* add. *φύλλων* Q 24 *σκιλλι-τικὸν* Moib. 25 *σάνδυκος* O, corr. Moib. 26 *ὑποκύστιδος* (*ὑποκυστίδος* H) O 27 *πεφωγμένος* H, *πεφωσμένος* reliqui *ἐπιπλασσόμενος* O, corr. Gesn.

φακοὶ ἐπτισμένοι λʹ καταπινόμενοι, ῥόδων ἄνθος ἐπιπασσόμενον τῷ πόματι. ἐμβρέχειν δὲ δεῖ τοὺς ῥευματιζομένους στομάχους ἐρίοις οἰσυπηροῖς σὺν ῥοὸς χυλίσματι.

11 (11) *ἀνατροπὰς δὲ στομάχου θεραπεύει στρουθίων διαχώρημα διδόμενον ἐν ποτῷ.* (12) *κρατύνει δὲ τοὺς πεπλαδηκότας στομάχους ἐπιτιθέμενα μετὰ κηρωτῆς μυρσινίνης ἢ ῥοδίνης· βάτου φύλλα, ἀψίνθιον, κυπαρίσσου φύλλα, κόριον, κάχρυ, φοίνικες, μῆλον Κυδώνιον, ἐλάτη μετὰ φοινίκων.*

12 (13) *στομάχου δὲ ἐμπνευματώσεις ὠφελεῖ πινόμενα καὶ τοὺς βραδυπεπτοῦντας μάλιστα· ἀγαλόχου ⟨· αʹ σὺν οἴνῳ, ἀριστολοχείας ⟨· αʹ σὺν οἴνῳ, σμυρνίου σπέρμα σὺν οἴνῳ, ἀκάνθης λευκῆς ῥίζα σὺν οἴνῳ, ἀγαρικὸν διαμασηθὲν ἐπιρροφουμένου*
2 *ἀκράτου. πρὸς τὰς ἐμπνευματώσεις τοῦ στομάχου ῥάμνου τῆς ἀκανθώδους φύλλα λειώσας ἀνάπλασον τριωβολιαῖα ⟨καὶ⟩ δίδου ἐν τοῖς μὲν πυρέσσουσι μετὰ ὑδρομέλιτος κεκραμένου κοʹ αʹ, ἀπυρέτοις δὲ μετ᾽ οἴνου κεκραμένου· ποιεῖ δὲ καὶ πρὸς εἰλεώδεις καὶ πᾶν ἄλγημα πνευματικὸν θαυμαστῶς· δι᾽ ἐρυγῶν ⟨γὰρ⟩ καὶ φυσῶν ὑγιεῖς γίνονται.*

13 (14) *πέψεις δὲ ποιεῖ ἀγαρικὸν διαμασώμενον καὶ καταπινόμενον ἀπὸ δείπνου χωρὶς τοῦ ἐπιρροφεῖν τι, ἀλόης ⟨· αʹ σὺν ὕδατι καὶ πρὸ τροφῆς, ἀρκευθίδες λεῖαι σὺν οἴνῳ, μήλων ἀπόβρεγμα, ξυλοβαλσάμου ἀπόζεμα μετὰ σεσέλεως, ἢ νάρδου Κελ-*

---

9 EXC. Aet. IX 27.
17 TEST. Aet. IX 27: *δι᾽ ἐρυγῶν γὰρ καὶ φυσῶν διαφορούμενοι ὑγιεῖς γίνονται, ὡς Διοσκουρίδης φησίν.*

---

1 *ἐπιπλασσόμενον* (*λ* del.) R 2 verba *ἐμβρέχειν — χυλίσματι* post *ἐν ποτῷ* cap. insequ. coll. O, transp. Sar. 3 *σὺν ῥοὶ* O: *ῥοὸς ἀφεψήματι* Sar., correxi

4 *ῡξ* F 5 a *κρατύνει* nov. inc. cap. Moib. 7 *κόριον* Gesn.: *κώνιον* O *κάγχρυ* Q: *κέγχρος* Gesn.

9 *ῡη* F 11 *ἀκάνθης λευκῆς* Sar.: *ἢ τὸ ἄνθος ἢ λεύκης* O, *σχοίνου ἄνθος* Gesn., cf. D. III 12 (20, 6) 12 *ἀγαρικὸν διαμασηθὲν* Moib.: *ἀγαρικοῦ διαμασηθέντος* O *ἐπιροφούμενον* O: *μηδενὸς ὑγροῦ ἐπιρροφουμένου* D. III 1 (3, 1): *agaricum manducatum siccum, ut ex intervallo merum sorbeatur* Pl. 26, 32 13 *ἄκρατον* H 14 *ἀκανθόδου* Q *ἀνάπλασσον* RF fort. *τριωβ. μεγέθη* *καὶ* add. Moib. 15 *ἓν* Moib.: *ἕνα* O *κεκραμμένου* (semper) O 16 *καὶ* om. H 17 *θαυμαστῶς γὰρ* Moib., post *θαυμαστῶς* distinxi Aet. duce 18 *γὰρ* addidi ex Aetio

19 *ῡθ* F 20 *καταρροφεῖν τι* RH: *καταρροφόντι* F, corr. Sar. 21 *μήλου* Q: *μήου* coni. Gesn., fort. *μήλων Κυδωνίων* coll. D. I 115 (107, 12) 22 *κελτικοῦ* Q

τικῆς μετὰ ὀξυδίου λημφθέν, σχοίνου ἄνθους ἀπόζεμα μετὰ ῥόδων ἄνθους πινόμενον, σέσελι πινόμενον.

14 (15) *ῥώννυσι δὲ στόμαχον σταφίς, σκίλλα ἑφθὴ σὺν μέλιτι ἐκλειχομένη.* (14) *εὐπεψίαν δὲ ποιεῖ σέριδος χυλὸς καταρροφούμενος.*

15 (16) *τὰς δὲ κισσώσας ὠφελεῖ ἀνδράχνη ἐσθιομένη, ἑλίκων ἀμπέλου ἀπόβρεγμα πινόμενον, κεδρόμηλα ἐσθιόμενα.*

16 (17) *ὑποχόνδρια δὲ ὠφελεῖ ἐσκληρυσμένα παθόντα χρονίως μάραθον πινόμενον, καὶ καταπλασσόμενα ⟨δέ⟩· ἀψίνθιον σὺν κυπρίνῃ κηρωτῇ ἢ φοίνιξιν, λευκανθέμου φύλλα, σκόρδιον σὺν κηρωτῇ, τῆλις ἢ λινόσπερμον σὺν μελικράτῳ, ἢ σάμψουχον ἐν κηρωτῇ.*

17 (18) *γλώσσης δὲ τραχύτητας ἐκμαλάσσει ἡδύοσμον λεῖον σὺν μέλιτι, ῥοῦς ἐρυθρὸς ὁμοίως, ῥόδινον σὺν ὕδατι, μέλι καθ' ἑαυτό.*

18 (19) *τοὺς δὲ κατὰ περίοδον πυρετοὺς κεχρονισμένους ἀμφημερινοὺς θεραπεύει χαμαίδρυος φύλλα λεῖα πρὸ μιᾶς ὥρας τῆς λήμψεως πινόμενα, καὶ ὅσα ἐπὶ τριταικῶν αὐτίκα ἱστορήσομεν.*

19 (20) *πρὸς δὲ τοὺς τριταικοὺς ἁρμόζει πόματα λαμβανόμενα πρὸ μιᾶς ὥρας τῆς ἐπισημασίας προεγχριομένων καὶ ἀνατριβομένων τῶν ἄκρων· τριφύλλου σπέρματος κοκκία τρία κηρῷ περιπλασθέντα καὶ καταποθέντα ἐπὶ τρίς, τὰ πάντα ἐννέα· ἀρνογλώσσου ῥίζαι ἁδραὶ τρεῖς μετ' οἴνου πινόμεναι, ἱερᾶς βοτάνης τὸ τρίτον γόνυ ἀπὸ τῆς γῆς ἀφαιρεθὲν καὶ διδό-*

13 SIM. Aet. V 118.
16 EXC. Aet. V 88.

1 *ὀξυδίου* suspectum 2 *σέσελις* Sar. *πινομένη* Q

3 $\overline{\varphi}$ F 4 verba *εὐπεψίαν κτλ.* cap. praec. adiungit Sar. *σέριδος* H: *σιρίτιδος* RF (*σίρηδος* M)

6 $\overline{\varphi\alpha}$ F 7 *κυδρόμηλα* F (*ε* superscr. M^2)

8 $\overline{\varphi\beta}$ F 9 *καὶ* om. R *δὲ* addidi 10 *ἢ — κηρωτῇ* om. H

13 $\overline{\varphi\gamma}$ F 14 *ῥόδινον σὺν μέλιτι ἢ καθ' ἑαυτό* coni. Sar. coll. Aet. l. s. *ἢ μέλι* Q

16 $\overline{\varphi\delta}$ F 17 *ἀμφημερινοὺς* om. H *λεῖα* om. H, mg. add. M^2 18 ad *λήμψεως* cf. D. IV 190 (339, 2)

20 $\overline{\varphi\varepsilon}$ F 21 *προσεγχριομένων* R: *προσυγχριομένων* F 23 *καταπλασθέντα* Q *τρεῖς* O, ad *ἐπὶ τρίς* cf. Act. 10, 16. 11, 10 24 *ἀνδραὶ* F 25 *γόνυ* om. F (spat. rel., spat. ins. M^2)

2 μενον· ποιεῖ καὶ σίλφιον κηρῷ περιπλασθὲν λευκῷ καὶ καταποθέν· ἐπιρροφείτωσαν δὲ ὕδωρ θερμὸν ἢ οἶνον· ἡλιοτροπίου τοῦ μεγάλου κόκκοι γ′ σὺν οἴνῳ, ὀνοβρυχὶς σὺν οἴνῳ, πενταφύλλου φύλλα γ′ μετ᾽ οἴνου ἢ ὑδρομέλιτος ποτιζόμενα, πέπερι λεῖον μετὰ ὕδατος πινόμενον.

20 (21) τεταρταικοὺς δὲ ὠφελοῦσιν ἀρνογλώσσου ῥίζαι ⟨δ′ λεῖαι⟩ ἐν οἴνῳ πινόμεναι· ἱερᾶς βοτάνης ⟨τὸ⟩ τέταρτον γόνυ ἀπὸ τῆς γῆς ἀφαιρεθὲν καὶ τριβὲν λεῖον σὺν οἴνῳ καὶ δοθέν· ἀσφάλτου <· α′ μετὰ καστορίου ὀβολοῦ, γλυκυρρίζης <· β′ μεθ᾽ ὕδατος κο′ α′· ἡλιοτροπίου τοῦ μεγάλου κόκκοι δ′ σὺν οἴνῳ, κόρεις οἱ ἐκ τῆς κλίνης δ′ ἐντεθέντες εἰς τὰ τῶν κυάμων βρώ-
2 ματα καὶ καταποθέντες· πενταφύλλου φύλλα δ′ μεθ᾽ ὑδρομέλιτος ἢ οἴνου, ὑπερικοῦ τοῦ κόρεως λεγομένου τὸ σπέρμα μετ᾽ οἴνου. ἱστορεῖται δὲ καὶ οὖρον ὠφελεῖν τὸ ἴδιον πινομένων κυ′ δ′ προεμημεκόσιν· δεῖ δὲ φυλάσσειν αὐτὸ ἐν σταμνίῳ. τὸ αὐτὸ δὲ ποιεῖ καὶ παιδὸς οὖρον ἀφθόρου μέχρι πέντε πόσεων.
3 τεταρταῖον δὲ παύει πρὸ τῆς ἐπισημασίας ὀξυπόρου χρῖσις καθ᾽ ὅλον τὸ σῶμα, καὶ μετὰ τοῦτο πόσις τοῦ αὐτοῦ φαρμάκου, ἢ λιβανωτίδος ῥίζης <· α′ ἐν οἴνου ἡμικοτυλίῳ μικρῷ πρότερον τῆς λήμψεως· καὶ συμπεριβάλλων ἄφες ἡσυχάσαι, καὶ οὐ μὴ ῥιγώσῃ· προαναλείφεσθαι δὲ ⟨δεῖ⟩ λίπει, καὶ ἱδρώσει πολύ.

21 (22) κοινῶς δὲ πρὸς πάσας περιόδους καὶ ῥίγη ποιεῖ κινοῦντα ἱδρῶτας· σμυρνίου σπέρμα μετ᾽ οἴνου, ὀπὸς σιλφίου ἀγρίου καὶ ἡμέρου ⟨σὺν⟩ μέλιτι ἑφθῷ περιχριόμενος καὶ κατα-

6 TEST. Aet. V 84: *Διοσκουρίδης δέ φησιν ὠφελεῖν τοὺς τεταρταίῳ ἐχομένους πυρετῷ κτλ.*

17 EXC. Aet. V 84.

23 TEST. Aet. V 88: *κοινὰ βοηθήματα τῶν κατὰ περίοδον παροξυνομένων. Διοσκουρίδου.*

1 post *ποιεῖ* dist. Q   3 *τρεῖς* Q, cf. D. IV 190 (339, 2)   *ὀνοβρυχὶς σὺν οἴνῳ* om. F, mg. add. M^2 *ποθενταφύλλου* R   5 huic cap. adiungit c. 25 Moib.

6 *φϙ̄* F   *δ′ λεῖαι* addidi ex Aet., cf. D. II 126 (200, 14)   7 *τὸ* addidi, cf. Aet. l. s.   10 *κ* (*ῡ* superscr.) H   *κόκκοι* R: *κ* (*ō* superscr.) Q   14 *καὶ* om. F (superscr. M^2)   *πινόμενον*, O, correxi   15 *προεμεμεκόσι* H: *προσεμεμεκόσι* M (ch. laes. F)   post *προεμημεκόσιν* add. *πλῆθος* Q   17 *χρῖσις* Sar.: *χρῆσις* O (chart. laes. F)   18 *πόσις* RH: *πόσεις* reliqui   19 *ᾱ* R: *ᾱ* Aet. l. s.: *ᾱς′* MH (chart. laes. F)   21 *οὐ μὴ* OAet.: *ἵνα μὴ* Sar.   *προαλείφεσθαι* R: *προαναλείφεσθαι* Q: *προαναλειφέσθω* Sar.   *δὲ* om. F   *δεῖ* addidi

23 *φϛ̄* F   *πᾶσαν περίοδον* Aet.   24 *σπέρμα* <· *α′* Aet.   25 *σὺν* addidi

πινόμενος, πηγάνου ἀγρίου καὶ ἡμέρου σπέρμα σὺν οἴνῳ, ἀριστολοχείας ῥίζης <· α΄ σὺν οἴνῳ, σμύρνης ὅσον κυάμου ⟨μέγεθος⟩, πέπερι σὺν οἴνῳ, ἴριδος <· β΄ σὺν οἴνῳ, ἱπποσελίνου σπέρματος <· α΄ μετ᾿ οἴνου, ὑπερικοῦ ὁμοίως· καλαμίνθης ἀπό- 2 ζεμα σὺν καστορίῳ, ὀπόφυλλον σὺν καρδάμῳ καὶ ᾠῷ ἢ πεπέρει καὶ πηγάνῳ, ὀποπάνακος <· α΄ ἢ πάνακος <· β΄· σέσελι μετὰ πάνακος καὶ πεπέρεως σὺν οἴνῳ ποθέντα, νάρθηκος σπέρμα ὁμοίως, φλόμου ῥίζα ἐν οἴνῳ, πενταφύλλου ῥίζης χυλὸς σὺν οἴνῳ, κόπρος κυνεία ξηρὰ στοχασμῷ μετ᾿ ὄξους πινομένη.

22 (23) πρὸς δὲ τοὺς χρονίους καὶ ἀτάκτους πυρετοὺς ἁρμόζει ἀλεκτρυόνος παλαιοῦ ζωμός, ἁλῶν ἐν τῇ γαστρὶ αὐτοῦ διαχθέντων ἢ ταρίχους καὶ συνεψηθέντων πινόμενος.

23 (24) συγχριόμενα δὲ μετ᾿ ἐλαίου λεῖα ἐπὶ τῶν μετὰ ῥίγους περιοδικῶν πυρετῶν ὠφελεῖ πρὸ τῆς ἐπισημασίας θάλποντα τὸ σῶμα καὶ ἱδρῶτας κινοῦντα· ἄγνου σπέρμα, λιβανωτίδος σπέρμα, ἁλὸς ἄνθος, συκίνη κονία, νίτρον ἢ ἀφρόνιτρον, δαφνίδες, πύρεθρον, σμυρνίου τοῦ ἱπποσελίνου καλουμένου σπέρμα· ὑπερικόν, καλαμίνθη, κάχρυ ὀλίγον, καστόριον, κόνυζα, 2 κόστος, σαγαπηνόν, Κνίδιος κόκκος μετὰ νίτρου καὶ ἐλαίου καὶ ὄξους, λυκαψὸς σὺν ὕδατι θερμῷ· ⟨ἔλαιον⟩ σαμψούχινον, ἴρινον, μετώπιον, γλεύκινον, κύπρινον, χαμαίδρυς, χαμαίπιτυς, συκαμίνου ὀπός, σταφὶς ἀγρία.

24 (25) μειγνύμενα δὲ κόπους ὠφελεῖ· ἅλες, νίτρον, ὀνοβρυχίς, σισύμβριον, χαμαιλέων, Ἀμμωνιακόν, πράσιον, ὀρίγανον, καππάρεως ῥίζα, σικύου ἀγρίου ῥίζα, τέφρα κληματίνη, ὄστρα-

13 TEST. Aet. V 88: *συγχρίσματα κοινὰ πάσης περιόδου. . . . Διοσκουρίδου.*

2 *κυάμου* H: *κύαμον* reliqui, *κύαμος* Moib. *μέγεθος* addidi 5 *καστορίου* <· ᾱ Aet. *ὀπόφυλλον* R (cf. D. III 80 p. 96, 18): *ὀποῦ φύλλον* F *πέπερι* Q (corr. H) 6 *μετὰ* suspectum, fort. *καὶ πάνακες καὶ πέπερι* 7 *ποθέντα — χυλὸς σὺν οἴνῳ* om. F (mg. add. M²), *νάρθηκος — ἐν οἴνῳ* om. mg. add. H *ποθέν* Moib., om. H 9 *σταχασμῷ* F

10 *φη̄* F *δὲ* om. F, add. M² 11 *γαστρίον* F 12 *διαγαγέντων* R: *διακαέντων* H: *διαναγέντων* F (*γα* superscr. M², mg. add. *διαγαγέντων*): *ἐμβληθέντων* Sar.: *καταρραφέντων* Moib., correxi

13 *φθ̄* F 14 *ἐπισίας* F 15 *χαμαιμήλου ἄνθος λεανθέν* post *κινοῦντα* add. Aet. l. s. 17 *δαφνίδης* F 18 *καλαμίνθην* F *κάχρι* F (corr. M²): *κέγχρος* H 19 *κόκκος* comp. scr. F 20 *λύκαψος* Q *ἔλαιον* addidi ex Aet. *σαμψούχινον* R: *σαμψύχινον* H: *σαμψυχίνου* F *δάφνινον* add. Aet. 21 *γλεύκιον* Q *χαμέδριον* Q

23 *χ̄* F *ὀνοβρύχης* F 24 *χαμαιλέων*] *χαμελαία* coni. Moib. 25 *σικύου ἀγρίου ῥίζα* om. F (mg. add. M²)

κον ἀπὸ ἵπνου, ἀριστολοχεία σὺν πάλῃ, ὀποβάλσαμον, χαλκὸς κεκαυμένος, λεπὶς χαλκοῦ καὶ τὰ δριμέα ἀρώματα· βολβοὶ λεῖοι καταχριόμενοι σὺν πεπέρει καὶ Ἀμμωνιακῷ ἢ κηρωτῇ ὑγρᾷ κυπρίνῃ· Κομανικὸς λίθος εἰς ἔλαιον ἀποτριβόμενος καὶ συγχριόμενος.

25 (20) περιαφθέντα δὲ ὠφελεῖ τριταίους· λειχὴν ἵππου περιτμηθεὶς καὶ περιαφθείς, ἢ ἀράχνας τὰ ζῷα γ' συναναμαλάξας ἐμπλάστρωσον ἐπιτιθεὶς ἐν ὀθονίῳ κατὰ τοῦ μετώπου καὶ τῶν κροτάφων.

26 (26) ἀτροφοῦντας δὲ ὠφελεῖ ὀρόβου φρυκτοῦ μέγεθος ὅσον καρύου Ποντικοῦ ἐν μέλιτι πρὸ τῆς τροφῆς διδόμενον.

27 (27) ἵστησι δὲ ἱδρῶτας ἐπὶ τῶν διαφορουμένων καταπασσόμενα· γῆ Σαμία, γύψος, λιθάργυρος, κηκίς, σχιστή, μυρρίνη, θεῖον ἄπυρον, ἔλαιον τὸ ἐξ ἀγριελαίας, μυρσίνινον, τερ-
2 μίνθινον, οἰνάνθινον, ῥόδινον, μήλινον, σχίνινον. καταχριόμενα δὲ ἵστησιν μάννα καὶ ἄμυλον σὺν ᾠοῦ τῷ λευκῷ, ἢ βολβὸς λεῖος σὺν πεπέρει καὶ κνίδης σπέρματι καὶ κηρῷ ὀλίγῳ καὶ κόμμει καὶ ὀνώνιδος σπέρματι καὶ νίτρῳ ὀλίγῳ.

28 (28) καρδιακοὺς δὲ ὠφελεῖ καταπλασσόμενα κατὰ τοῦ στομάχου· βάτου φύλλα μετὰ κηρωτῆς ὀλίγης ἢ ἄρτον, ⟨ἢ⟩ μυρσίνης φύλλα, ἢ μύρτα, ἢ ἕλικες ἀμπέλου, ἢ ἀρνόγλωσσον σὺν ἄρτῳ ἢ κηρωτῇ ὀλίγῃ· ⟨ἢ⟩ μῆλα Κυδώνια, φοίνικες, σέρις ἀγρία
2 καὶ ἥμερος. καὶ ἐνέματα δὲ ὠφελίμως παραλαμβάνεται πτισά-

12 EXC. Orib. V 667. Aet. IX 1.
19 EXC. Orib. V 667, 5sq. Aet. IX 1.

1 fort. τὸ ἀπὸ ἴπνου] ἵππου Q ἀριστολοχίας πάλη Q: ἀριστολόχιος πάλη R, correxi 3 κηρωτὴ ὑγρὰ κυπρίνη F 4 κομανικὸς H: κομμανικὸς reliqui, cf. Str. XII 521. 535. Pl. n. h. VI 8 ἀποτριβόμενος Moib.: ἀποτριβεὶς (-ῆς H) O
6 c. 25 capiti 19 adiungit Moib. 7 περιτμηθεὶς καὶ om. QMoib. cf. D. II 63 (141, 4) 8 ἐμπλάστρῳ R ἐπιτιθεὶς RH: ἐπιτεθεὶς reliqui

10 χα F 11 κάριον Ποντικοῦ (-κόν H) Q: ὅσον καρύου ⟨Ποντικοῦ⟩ μέγεθος D. II 108 (183, 13)

12 χβ F καταπασσόμενα Or.Moib.: καταπλασσόμενα O (λ del. M[2]) 13 ληθαργήριον R 14 μύρσινον O 15 οἰάνθινον F 16 τὸ λευκὸν M (ch. laes. F) βολβὸς λεῖος] ᾠοῖς λείοις RF, ᾠοῖσας λείοις M (mg. add. ᾠοῖς λείοις, βόλβοις M[2]): corr. Moib. ex Aet. l. s. ἢ βολβὸς λευκὸς καὶ πέπερι καὶ κνίδης σπέρμα 18 ὀνίνιδος (ω superscr.) M (ch. laes. F)

19 χγ F 20 ἄρον Q (corr. M[2]) ἢ addidi ex Or. Aet. 21 ἀμπέλων Aet. ἀρνογλώσσου Q 22 ἢ addidi ex Or. Aet. ἢ φοίνικες Or. 23 post ἥμερος spat. rel. H

νης χυλὸς ἐγκαθηψημένων ἀκροκωλίων ἢ ποδῶν μετʼ οἴνου, ἢ ᾠὰ ὠμὰ σὺν οἴνῳ. καταχρίεται δὲ αὐτῶν τὰ ἄκρα ὠφελίμως κηρωτῇ ὑγρᾷ μετὰ νάπυος λείου ἢ ξηρᾷ διεθείσῃ οἴνῳ.

29 (29) *αἵματος δὲ ἀναγωγὴν θεραπεύει πινόμενα· ἀγαρικοῦ τριώβολον ἐν οἴνῳ, ἀδιάντου χυλὸς καταρροφούμενος σὺν ὄξει ὅσον κύαθος α΄, κἂν ἐκ διαστημάτων ᾖ πάλιν, ἢ πολυγόνου χυλός, ἢ ἀειζώου ἢ ἀρνογλώσσου χυλὸς ὁμοίως, ἢ βάτου, ἢ ἀνδράχνης, ἢ ἑλίκων ἀμπέλου, ἢ βαλαύστιον σὺν ὀξυκράτῳ, ἢ ἡδυόσμου χυλὸς καθʽ ἑαυτὸν καὶ σὺν ὀξυκράτῳ ἢ ὕδατι· περικλυμένου χυλοῦ τριώβολον μετὰ ὕδατος, κυπαρίσσου σφαιρία σὺν ὕδατι λεῖα πινόμενα, Λυσιμάχειος πόα καὶ ὁ χυλὸς αὐτῆς, μυρίκης καρπὸς λεῖος καὶ ὁ φλοιὸς αὐτῆς, νάρθηκος ἐντεριώνη, οἰνάνθη ξηρά.*

30 (30) *τὰς δὲ πολυχρονίους ἀναγωγὰς ἴσχει πράσου καρπός, μύρτου σπέρμα μεθʼ ὕδατος ποθέν, μᾶλλον δὲ μετὰ μύρτων χυλοῦ, ἄγνου τριώβολον μετʼ ὀξυκράτου, ῥόδων κεφαλαὶ λεῖαι μετὰ ὕδατος, σύμφυτον πετραῖον καὶ ὁ καρπός, ἀκάνθης λευκῆς ῥίζης ⟨· α΄ μετʼ ὀξυκράτου, ἀλθαίας ῥίζης ἀφέψημα· κόλλα ἀπὸ ζειᾶς ἑψηθεῖσα ὡς εἰς βιβλία ἐκλειχομένη ἁρμόζει*
καὶ σὺν ἡδυόσμῳ· ἢ ἀλεύρου κριθίνου κυʹ ϙʹ χυλίσας διʼ ὀθο- 2
νίου καὶ μείξας ἡδύοσμον δίδου, ὑποκιστίδος χυλὸς μετὰ λιβάνου ὀλίγου, ἀμυγδαλῆς ⟨κόμμι⟩ πινόμενον μετὰ ὕδατος ψυχροῦ, ἀμύγδαλα πικρὰ μετὰ ἀμύλου καὶ ἡδυόσμου πινόμενα μετὰ ὕδατος, ἀνδράχνη ἐσθιομένη, ἀρκτίου ῥίζης τριώβολον μετʼ ὀξυ-

---

4 SIM. Orib. V 466, 8. Orib. IV 551, 5. Aet. VIII 69.
14 SIM. Orib. l. s. Aet. l. s.

---

1 *καθηψημένων* R: *καθηψημένος* reliqui, correxi ex Or. *κροκωλίων* RF (*ἀκροκωλίων* corr. M²): *κρόκῳ λείῳ* H, correxi ex Or. 2 *ᾠοῖς ὠμοῖς* O, corr. Moib., nisi praestat *ᾠῶν ὠμῶν* *καὶ τὰ ἄκρα* Or. 3 *ἢ ξηρᾷ* scripsi Moib. duce: *καὶ ἤρῃ* (*ἴρι* H) O *διεθεὶς* O: corr. Moib.

4 *χδ* F 5 *ἐν οἴνῳ*] *μεθʼ ὕδατος* D. III 1 (3, 3) *ἐν ὄξει* Moib. 6 *ἢ πάλιν* (*πάλη* H) O: *πολλῶν* coni. Moib. 8 *βαλάντιον* R: *βαλάστιον* F, at cf. Orib. V 466 *ἢ ἡδ. — ὀξυκράτῳ* om. mg. add. M² (ch. laes. F) 9 *περικλυ*(*ω* superscr.)*μένου* M, *κλυμένου* coni. Moib., cf. D. IV 13 (179, 5) 11 *σὺν ὕδατι* R: *μεθʼ ὕδατος* Q: *σὺν οἴνῳ* D. I 74 (74, 2) 12 *μυρίσκης* R

14 *χε* F *πρὸς δὲ τὰς π. ἀναγ. ἰσχύει* Sar. *ἴσχει* R: *ἰσχύει* Q *πράσσου καρποῦ* R 15 *μύρου* Q *σπέρμα* Moib.: *σπέρματος* O *ποθέν* Moib.: *ποθεῖσα* R: *ποθέντος* corr. H: *πιεῖσα* F (corr. M²) 19 post *ἁρμόζει* dist. Q 20 *ϙ* F, ut videtur R 21 *ὑποκύστιδος* vel *ὑποκυστίδος* (ut semper) O 22 *ἀμύγδαλον πινόμενον* O: correxi coll. D. I 123 (113, 10) 23 *μετὰ* (alt.) suspectum, fort. *καὶ ὕδατος* 24 *ῥίζα* Q *ὀκράτου* F (*ξυ* superscr. M²)

κράτου καὶ στροβίλου κόκκων μ′, ἀσπαλάθου χυλὸς μετ᾽ ὀξυ-
κράτου, βάτου χυλός, γῆς Σαμίας τὸ ἀστέριον σὺν ὕδατι·
3 δρυὸς τὸ μεταξὺ τοῦ πρέμνου καὶ τοῦ φλοιοῦ ὑμενῶδες ἀπο-
ζεσθέν, ἢ ὁ περὶ τὴν βάλανον ὑμὴν ὁμοίως ἀποζεσθείς, κέρας
ἐλάφου κεκαυμένον σὺν ὀξυκράτῳ, καστανίων ἀφέψημα, ἰτέας
καρπὸς σὺν οἴνῳ, Κενταυρείου τοῦ μεγάλου ῥίζης 〈· β′ σὺν οἴνῳ,
κέστρου φύλλων 〈· β′ σὺν οἴνῳ, κουραλίου δραχμὴ μεθ᾽ ὕδατος,
λευκογραφίδος δραχμὴ ὁμοίως, αἱματίτης λίθος σὺν χυλῷ ῥοᾶς,
4 ὀστρακίτου λίθου 〈· α′ μεθ᾽ ὕδατος· μαστίχη διαμασωμένη καὶ
τοῦ χυλοῦ καταπινομένου, Κυδωνίων ἄνθος μετ᾽ ὀξυκράτου
λεῖον, μίλτου Λημνίας 〈· α′ σὺν ὄξει, τραγάκανθα ὑποχυλιζο-
μένη, τραγίου καρπὸς μετὰ οἴνου, πενταφύλλου τῆς ῥίζης ὁ
χυλὸς σὺν ὀξυκράτῳ, φελλὸς ὁ ἐκ τῶν παλαιῶν καττυμάτων
κεκαυμένος καὶ ἄκαυτος λεῖος μετ᾽ ὀξυκράτου πινόμενος, κονία
πινομένη, γάλα θηλαζόμενον γυναικεῖον, καὶ μάλιστα ἐπὶ τῶν
5 ὑποφθινόντων. ἐπιτίθεται δὲ ὠφελίμως κατὰ τοῦ θώρακος
ἐπὶ τῶν αἱμοπτυικῶν σπόγγος ἐξ ὀξυκράτου, εἰ πολὺς εἴη ὁ
ῥευματισμός, καὶ τὰ στύφοντα, οἷον ἂν εἴη σέρις, πολύγονον,
ἀνδράχνη, Κυδώνια, βάτος, φοίνικες, σίδια, μυρσίνη· ταῦτα 〈δὲ〉
μετὰ ἄρτου ἢ ἀλφίτου.

31 (31) βῆχας χρονίους ὠφελεῖ — τὰς γὰρ προσφάτους
ἀσύμφορόν ἐστι φαρμακεύειν· δι᾽ ὑδροποσίας γὰρ καὶ οἰκείου
τροφῆς τῆς διὰ ῥοφήματος εὐχερές ἐστι θεραπεύειν — χρονι-
ζούσας δὲ ἰᾶται ταῦτα πινόμενα· ἀκάνθης ῥίζης 〈· α′ μετὰ μέ-
λιτος, ἀρκευθίδες ε′ ἢ ϛ′ ἢ ζ′ ἢ η′ καὶ κεδρίδες πινόμεναι σὺν
οἴνῳ ἢ μελικράτῳ, ἀσφοδέλου ῥίζης 〈· α′ μετ᾽ οἴνου, ἄσφαλτος
2 ἀντὶ καταποτίου λαμβανομένη· βακχάριδος ἀφέψημα σὺν ὕδατι,

21 SIM. Aet. VIII 54. 58. III 143.

2 βάτου χυλός del. M^2 γῇ σαμία R 3 ὑμνῶδες F ἀζεσθέν F (ἀποξεσθέν mg. add. M^2) 4 ἀποξεσθείς H 5 κεκαυμένου H καστάνων Sar. 7 κουραλίου] κορίου O, corr. Moib. e D. V 121 (90, 19), Orib. IV 551 8 <· Q: <· α′ Sar. ῥοίας R 9 καὶ fort. del. 11 μίτου R τραγάκανθα scripsi: τραγακάνθου O (chart. laes. F): τραγάκανθον Moib. ὑποχυλιζομένη R: ὑποχυλιζομένου Q (chart. laes. F) 13 καττυμάτων scripsi Moib. duce: κεραμίων O 14 καὶ O: ἢ Moib. ἄκαυτος R: ἄκατος Q: ἄκαυστος Moib. 17 αἱμοπτοικῶν O 18 καὶ R: ἢ reliqui ἂν om. F (superscr. M^2) 19 δὲ add. Moib., subaudiendum esse ἐπιτίθεται recte monet Sar.

21 γϛ̄ F βῆχας χρονίους ὠφελεῖ] πρὸς β. χρονίας Moib. γὰρ] μὲν βῆχας Sar. 22 φαρμακεύειν R: θεραπεύειν Q γὰρ om. F, mg. add. M^2 25 ἀρκευθίδους F ἢ η′ om. H, fort. recte καὶ κεδρίδες RF, καὶ om. M 27 κακχαρίδος R

βαλσάμου καρποῦ δραχμὴ σὺν οἰνομέλιτι, δαφνίδες δύο λεῖαι
σὺν ὕδατι, ἑλξίνης χυλὸς καταρροφούμενος ὅσον κύαθος, σμύρ-
νης κυάμου μέγεθος καταπινόμενον, σμυρνίου ῥίζα πινομένη,
θύμου ἢ θύμβρας ἢ ὑσσώπου ἀπόζεμα [ἢ ἀφέψημα] μετὰ μέ-
λιτος καὶ σύκων ξηρῶν· ἱππούριδος χυλὸς ἢ ἀφέψημα, ἢ ἰσο- 3
πύρου μετὰ μελικράτου, ἢ κάρυα Ποντικὰ πινόμενα μετὰ μελι-
κράτου καὶ πεπέρεως· κακκαλίας ῥίζα μασωμένη, χαλβάνη ἀντὶ
καταποτίου, Κενταυρείου τοῦ μεγάλου ῥίζης ⟨· β′ σὺν οἴνῳ,
κόμμι ἀμυγδαλῆς πικρᾶς ἢ κερασίων ἢ κοκκυμήλων μετὰ κρά-
ματος· λάδανον σὺν στύρακι ἀντὶ καταποτίου, καὶ αὐτὸς ὁ
στύραξ καθ᾽ ἑαυτόν, λυκίου Ἰνδικοῦ κυάμου τὸ μέγεθος ὁμοίως·
μηκώνιον σὺν στύρακι καὶ σμύρνῃ ἴσοις ἀναπλασσόμενα εἰς 4
ὀροβιαῖα μεγέθη καὶ λαμβανόμενα μετὰ τροφὴν γ′ ἐπιρροφου-
μένου ὕδατος εἰς κοίτην ἀβλαβῶς δίδοται· μαστίχη λεία ποιεῖ
καταπινομένου τοῦ χυλοῦ, οἰνάνθης τῆς πόας καρπὸς καὶ φύλλα
καὶ καυλὸς σὺν οἴνῳ ἢ σὺν οἰνομέλιτι· ὀπόφυλλον μετὰ πράσου
καὶ ὄξους [ὀπός], ἢ θεῖον ἄπυρον ἢ σαγαπηνόν, ⟨σιλφίου⟩ ὀπὸς
σὺν ᾠῷ ῥοφητῷ λαμβανόμενος, ἐλελίσφακος ἐν ῥοφήματι λαμ-
βανόμενος· ἄρου ῥίζα ἑφθὴ ἐν ῥοφήματι καὶ καθ᾽ ἑαυτὴν ἑφθὴ 5
ἐσθιομένη, ἢ δρακοντίου ῥίζα ὁμοίως· σταφίδες ἐκγιγαρτισθεῖσαι
καὶ ἐσθιόμεναι, μέλι ἑφθὸν ἀντὶ καταποτίου λαμβανόμενον,
ὄξος σκίλλινον καταρροφούμενον — τὰς δὲ προσφάτους ἐρε-
θίζει τὸ ὄξος —, πάνακος ἢ πευκεδάνου ῥίζης ἀφέψημα, ἢ ὁ
ὀπὸς τούτων καταπινόμενος· πρασίου ἀπόζεμα σὺν μέλιτι, 6
πράσου ἑφθὸν ἐσθιόμενον καὶ τὸ χύλισμα αὐτοῦ καταπινόμε-
νον, σανδαράκη σὺν κηρῷ ἀντὶ καταποτίου, σέσελι σὺν οἴνῳ
πινόμενον, σκίλλης ἑφθῆς δραχμὴ σὺν ὀξυμέλιτι ἢ οἰνομέλιτι,
σκόροδον ἑφθὸν καὶ ὠμὸν ἐσθιόμενον, σῦκα ξηρὰ ὀπτηθέντα
ἐπ᾽ ἀνθράκων ἐμπεπασμένα πεπέρει· χαμαίδρυος ἀφέψημα, 7

---

1 δύο om. H 3 πινομένη RF: καταπινομένη M 4 θρύμβας F ἀπόζεμα — ἰσοπύρου om. F, mg. add. M² ἀπόζεμα RM², ἀπόβρεγμα coni. Moib. ἢ ἀφέψημα delevi 5 καὶ] ἢ H 6 μετὰ (pr.) om. F 7 κακαλλίδος F: κακαλίδος R, corr. Sar. e D. IV 122 (271, 3) 9 ἀμυγδάλης Q κεράσου Moib. κοκκυμηλέας Moib. κράμματος Q 11 καθ᾽ αὐτὸν RH 13 καὶ λαμβανόμενα scripsi: ἀναλαμβανόμενα O τρία H 15 ὁ καρπὸς H 16 ὀπόφυλλος R: ὀπόφυ (λλ superscr.) F: ὀπὸς φυ(λλ sup.) H 17 ὀπός del. Sar. σιλφίου addidi coll. D. III 80 (96, 7) 18 ἐλελίσφακος — λαμβανόμενος om. mg. add. M² 19 ἴαρον (sic) R 22 σκιλλητικὸν H 23 ὁ ὀπὸς τούτων scripsi: ὀπὸς ὁ τούτων O 26 σανδαράχης O (ς del. H) 27 ἑφθῆς om. F, superscr. M² δραχμὴ] <· Q: < α′ Sar. 29 ἐνπεπλασμένα Q (λ del. M²): πεπλασμένα R: ἐμπεπασμένα Moib., fort. ἐπιπεπασμένα πέπερι R

καρυωτοὶ βραχέντες ἐν οἴνῳ, ἔπειτα ὀπτώμενοι ἐπιπασθέντος πεπέρεως· βρυωνίας ῥίζα λευκὴ ξηρά, λεία, ὀλίγη μέλιτι ἑφθῷ ἀναλημφθεῖσα ἀντὶ καταποτίου· ἔστιν γὰρ δριμεῖα· τήλεως κύαθος ἑψηθεὶς μετὰ ὕδατος καὶ πινόμενος ἐπὶ ἡμέρας ιε΄, ἐρύσιμον ἢ κάρδαμον προβραχὲν ἡμέραν μίαν, εἶτα ⟨ἐν⟩ πτισάνῃ ἑψηθὲν καὶ ῥοφούμενον.

32 (31) *τὰς δὲ μετὰ ῥευματισμοῦ πολλοῦ ὠφελεῖ ἀφρὸς ἵππειος μετὰ ἡμικοτυλίου ὕδατος πινόμενος. τὰς δὲ σφοδρὰς ἐπιπτώσεις τῆς βηχὸς ὠφελεῖ οἶνος ἐν σκίλλῃ ἐγγλυφείσῃ διανυκτερεύσας καὶ διδόμενος κατὰ τὰς ἐπιθέσεις τῆς βηχός· σίφωνι δὲ λαμβανέσθω, καὶ ὀλίγος διὰ τὴν δριμύτητα. ὠφελεῖ καὶ ὄξος σκίλλινον καταρροφούμενον, ἢ οἶνος ζεστὸς καταρροφούμενος.*

33 (31) *πᾶσι δὲ τοῖς βήττουσιν ἁρμόζει βούτυρον μετὰ μέλιτος καὶ κυμίνου βραχέος· ἕψεται δὲ τὸ βούτυρον ἴσον τῷ μέλιτι τὸ πλῆθος, τοῦ μέλιτος προαφριζομένου, καὶ οὕτως προσβάλλεται τὸ κύμινον· ποιεῖ δὲ τοῦτο καὶ ἐπὶ φθισικῶν.*

34 (32) *ἐκλειχόμενα δὲ ὠφελεῖ· δρακοντίου ῥίζα ἑφθὴ μετὰ μέλιτος, ἀμύγδαλα πικρὰ μετὰ ἐλελισφάκου σὺν μέλιτι θερ-*

---

7 SIM. Pl. 28, 193. Marc. Emp. 16, 88.

---

1 *καρυωιοὶ* R: *κυριωτὸ* F (*καρυωτοὶ* mg. add. M²): *καρηωτοὶ* H (mend. not.), cf. D. I 109 (102, 15) *ἐν* om. R *ἐπιπλασθέντες δὲ* F (*δὲ* om. M) 2 *βουωνίας* F *ὀλίγη* R: *καὶ ὀλίγῳ* Q 5 *μίαν*] *α΄* Q *ἐν* addidi e Sar. 6 post *ῥοφούμενον* aliena add. F (chart. laes.) M (del. M²) *χζ̄· πρὸς βηχίον· γλήχωνα* (*λίχων* F, *λήχων* M) *δίδου διαμασήσασθαι, ἴσω* (*ὕσσωπον* Moib.) *μετὰ οἴνου χλιαροῦ δίδου πιεῖν νήστης καὶ κοιμάτω· (ἢ κισσόκοκκα ἢ ξύλῳ ἢ φύλλοις κάπνι)ζε τὸν βηχικὸν καὶ συρρέοντα καὶ ἴαται· ἢ ῥη(τίνῃ σὺν οἴνῳ παλαιῷ πότιζε· ἢ) ἀγριοκανάβου σπέρμα πότιζε μετὰ ὕδατος, ἢ κε(δρίαν πότιζε νήστης μετ᾽ οἴνου, ἢ ἀρ)σενικὸν* (*καὶ* add. M) *μετὰ ᾠοῦ ῥοφητοῦ δίδου φαγεῖν, ἢ θεῖον (ἄπυρον ὁμοίως ἢ τῆλιν ὕσσωπον γλήχωνα) μετὰ ὀξυκράτου ἑψήσας δίδου πιεῖν νήστης· (ἢ ἐλαίας φύλλα καὶ δάφνης κόψας καὶ λειώ)σας δὸς πιεῖν γ΄ πρωίας κοχλ. γ΄*

7 *χη̄* F fort. *πολλοῦ βῆχας* *ἀφρὸς ἢ* F 8 post *πινόμενος* spat. rel. R 9 *ἐκπτύσεις* Moib. *τῆς βηχὸς* R: *τοῖς βηχικοῖς* Q: *ἐν τοῖς βηχικοῖς* Moib. *γλυφείσῃ* O, correxi coll. I 171 10 *ἐπιτάσεις* Sar. *τῆς*] *τοῦ* Q 11 *λαμβάνεσθαι* F (*ω* superscr. M²) fort. *καὶ ὀλίγος δὲ* 12 *ἢ — καταρροφούμενος* om. Q

14 *χθ̄* F *ἄλλο βηχικόν* initio add. Q *τοῖς* om. R 16 *τοῦ πλήθους* Q *οὕτω* Q 17 *φθη(-ι- H)σικούς* Q

18 *ψ̄* F 19 *ἀμυγδάλου πικροῦ* F (corr. M²) *σὺν μέλιτι καὶ γάλακτι* D. I 123 (113, 7): *cum elelisphaco modice addito in melle* Pl. 23, 145 *σὺν* O, fort. *ἐν* *θερμαινόμενα* M: *θέρμος* R: *θερμαιν* (*ο* superscr.) F

μαινόμενα· ⟨θύμος⟩ ἢ θύμβρα, ἢ ὕσσωπον, ἢ στοιχὰς σὺν μέλιτι, λινόσπερμον λεῖον σὺν ἴριδι καὶ καρύοις πικροῖς καὶ μέλιτι, κνίδης σπέρμα ὁμοίως, πίσσα, πισσέλαιον ὁμοίως, πράσιον ξηρὸν καὶ ὑγρὸν λεῖον σὺν μέλιτι· ἢ ῥητίνη πιτυίνη ὑγρὰ ἢ 2
τερμινθίνη ἐκλειχομένη, σκόρδιον σὺν καρδάμῳ ἢ ῥητίνη καὶ μέλιτι, στρουθίου κοχλιάριον σὺν μέλιτι, τραγοριγανον σὺν μέλιτι, τραγάκανθα ὑποχυλιζομένη, φλόμου ῥίζα σὺν μέλιτι, μελάνθιον λεῖον βεβρεγμένον ἀναλημφθὲν σταφίδος σαρκὶ ἢ φοινίκων [ἢ] γλυκέων.

35 (33) ὑποθυμιώμενα δὲ ὠφελεῖ χρονίας βῆχας καὶ διὰ καλαμίνου σίφωνος καὶ ἄμβικος τετρημένου κατὰ τὸν πυθμένα, δι᾽ οὗ καὶ ὁ σίφων καθιέμενος ἀναπέμπει εἰς τὸ στόμα τὸν ἀτμόν· ἀρσενικὸν ⟨καὶ⟩ σανδαράκη λεῖα βραχέντα ὕδατι καὶ ἐμπλασθέντα τῷ τετρημένῳ ἄμβικι, περιτιθεμένου τῷ πυρὶ τοῦ ἄμβικος· βηχίου φύλλα θυμιώμενα, θεῖον ἄπυρον, κάλαμος ἀρω- 2
ματίτης καθ᾽ ἑαυτὸν καὶ σὺν ῥητίνῃ τερμινθίνῃ, πρόπολις, σανδαράκη σὺν ῥητίνῃ [ἢ] τερμινθίνῃ, ἄσφαλτος, λιβανωτὸς σὺν ῥητίνῃ, σκίλλα ξηρά, ἐρύσιμον, ἔλαιον κέδρινον, Κενταυρείου ῥίζα, μαράθου καρπός.

36 (34) ῥήγματα δὲ καὶ σπάσματα ἰᾶται πινόμενα· ἀβροτόνου ἀπόζεμα καὶ τοῦ καρποῦ λείου ⟨· α′ μετὰ ὕδατος, ἀγαρικοῦ $\overline{\underline{\div}}$ μετὰ ὑδρομέλιτος, ἀειζώου χυλός, ἀκάνθου τοῦ παιδέρωτος ῥίζα, ἀκόρου ῥίζης ἀπόζεμα καὶ αὐτὴ ἡ ῥίζα ξηρά, πολυγόνου χυλός, χαμαίδρυος ἀπόζεμα, νάρδου ἀγρίας ῥίζα ὁμοίως, [Κενταυρείου τοῦ μεγάλου ῥίζα ὁμοίως]· μολόχης ῥίζα μεθ᾽ 2

10 SIM. Aet. III 144.
20 SIM. Pl. 26, 137.

1 *θύμος* addidi 4 *ξηρὸν ἢ καὶ* Spr. post *ῥητίνη* add. *ἢ* RF 5 *ἐκλειχομένη* Moib.: *ἢ γλη(-ι- R)χομένη* RF (*ι* superscr. M²) *ἢ*] *καὶ* mg. add. M² 6 *στρουθίου — μέλιτι* om. F, mg. add. M² 7 *τραγάκανθος* H *φλόβου* F 9 *ἢ* del. Moib. *γλυκείων* O, corr. Moib.

10 *ψα̅* F *ἄλλο* init. add. F post *καὶ* superscr. *ου* M² 11 *τετριμμένου* Q 12 *τὸν* om. H 13 *καὶ* addidi, *ἢ* add. Moib. 14 *πλυσθέντα* O: correxi *μετρημένω* Q (*τ* superscr. M²) 16 *καὶ* om. R *ἢ τερμινθίνη* R *πρόπολις — τερμινθίνη* om. F, mg. add. M² 17 *ἢ* delevi *λιβανωτὶς* mavult Moib. 18 fort. *Κενταυρείου τοῦ μεγάλου*

20 *ψβ̅* F 21 *ἀγαρικοῦ* $\overline{\underline{\div}}$ R: *ἀγαρικοῦ* reliqui 22 *ἢ μετὰ* Q, fort. *μετὰ ὑδρομέλιτος ἢ οἰνομέλιτος* coll. D. III 1 (2, 9) 23 *καὶ — χαμαίδρυος ἀπόζεμα* om. H *πολυγόνου*] *πολυκνήμου* coni. Moib., cf. D. III 94 (108, 3) 25 *Κενταυρείου — ὁμοίως* delevi propter ea quae secuntur *ὁμοίως* om. Q, del. alt. m. R

*ὕδατος, κλεονίκιον μετ᾽ οἴνου, σεσέλεως καρπὸς καὶ ⟨ἡ⟩ ῥίζα
μετὰ οἴνου, ἀλθαίας ῥίζα, ἀλκέα σὺν μελικράτῳ, πηγάνου ἀγρίου
σπέρμα ἐν οἴνῳ, ἁλίμου ῥίζης ⟨· α΄ ἐν μελικράτῳ, βρυωνίας
ῥίζης χυλὸς ἐν μέλιτι ἐκλειχόμενος, ὑὸς ἄφοδος ὄξει διεθεῖσα
καὶ ποθεῖσα, ἀριστολοχείας ῥίζα μετὰ πηγάνου, ἀρκευθίδες*
3 *ε΄ ἢ ϛ΄ μέχρι η΄ πινόμεναι σὺν μελικράτῳ· ἀσφοδέλου ῥίζης
⟨· α΄ σὺν οἴνῳ, βακχάριδος ἀφέψημα ἐν ὕδατι, βολβοὶ ἑφθοὶ
ἐσθιόμενοι σὺν ἐλαίῳ, φλόμου ῥίζα σὺν οἴνῳ, Γεντιανῆς ῥίζης
⟨· β΄ ἢ χυλοῦ ⟨· α΄ σὺν ὕδατι, Ἑλενίου ῥίζης ἀπόζεμα, ἑλιχρύσου
ἢ ἑρπύλλου ἢ ἱππούριδος ῥίζαι καὶ φύλλα σὺν ὕδατι ἢ οἴνῳ,
καλάμου ἀρωματίτου ὀβολοὶ δύο σὺν οἴνῳ, καλαμίνθης ἀπό-
ζεμα, χαλβάνη ἀντὶ καταποτίου, Κενταυρείου ⟨τοῦ μεγάλου⟩*
4 *ῥίζης ⟨· β΄ σὺν οἴνῳ, κεδρίδες ὁμοίως· κέστρου φύλλων ⟨· α΄
μεθ᾽ ὑδρομέλιτος, κλινοποδίου ἀπόζεμα, κόστου ⟨· α΄ μετ᾽ οἴνου
καὶ ἀψινθίου, κρίνου ῥίζα σὺν μέλιτι, λιβανωτίδος ῥίζα, λίθος
σάπφειρος πινόμενος, ἴρεως ῥίζα σὺν γλυκεῖ, ὀπὸς σιλφίου
μετὰ κονίας ὑλιστῆς· ὀποπάναξ μετὰ πρασίου ⟨ἢ⟩ ὀριγάνου
ἀποζέματος, μῶλυ λεῖον σὺν πεπέρει καὶ ὀλίγῃ σμύρνῃ μετ᾽
οἴνου ὀλίγου ἢ ὕδατος, σαγαπηνοῦ δραχμὴ σὺν ὑδρομέλιτι,
σέσελι σὺν οἴνῳ, σκόρδιον σὺν ῥητίνῃ καὶ καρδάμῳ καὶ μέλιτι.*

37 (35) *πλευριτικοὺς δὲ ὠφελεῖ πινόμενα· ἀγαλόχου ⟨· α΄
μεθ᾽ ὑδρομέλιτος, Αἰθιοπίδος ῥίζα ἐν μελικράτῳ ἑψηθεῖσα,
ἀκόρου ῥίζης ⟨· α΄ μετὰ τριφύλλου καρποῦ τοῦ ἴσου ὁμοίως,
Κενταυρείου ῥίζης ⟨· α΄ ὁμοίως, ἁβροτόνου ἀπόζεμα μεθ᾽ ὑδρο-
μέλιτος, σαγαπηνοῦ ⟨· α΄ ὁμοίως, κνίδης σπέρμα σὺν μέλιτι
ἐκλειχόμενον, βρυωνίας ῥίζα σὺν μέλιτι ὁμοίως, ὑπερικοῦ σπέρμα
ποθὲν σὺν ὕδατι, ὑὸς ἄφοδος ἀνεθεῖσα ὕδατι καὶ ποθεῖσα καὶ τὰ*

---

21 EXC. Aet. VIII 76 (176, 24); cf. VIII 68.

---

1 *κλεονίκιον* RF (mg. add. M[2] *ἐν ἄλλῳ κακονίκιον*), *κλεονίκιον — οἴνου* om. H, cf. D. III 95 (108, 4) *σεσέλιος* Q *ἡ* addidi 2 *ἀλκαία* Q *σὺν* R (mg. add. *ἐν* alt. m.): *ἐν* Q *πηγάνου — μελικράτῳ* om. F, mg. add. M[2] 4 *ἰὸς* F (corr. M[2]) *ὑὸς ἀγρίου* D. II 80 (162, 18) 7 *ἑφθοὶ* (mg. add. *ὀπτοὶ* alt. m.) R: *ὀπτοὶ* Q, at cf. D. II 170 (237, 12) 8 *σὺν ὄξει* D. l. s. *ῥίζης*] *ῥίζα* H 9 *χυλὸς* Q 12 *τοῦ μεγάλου* addidi ex Orib. V 349, 11; cf. D. III 6 (11, 8) 16 *σάππιρος* R: *σάπφηρος* F: *σάπφυρος* H 17 *ἢ* add. Moib. 18 *μύλη* F (corr. M[2]) *ὀλίγῃ σμύρνῃ* H: *ὀλίγης σμύρνης* reliqui 20 *σέσελι σὺν οἴνῳ* del. M[2]

21 *ψγ̄* F *ἀγαλίχου* F: *ἀγαρικοῦ* Moib., cf. D. I 22 (28, 1) 22 *αἰθίοπος* H: 24 fort. *Κενταυρείου τοῦ μεγάλου* *ὁμοίως* bis hab. RF 26 *ἀποκρίνου* R: *ἀποκινοῦ* F (mg. add. *ἐν ἄλλῳ ἀποκρίνου* M[2]), correxi coll. Pl. 26, 80 *σπέρ-ματι* F (corr. M[2]) 27 *καὶ τὰ — ποθεῖσα* om. F, mg. add. M[2]

λίαν χρόνια ἀλγήματα λύει, ἀριστολοχείας ῥίζα ποθεῖσα μετὰ
ὕδατος, ἄρου ῥίζα ἑφθὴ ἐσθιομένη, δρακοντίου ὁμοίως, ἀσφο-
δέλου ῥίζα μετ' οἴνου. ἐπὶ δὲ τῶν κεχρονισμένων βαλσάμου
καρποῦ δραχμὴ σὺν μελικράτῳ, Κενταυρείου τοῦ μεγάλου ⟨· β'
τῆς ῥίζης σὺν οἴνῳ, λευκακάνθης ῥίζης χυλοῦ κυ' α' σὺν μελι-
κράτῳ, ῥίζα πευκεδάνου ἐκλειχομένη σὺν μέλιτι, πετροσελίνου
ὁμοίως· πηγάνου ἀπόζεμα ⟨ἢ⟩ ἀνήθου ἢ στοιχάδος ἢ συμφύτου 3
σὺν μελικράτῳ, τριφύλλου καρπὸς καὶ τὰ φύλλα σὺν μελικράτῳ,
τραγοριγάνος ἀποβρεχθεῖσα καὶ περιπνευμονικοὺς ὠφελεῖ μετὰ
ὑδρομέλιτος, ψευδοβουνίου κλωνία τρία ὁμοίως, σαγαπηνοῦ
⟨· α' μετὰ πηγάνου ἀποζέματος. καταπλασσόμενα δὲ ὠφελεῖ
τοὺς πλευριτικούς· κρίθινον ἄλευρον σὺν μελιλώτῳ καὶ κωδύαις 4
μήκωνος ἑψηθὲν ἐν μελικράτῳ, χαλβάνη ἢ ῥητίνη τερμινθίνη
ἐπιτεθέντα καθ' ἑαυτὰ ἀντὶ μαλάγματος, ῥίζα κράμβης καεῖσα
σὺν τοῖς καυλοῖς, ἀναλημφθείσης τῆς τέφρας ὀξυγγίῳ παλαιῷ
καὶ ἐπιτεθείσης, κυπάρισσος σὺν πηγάνου φύλλοις, σαγαπηνὸν
ἀναλημφθὲν κηρωτῇ μυρσινίνῃ, πράσιον ὁμοίως, τέφρα κληματίνη
σὺν ὀξυγγίῳ, κυπαρίσσου φύλλα ἁπαλὰ καὶ σῦκα καὶ ὀξύγ-
γιον ἴσα, ἢ θαψίας χυλῷ τὸν θώρακα κατάχριε πρὸς ὀλίγον.
μάλιστα δὲ ποιεῖ ἐπὶ τῶν περιπνευμονικῶν κώδιον περιχρισθὲν 5
πίσσῃ ὑγρᾷ, καὶ θείου ἀπύρου καταχρισθέντος καὶ ἐπικατα-
πασθέντος τῇ πίσσῃ, καὶ ἐπιτεθέν· δεῖ δὲ τὰ μέσα τοῦ κωδίου
χρίειν, ἵνα μὴ διαρρέῃ ἡ πίσσα. καὶ ὁ τῶν σωματεμπόρων δὲ
δρώπαξ ὠφελεῖ καταχριόμενος, καὶ κονία ἀσβέστου ὄξει γλοι-
ωθεῖσα καὶ ἀναλημφθεῖσα κηρωτῇ κυπρίνῃ, ⟨καὶ⟩ σπύραθοι
αἴγειαι σὺν ὄξει μιγέντος ὀποῦ Μηδικοῦ ὀλίγου.

38 (36) περιπνευμονικοὺς δὲ ὠφελεῖ δρακοντίου ῥίζα ἢ

11 EXC. Archig. (Aet. VIII 76 p. 176^a 4sq.).
27 SIM. Aet. VIII 66.

3 post οἴνου spat. rel. R 5 λευκάνθης R χυλὸς R 6 πετροσελίνου H: πετροσέλινον R: πετροσελλίνιον M 7 ἢ addidi 10 τρία om. F (superscr. M^2), ὅσον τέσσαρα D. IV 124 (272, 3) 12 μελιλώτῳ] mg. add. M^2 ἐν ἄλλω μελικράτω 13 ἑψηθέντος R 14 ἀντϊν . . λέγματος (sic) R ξηρὰ καεῖσα Arch., cf. D. II 120 (194,8) 15 ὀξυγγίῳ χοιρείῳ Arch.: στέατι χοιρείῳ D. l. s. 17 μυρσίνῃ O 18 ἐξούγγιον R: ἀξούγγιον reliqui 19 χυ (λ' superscr.) F 21 καὶ (pr.) del. vult Gesn. θείῳ ἀπύρῳ καταχρισθὲν καὶ ἐπικαταπλασθὲν O: θείου ἀπύρου [καταχρισθέντος καὶ] ἐπικαταπασθέντος Gesn., correxi 22 fort ἢ καὶ 23 διαρρέῃ RH: διαρρίῃ F (corr. M^2): διαρρυῇ Moib.: διαρρέῃ εἰς τὸ σῶμα Aet. ἡ πίσσα del. M^2 . . ματεμπόρων R, cf. I 233 24 ἄσβεστος O, correxi χλειωθεῖσα F (γλοιω superscr. M^2) 25 καὶ addidi 26 αἴγειοι O, correxi coll. D. II 80 (162, 2sq.)
27 ψδ̄ F

ἄρου ἑφθὴ ἐσθιομένη σὺν μέλιτι, κνίδης σπέρμα σὺν μέλιτι ἐκλειχόμενον, ἀμύγδαλα πικρὰ σὺν ὕδατι πινόμενα ⟨ἢ⟩ ἐκλειχόμενα σὺν ῥητίνῃ τερμινθίνῃ, βαλσάμου καρποῦ δραχμὴ μεθ' ὕδατος, ἀψινθίου ἀπόζεμα ποθὲν μετὰ ἴρεως ἢ ὑσσώπου ὁμοίως, κνίδης φύλλα μετὰ πηγάνου ἀποζέματος ἢ σὺν μέλιτι ἐκλειχόμενα, πολυγόνου χυλὸς καταρροφούμενος συνεχῶς, ἢ μελίκρατον πινόμενον ἀπεζεσμένον.

39 (37) ἐπὶ δὲ τῶν λεγομένων ἀναφορικῶν ἄγει τὰ ἐκ
θώρακος σκίλλη ὀπτὴ σὺν μέλιτι ἐκλειχομένη, σκόροδον ἑφθὸν
καὶ ὀπτὸν ⟨ἐσθιόμενον⟩ καὶ τὸ ἐξ αὐτοῦ μυττωτόν, πευκεδάνου
ῥίζης ὀπὸς ἐκλεικτός, πράσον κεφαλωτὸν καὶ πόδες ὕειοι συν-
εψόμενοι ῥοφήμασιν, ἢ πόλιον ὁμοίως· στοιχάδος ἀφέψημα,
συμφύτου πετραίου ἀφέψημα σὺν μελικράτῳ, σῦκα ξηρὰ βρω-
θέντα σὺν ὑσσώπῳ καὶ τὸ ἀπόζεμα αὐτῶν μετὰ ὑσσώπου,
2 χρυσοκόμης ἀφέψημα μετὰ ὑσσώπου. ἀνύει δὲ καὶ τὰ πρὸς
τοὺς περιπνευμονικοὺς ἀναγεγραμμένα, καὶ ταῦτα δέ· στρόβιλος
ὅλος νέος σὺν τῇ περὶ αὐτὸν ῥητίνῃ θλασθεὶς ἐπιμελῶς καὶ
ἑψηθεὶς ἐν γλυκεῖ — καλλίων δὲ ὁ σκυβελίτης ἀντὶ τοῦ γλυκέος
— καθ' ἑκάστην ἡμέραν λαμβανόμενος· ἢ γλήχων σὺν μέλιτι,
3 κάρδαμον φωκτὸν ὁμοίως· θύμος, θύμβρα, ὕσσωπον ἀποζε-
σθέντα σὺν ὕδατι, χαλβάνη ἀντὶ καταποτίου, ἄλευρον κυάμινον
μετὰ δρακοντίου ῥίζης ἢ ἀμυγδάλων ἐν ῥοφήματι λείων ⟨ἢ⟩
σὺν μέλιτι ἐκλειχόμενον· ὄρχεως τῆς σαραπιάδος ἡ ῥίζα πινο-
μένη, πίσσα ὑγρὰ σὺν μέλιτι ἐκλειχομένη, σαγαπηνὸν σὺν μελι-
κράτῳ, σκορδίου ῥίζα ὁμοίως καὶ τοῦ καρποῦ ⟨· α' σὺν οἴνῳ.

40 (38) φθισικοῖς δὲ ἁρμόζει ποτά· ἀγαρικοῦ ὀβολοὶ δύο

---

26 SIM. Aet. VIII 75 (175[a] 5sq.).

---

1 ἄρεον F 2 ἢ add. Moib. 3 δραχμὴ] <· Q 6 post ἐκλειχόμενα add. ὁμοίως H 7 ἀποζεσμένον Q

8 ψε̄ F 9 ἑφθὸν] ὠμὸν Moib., ὠμόν τε καὶ ὀπτὸν καὶ ἑφθὸν D. II 152 (219, 4) 10 ἐσθιόμενον addidi e D. l. s. 11 πράσσου F post πόδες del. ἢ οἱ M[2] ὕιοι om. superscr. M[2] (ch. laes. F) 13 πετρέου H: πεπερίου RF (πετραίου mg. add. M[2]) ἀφεψημένον R 15 χρυσοκόλλης O, corr. Moib., cf. D. IV 55 (210, 4) post ὑσσώπου spat. rel. O 16 ταῦτα Moib.: τοῦτο O δέ R, om. reliqui 17 αὐτῶν F 18 κάλλιον O, corr. Moib. ὁ σκυβελίτης] εἰς κυβεμιτῇ O, corr. Moib., cf. Orib. IV 549, 18 19 λαμβανόμενος Moib.: λαμβανομένου O 20 κάρδαμον — μέλιτι om. F (mg. add. M[2]) θύμον RM[2] fort. θύμος ἢ θύμβρα ἀποζεσθέν O, corr. Moib. 22 ἢ add. Moib. 23 ἐκλιχόμενον H: ἐκλιχομένων reliqui σαραπιάδος R: σαρπιάδος M 24 σαγαπηνοῦ F

26 num. cap. ψϙ̄ F δὲ] γὰρ F, corr. M[2]

μετὰ γλυκέος, ἀκάνθου τοῦ παιδέρωτος ῥίζαι μετὰ μελικράτου,
ἀρνογλώσσου χυλὸς καὶ ἡ πόα ἐσθιομένη ἑφθή, ἀρκίου ῥίζης
<· α' μετὰ ὕδατος καὶ στροβίλων μ' πινομένη, γάλα γυναικεῖον
θηλαζόμενον ἢ αἴγειον ἢ προβάτειον ἢ βόειον πινόμενον, δαφ-
νίδες λεῖαι σὺν μέλιτι ἐκλειχόμεναι· ἐρυσίμου σπέρμα φωκτὸν 2
σὺν μέλιτι ἢ πτισάνης χυλῷ καθεψηθέν, θαψίας ῥίζης ὀποῦ
ὀβολοὶ δύο πινόμενοι μετὰ οἴνου ἢ ἐν ἑψήμασιν ἢ ἑψητοὶ λαμ-
βανόμενοι, καρκίνοι σὺν τῷ ζωμῷ ἑφθοὶ ἐσθιόμενοι, βάτραχοι
ὁμοίως, κραταιογόνου ῥίζα σὺν μέλιτι, μυρρίδος ῥίζα μετὰ
ῥοφήματος· πίσσης ὑγρᾶς κυάθου πλῆθος ἐκλειχόμενον, πράσου
χυλὸς ἢ πράσιον ἐκλειχόμενον, ῥᾶ σὺν ὕδατι, ἐλάφου στέαρ
νεαρὸν καθεψηθὲν ἐν ῥοφήματι, βούτυρον σὺν μέλιτι ἑφθόν.

41 (39) δυσπνοίας καὶ ἄσθματα καὶ ὀρθοπνοίας ⟨ὠφελεῖ⟩
ποτά· ἀβροτόνου δραχμὴ σὺν ὕδατι χλιαρῷ, ἀδιάντου ἀφέψημα
σὺν ὕδατι, περικλυμένου δραχμὴ ἐπὶ ἡμέρας μ' σὺν οἴνῳ, κνίδης
καρπὸς σὺν μέλιτι, ἀλώπεκος πνεύμονος ξηροῦ <· γ' σὺν μελι-
κράτῳ, βρυωνίας ῥίζης χυλοῦ δραχμὴ μετὰ μέλιτος, Ἀμμωνιακοῦ
<· α' σὺν ὀξυμέλιτι, ἀναγύρου φύλλων <· α' ἐν γλυκεῖ, ἀριστο-
λοχείας <· α' τῆς ῥίζης μετὰ μέλιτος ἐκλειχομένη· ἀρνόγλωσσον 2
ἑφθὸν ἐσθιόμενον, ἄσφαλτος ἀντὶ καταποτίου λαμβανομένη,
βακχάριδος ἀφέψημα ἐν ὕδατι, βαλσάμου καρποῦ <· α' σὺν
ὀξυμέλιτι· βότρυς, ἣν ἀμβροσίαν καλοῦσιν ἔνιοι, μετὰ οἴνου·
στρουθίου κοχλιάριον μετὰ μελικράτου, σφονδύλιον ὁμοίως,
δαφνίδες δύο λεῖαι σὺν μέλιτι ἢ τὰ ἁπαλὰ τῶν φύλλων ὁμοίως,
δρακοντίου ῥίζαι ἢ ἄρου ἐσθιόμεναι ἑφθαὶ ῥοφουμένου καὶ τοῦ
ἀφεψήματος· πνεύμονος ἐλαφείου, ἀλώπεκος ἥπατος, στοιχάδος 3

---

13 TEST. Aet. VIII 63: ἐκ τῶν Ἀσκληπιάδου καὶ Διοσκουρίδου κτλ.

---

5 ἐρυσίμου σπέρμα scripsi Moib. duce: ἐρύσιμον ὁμοίως O, cf. D. II 158 (224, 3) σπερμάτια coni. Moib. φωκτὸν O: φωχθέντα coni. Moib. 6 καθεψηθέντα O, correxi 7 ἐν ἑψήματι mavult Gesn. ἑψητοῖς O, correxi: ἢ ἑψητοὶ del. Gesn. 9 μυρτίδος (vel μύρτιδος) O, corr. Moib. coll. D. IV 115 (266, 4)

13 ψξ̄ F ἄσθματος O: corr. Moib. ὠφελεῖ add. Moib. 15 περικυμένου F (mg. add. περικλυμένου M[2]) <· Q ἐπὶ om. F (superscr. M[2]) 16 μέλιτι Moib.: μελία O 17 χυλὸς Q 18 σὺν ὀξυμέλιτι] ἐκλειχόμενον μετὰ μέλιτος ἢ μετὰ πτισάνης ῥοφούμενον D. III 84 (101, 12) ἀναγίνου F (ἀναγίρου corr. M[2]) ἐν γλυκεῖ — <· α' om. F (ἐν — τῆς ῥίζης mg. add. M[2]) 21 ἕψημα F, ἀφ superscr. M[2] 22 ἀβροσίαν F 23 μελικράτου] μέλιτος coni. Moib., σὺν μέλιτι D. II 163 (227, 15) 24 ἢ R: καὶ Q 26 ἐλάφου H

ἴσα σὺν ὕδατι, ἢ καστόριον ἰδίᾳ μετὰ μέλιτος· ἶρις σὺν ὑσσώπῳ καὶ μελικράτῳ ἐν καταποτίῳ διδομένη, Ἑλενίου ἀπόζεμα, σμύρνης κυάμου μέγεθος ἐν καταποτίῳ λαμβανόμενον, σμυρνίου ἀπόζεμα· θαψίας ὀποῦ ÷ ἢ χυλοῦ <· α', θεῖον ἐν ᾠῷ διδόμενον· θύμου ἢ θύμβρας ἢ ὑσσώπου ἀπόζεμα ἢ αὐτὰ
4 λεῖα μετὰ μέλιτος ἐκλειχόμενα· ἱππούριδος χυλός, καλαμίνθης ἀπόζεμα, χαλβάνη ἀντὶ καταποτίου, Κενταυρείου τοῦ μεγάλου ῥίζης <· β' σὺν οἴνῳ, κέστρου <· α' σὺν οἰνομέλιτι, φοίνικος <· α' μετ' οἰνομέλιτος, κισσανθέμου <· α' μετ' οἴνου, κυπαρίσσου σφαιρία σὺν οἴνῳ, κλύμενον σὺν ὀξυκράτῳ· χαμαισύκη πινομένη παύει τοὺς παροξυσμούς· μελάνθιον πινόμενον μετὰ νίτρου, ἢ μελισσοφύλλου χυλὸς ἐκλειχόμενος, ἢ Κυδωνίων πεπείρων
5 χυλός· ὀπόφυλλον μετὰ πράσου καὶ ὄξους, οὖρον παιδὸς ἀφθόρου καταρροφούμενον, πευκεδάνου ῥίζης ἀπόζεμα καὶ ὀπός, περικλυμένου φύλλων χυλός, πηγάνου ἀγρίου σπέρμα μετὰ μελικράτου, πίσσα ὑγρὰ μετὰ μέλιτος ἐκλειχομένη, πισσέλαιον ὁμοίως· πρασίου ἀφέψημα, ῥαφάνου φλοιοῦ χυλὸς ἐκλειχόμενος σὺν μέλιτι, σανδαράκη σὺν ῥητίνῃ τερμινθίνῃ ἐκλειχομένη, σκίλλης ὀπτῆς <· α' μετὰ ὀξυμέλιτος, πάνακος ἀφέψημα, ἀβροτόνου
6 ὁμοίως· γάλα ὄνειον πινόμενον καὶ θεῖον ἐν καταποτίῳ, ὄνοι κατοικίδιοι πινόμενοι ι' μεθ' ἡμικοτυλίου ἐλαίου νήστει· ἢ ἐλατηρίου <· α', νίτρου <· α' [ὁμοίως], σινήπεως <· α' καταπότια ποιήσας δύο δίδου, ἢ εὐζώμου σπέρμα σὺν μέλιτι· ποιεῖ καὶ σιδήρου πεπυρωμένου ἐναποσβεσθέντος ὄξει πινόμενον τὸ ἀπόβρεγμα. ὑποθυμιᾶται δὲ ὠφελίμως πρὸς ἀσθματικοὺς ὅσα καὶ ἐπὶ τῶν χρονίως βηττόντων ὑπεδείξαμεν διὰ τοῦ ἄμβικος.

---

20 SIM. Ant. Musa (Gal. XIII 108).
22 SIM. Orib. IV 550, 29. Aet. VIII 57.

---

1 fort. ἢ post ἰδίᾳ colloc. 2 *μέλιτι* coni. Gesn. 3 *σμύρνης — λαμβανόμενον* om. R 4 *θείου ἐν ᾠῷ διδομένου* O, corr. Moib. fort. *θεῖον ἄπυρον* 5 *θύμον* Q 7 *τοῦ* om. F 10 *κλυμένον* RF: *περικλύμενον* mavult Moib. 11 *νίτρου*] *ἀνήθου* O, correxi coll. D. III 79 (93, 13); Pl. 20, 183 12 *πεπείρων*] *ὠμῶν* D. I 115 (107, 14), fort. *μήλων ὠμῶν* 18 *ἐκχομένη* F 19 *αὐτάρκης δὲ ὁλκὴ τριωβόλου σὺν μέλιτι ἐκλειχθεῖσα* D. II 171 (239, 4) 20 *καὶ* om. Moib. 21 *πινόμενοι*] *διδόμενοι* Sar. *ι'*] *δέκα* H *νήστης* O, corr. Moib. 22 *νίτρου ἀφροῦ* Or. l. s. *ὁμοίως* delevi *σινήπεος* R 23 post *ποιεῖ* dist. O 24 post *σιδήρου* del. *ἀπο* R 27 post *ἄμβικος* aliena (ψη̄) add. F (del. M[2])

42 (40) πρὸς δὲ τοὺς στροφουμένους χρονίως ἁρμόζει πινό-
μενα· ἀγαρικοῦ ∸ μετὰ ὕδατος θερμοῦ, ἀγρώστεως τῆς ἐν
Παρνασσῷ τῆς ῥίζης ἀφέψημα καὶ αὐτὴ ἡ ῥίζα ξηρὰ ἐν οἴνῳ
ἢ μελικράτῳ, γλυκυσίδης ῥίζα σὺν οἴνῳ ἢ μελικράτῳ, χαμαι-
πίτυος ἀπόζεμα, χελιδόνιον σὺν οἴνῳ, λιβανωτίδος σπέρμα σὺν
οἴνῳ, σεσέλεως καρπὸς καὶ ⟨ἡ⟩ ῥίζα σὺν οἴνῳ [καὶ διαμασω-
μένη]· δαμασωνίου <· α′ μετ' οἴνου, κύμινον Αἰθιοπικὸν καὶ 2
ἄγριον μετ' οἴνου, ἶρις ἐκλειχομένη σὺν μέλιτι, ἔλαιον πινό-
μενον μετὰ πηγάνου ἀφεψήματος, ⟨κισσοῦ⟩ κόρυμβοι ἓξ σὺν
νίτρῳ καὶ μελικράτῳ, ἑρπύλλου ἀπόζεμα, ἠρυγγίου ῥίζης <· α′
μετ' οἴνου, καλαμίνθης ἀπόζεμα, καστόριον σὺν ὄξει, Κενταυρείου
τοῦ μεγάλου τῆς ῥίζης <· β′ σὺν οἴνῳ, κέστρου φύλλων <· α′
σὺν οἴνῳ, λιβανωτίδος ῥίζα σὺν οἴνῳ· λιγυστικὸν σὺν ὕδατι 3
καὶ ἡ ῥίζα αὐτοῦ ὁμοίως, μήου ἀπόβρεγμα, μελισσόφυλλον σὺν
οἴνῳ, νάρθηκος σπέρμα σὺν οἴνῳ, πευκεδάνου ῥίζα ὁμοίως,
⟨ἢ⟩ ἀπόζεμα ἢ ὀπός· νίτρον ἢ ἀφρόνιτρον μετὰ πηγάνου ἢ
κυμίνου ἢ ἀψινθίου ἀποζέματος ἢ μετ' ἐλαίου καὶ οἴνου καὶ
ὕδατος, ὀπόφυλλον πινόμενον, σαμψούχου ἀπόζεμα, σισυμβρίου
σπέρμα, σκίλλης ὀπτῆς δραχμὴ σὺν ὀξυμέλιτι· χαμαιδάφνης 4
Ἀλεξανδρίνης ⟨φύλλα⟩ σὺν οἴνῳ ποθέντα, ψευδοβουνίου κλωνία
δ′ μετὰ ὕδατος, πετροσέλινον σὺν οἴνῳ, πέπερι μετὰ δάφνης
φύλλων, ἀνήθου ἀπόζεμα, τῆλις μετὰ κνήκου σπέρματος ἀφεψη-
θεῖσα πινομένη, δαφνίδες ἀφηψημέναι ι′ [ἐν ἄλλῳ ιζ′] ἐν
οἴνου κυάθοις δυσίν, πάνακος ἀπόζεμα μετ' οἴνου καὶ ἐλαίου
πινόμενον.

43 (41) πρὸς δὲ τοὺς ἐμπνευματουμένους μετὰ ἀλγήματος ποσοῦ καὶ διατάσεως ἁρμόζει πινόμενα· ἅμι σὺν ἀνήθου

---

1 *ψθ̄* F *πινόμενα* Sar.: *πινόμενον* O 5 post *οἴνῳ* iterat verba *ἢ μελικράτῳ — οἴνῳ* F, post *σπέρμα σὺν οἴνῳ* del. verba *ἢ μελικρ. — ἀπόζεμα* M *ἢ λιβανώτιδος* Q 6 *σεσέλεως* Sar.: *σέρεως* RF: *σεσέρεως* MH, cf. D. III 53 (67, 9) *ἡ* addidi *καὶ διαμασωμένη* del. Gesn. (dittogr.) 9 *κισσοῦ* addidi *κόρυμβον* F (*κορύμβων* M): *κυάθων* coni. Moib., at cf. Pl. 24, 78 *acini* (sc. hederae) *qui croci sucum habent . . . torminibus laborantes* (sc. tutos praestant) 11 *κενταύριον τὸ μέγα* F 12 *τῆς* om. R *κέστρου — ῥίζα σὺν οἴνῳ* om. FH, mg. add. M² 14 *μελισσοφύλλου* R 16 *ἢ* (pr.) add. Moib. *ἀπόζεμα ἢ* Moib.: *ἀποζέματι* O 17 *καὶ ὕδατος καὶ οἴνου* Q 19 <· Q 20 *φύλλα* add. Moib. e D. IV 147 (289, 17) *ποθεῖσα* O (chart. laes. F), corr. Moib. *ψευδοβουνίου — σὺν οἴνῳ* om. H *ψευδοβουνίου* Moib.: *ψευδωνίου* R: *ψευδονίου* Q (*ψευδοβουνίου ἴσως* mg. add. N²) 23 *ἀφεψημέναι* Q *ἐν ἄλλῳ ιζ′* R: *ἐν ἄλλῳ ζ′* Q, del. HA²

26 *ω̄* F *ἐμπνευματωμένους* F 27 *πινόμενον* O, correxi

σπέρματι ξηρῷ μετὰ μελικράτου, καὶ τοῦ ξύλου αὐτοῦ τὸ ἀπό-
ζεμα, λαπάθου ἀπόζεμα ἐν ὕδατι, Ἀσκληπιάδος ῥίζα μετὰ
2 οἴνου· ἀψινθίου ἀπόζεμα δοθὲν μετὰ σεσέλεως καὶ νάρδου
Κελτικῆς ἐν ὄξει ἢ ὕδατι, ξυλοβαλσάμου ἀφέψημα ἢ τοῦ καρποῦ
σὺν οἴνῳ, Ἑλενίου ἀπόζεμα, ἠρυγγίου ῥίζης <· α΄ μετ’ οἴνου,
καστόριον σὺν ὄξει, κέστρου φύλλων <· α΄, κόστου <· α΄ μετ’
οἴνου καὶ ἀψινθίου, λιγυστικὸν σὺν ὕδατι, καὶ ἡ τῶν πταρμι-
κῶν προσαγωγή.

44 (42) πρὸς δὲ τὰς δήξεις τῶν ἐντέρων ἁρμόζει ἀνδράχνη ἐσθιομένη καὶ ὁ χυλὸς πινόμενος, καὶ μολόχη ἐσθιομένη. ἐγκλυζόμενα δὲ ὠφελεῖ τὰς δήξεις ἀφεψηθέντα· χυλὸς ὀρύζης ἢ χόνδρου ἢ τράγου ἢ πτισάνης ἢ μολόχης ἢ τήλεως ἢ λινοσπέρμου.

45 (43) καταπλασσόμενα δὲ ὠφελεῖ τοὺς στροφουμένους· κύμινον λεῖον ἱκανὸν μιγὲν ὀροβίνῳ ἀλεύρῳ ὠμῆς λύσεως τρόπον. ὠφελεῖ δὲ καὶ τοῦτο· κάρυον βασιλικὸν πυρωθὲν σὺν τῷ κελύφει καὶ περιειληθὲν ἐρίῳ ἢ ὀθονίῳ καὶ ἐπιτεθὲν κατὰ τοῦ ὀμφαλοῦ, πίτυρα σὺν πηγάνου ἀποζέματι καὶ ὄξει, τῆλις ἢ λινόσπερμον σὺν μελικράτῳ, τέφρα θερμὴ βληθεῖσα εἰς τρυβλίον καὶ ζεσθεῖσα ⟨ἐν⟩ ὄξει· δεῖ δὲ περιτιθέντας ὠμόλινον διπλοῦν περικαθάπτειν τὸ τρυβλίον τῷ ἀλγοῦντι μέρει.

46 (44) κολικοὺς δὲ θεραπεύει πινόμενα· ἄμι μετ’ οἴνου, ἀλεκτορίδων ἄφοδος φωκτὴ μετ’ οἴνου, ἀρκευθίδες ἐσθιόμεναι καὶ πινόμεναι, ἰτέας καρπὸς καὶ τὰ φύλλα μετ’ οἴνου καὶ ὀλίγου πεπέρεως ἢ τὸ ἀφέψημα τῶν φύλλων, πετροσελίνου ἢ πολίου ἀφέψημα μετὰ ὕδατος, κοχλίας Λιβυκὸς σὺν τῷ ὀστράκῳ λεῖος μετὰ σμύρνης ὀλίγης καὶ πεπέρεως καὶ οἴνου ποθείς, τήλεως ἡλεσμένης κοχλιάρια δύο μεθ’ ὕδατος.

---

1 ξύλου] ξηροῦ Moib. 4 ἐν ὄξει ἢ ὕδατι Gesn.: ἢ ὄξους ἢ ὕδατος O 5 ῥίζα Q post μετ’ οἴνου transpos. καὶ ἀψινθίου· λιγυστικὸν σὺν ὕδατι καὶ ἡ τῶν πταρμικῶν προσαγωγή Q

9 ωα̅ F 11 χυλῷ (comp. scr.) F

14 ωβ̅ F στρεφομένους F 15 ὠμῆς λύσεως H: ὠμὴ λύσεως reliqui τρόπῳ H: τρόπων F 17 τῷ ὀμφαλῷ H (om. κατὰ) 19 καὶ H, om. reliqui ζεσθεῖσα R: κεσθεῖσα F (e καὶ ζεσθεῖσα ort.): ῥαντισθεῖσα H 20 ἐν addidi περιτεθέντας F καὶ περικαθάπτειν Q

22 ω̅γ F 25 πετροσελίνου Sar.: πετροσέλινον O 27 μυρσίνης Q καὶ (alt.)] μετ’ (vel μετὰ) O, correxi coll. D. Π 9 (125, 10) 28 ὀλισμένης F (ἡλεσμένης corr. in mg. M²) δύο] β̅ Q

47 (45) εἰλεώδεις δὲ ὠφελεῖ ἐνιέμενα· ἔλαιον πηγάνου αὐτῷ
ἐναφεψηθέντος ἢ ἀψινθίου, σῦκα ξηρὰ μετ' ἐλαίου καὶ πηγάνου
ἑψηθέντα, κύμινον σὺν ἐλαίῳ ἑψηθέν. τοὺς δὲ χρονίους ὠφελεῖ
κολοκυνθὶς ἀφεψηθεῖσα σὺν ὕδατι καὶ ἐγκλυσθεῖσα, ἀσφάλτου
< δ' μετὰ ὕδατος ὁμοίως ἐγκλυσθεῖσαι. ὠφελοῦνται δὲ οἱ 2
εἰλεώδεις ἰρίνῳ μύρῳ ποτιζόμενοι, ἀσφάλτῳ μεθ' ὕδατος ἢ
ἐλαίῳ μεθ' ὕδατος καὶ νίτρου· πάνακος < β', νίτρου < α',
κυμίνου < β', μέλιτι μείξας δίδου καρύου Ποντικοῦ τὸ μέγε-
θος σὺν ὕδατι θερμῷ.

48 (46) κολικοῖς ⟨δὲ⟩ ἐν αὐτοῖς τοῖς παροξυσμοῖς δίδου
διαφανὲς καύσας καὶ λειώσας κοχλιάριον ἓν δι' ὕδατος θερμοῦ,
ἢ ἐχίνων θαλασσίων καέντων ὁμοίως, ἢ ⟨κόπρον⟩ κυνείαν
λευκὴν καὶ νίτρον διαλύσας δι' ὕδατος θερμοῦ πεπέρεως ὀλίγον
ἐπιπάσσων, ἢ χελιδόνων κόπρον λειώσας ὁμοίως.

49 (47) κοιλίας δὲ ῥεούσας χρονίως ἐφίστησιν πινό-
μενα σὺν οἴνῳ· ἄγνου σπέρματος < α', ἀγρώστεως τῆς ἐν
Παρνασσῷ ῥίζης < α', ἀγχούσης φύλλα, ἀδιάντου χύλισμα,
ἀειζώου χυλὸς σὺν λιβανωτῷ, ἀκακίας χυλίσματος < α', ὑποκι-
στίδος < α', ῥοὸς χυλοῦ < α', ἀκάνθης λευκῆς < α', ἀκάνθου
⟨τοῦ⟩ παιδέρωτος ῥίζα, ὑακίνθου σπέρμα· ἄκορον λεῖον, λαγώ- 2
πουν, πολυγόνου χυλὸς σὺν οἴνῳ, μολόχης ῥίζα, βάτος ⟨ὄξει⟩
ἐναφεψηθεῖσα μετὰ φοινικοβαλάνων, δαμασωνίου φύλλων < α,
ἄμωμον, γίγαρτα φωχθέντα ἀντὶ ἀλφίτων λεῖα ⟨καταπασσό-
μενα⟩, ἄνησσον, ἄνηθον, περιστερᾶς ἄφοδος φωκτή, κυνὸς
ἄφοδος ξηρὰ λευκή· ἀρνογλώσσου σπέρμα καὶ ὁ χυλὸς ἢ τῆς 3

---

1 EXC. Aet. IX 28.
15 SIM. Gal. (Orib. V 490).
15 EXC. Archig. (Aet. IX 37).

---

1 num. cap. om. F ἠλιώδεις F (ε superscr. M²) ἐνοιέμενα F 2 ος ἢ — ἑψηθέντ (v. 3) om. F, mg. add. M² 4 κολοκυνθὶς Sar.: κολοκένθης F: κολοκύνθη reliqui ἐκλυσθεῖσα F (in mg. corr. M²) 5 μετὰ βραχέος νίτρου λεάνας δίδου πίνειν μεθ' ὕδατος Aet. post ἐγκλυσθεῖσαι spat. rel. O 6 ἀσφάλτου H ἢ — ὕδατος om. Q 7 ἐλαίου R: correxi πάνακος ῥίζης Aet. < β' Aet.: < ε' RF (η' corr. M²) < α'] < κ' Moib.

10 περὶ κολικῶν mg. add. F δὲ addidi 12 κόπρον add. Sar.

15 ωδ̄ F 17 φύλλα Sar.: φύλλων O 19 χυλὸς Q 20 τοῦ addidi, cf. I 218. II 37. 41 λαγόπουν RH: λεγόπουν (α superscr. M²) M (ch. laes. F) 21 χυλὸν Q ὄξει addidi, ὀξυμέλιτι Aet. 22 φοινίκου βαλάνων H 23 γίγαρτα σταφίδων Aet. ἀλφίτου Q, at cf. D. V 3 (3, 7) καταπασσόμενα e D. add. Sar. 24 ἄννησον R 25 ἢ τῆς] ἤ τε Q

πόας μέρη δύο, Κυδωνίων πεφωγμένων μέρος α', εἰς ὕπνον
πινόμενον μετὰ κράματος· μειγνύοις δ' ἂν ἐνίοτε καὶ ἄλφιτα·
ἀρκευθίδες μετὰ οἴνου, ἀσπαλάθου ἀπόζεμα, ἄσφαλτος ἀντὶ
καταποτίου, ἀστραγάλου ῥίζης <· α', ἀχράδος ξηρᾶς τὸ ἄλφιτον
ἐπιπασσόμενον ἢ πινόμενον τὸ ἀφέψημα, πενταφύλλου τὸ
4 ἀφέψημα· γῆς Σαμίας <· α' σὺν βαλαυστίῳ ἢ κρόκῳ Κιλικίῳ,
γλυκυσίδης ῥίζης ἀφέψημα, δρυίνου ὑμένος ἢ τοῦ περὶ τὴν
βάλανον ὑμενίου τὸ ἀφέψημα, ἔλυμον φωχθὲν ἀντὶ ἀλφίτου,
κέρατος ἐλαφείου κεκαυμένου <· γ', σμύρνα ἀντὶ καταποτίου
λαμβανομένη, μαράθου σπέρμα καὶ αἱ ῥίζαι, ἰτέας φύλλων χυ-
5 λός, καστανίων φλοιοῦ ἀπόζεμα· κηκὶς λεία ἐπιπασσομένη ὕδατι
ἢ οἴνῳ αὐστηρῷ, κονία συκίνη μετ' ὄξους ζεσθεῖσα καταρροφου-
μένη, πετρο⟨σελίνου καὶ⟩ λαπάθου ῥιζῶν ἀφέψημα· κονίας κυ'
β', ἐλαίου κυ' β', ὄξους κυ' α', θερμὰ καταρροφούμενα· ἀριστο-
λοχείας <· γ', κυτίνων μθ' . . . <· β' μετ' οἴνου.

50 (48) δυσεντερικοὺς ⟨δὲ⟩ ὠφελεῖ μὲν καὶ τὰ πρὸς κοιλια-
κοὺς ἀναγεγραμμένα, ἰδίως δὲ μετ' οἴνου λαμβανόμενα ἢ στύμ-
ματός τινος ἁρμόζει· ἀγαλόχου <· α', λελίσφακος, Εὐπατορίου
χυλὸς καὶ ἡ πόα, πενταφύλλου χυλὸς καὶ ἡ ῥίζα ξηρά, ὑποκι-
στίς, πρασίου χυλός, σιδηρίτιδος τῆς Ἡρακλείας φύλλα καὶ ἡ
ῥίζα, ἰτέας ῥίζα, συμφύτου ῥίζα καὶ ὁ καρπὸς καὶ ⟨τὰ⟩ φύλλα·
2 ὀξαλλίδος ὁ καρπός, νυμφαίας ⟨ὁ⟩ καρπός, ἀλθαίας ῥίζης ἀφ-
έψημα, Ἀχιλλείου πόας ἀφέψημα, βάτου χυλὸς καὶ τὸ ἀφέψημα
τῶν καυλῶν, γάλα ἑφθὸν αἴγειον, ἀλκέας ῥίζα, γναφάλλιον σὺν
οἴνῳ αὐστηρῷ, ἐλατίνη μετὰ λινοσπέρμου ἑψηθεῖσα καὶ πινο-
μένη, ἐλάτης μυρεψικῆς ἀπόζεμα, Εὐπατορίου σπέρματος <· α'

16 SIM. Pl. 26, 44 sq.
16 EXC. Aet. IX 47.

1 κυδωνίῳ R   πεφωσμένων R: πεφωγμένον H: πεφωσμένον reliqui   3 ἀσπαλάθου Aet.: ἀσφαλάθου O   ἄσφαλτον Aet.: ἀσπάλαθον O   5 ἐπιπασσόμενον (λ superscr. M²) M   ἢ] καὶ R   7 γλυκύδης F   δρυίνου — ἀφέψημα om. F, mg. add. M²   τὸν R   8 τὸ om. R   9 σμύρναν F   10 αἱ ῥίζαι R: ῥίζαι Q   11 καστανίου H   fort. τὸ ἀπόζεμα   12 ἢ om. F   13 πετρολαπάθου O: τοῦ τετάρτου λαπάθου Moib. coll. D. II 114 (189, 1. 7), correxi e D. III 66 (77, 11)   14 β' (alt.) om. Q   15 μθ' om. Q   post μθ' spat. rel. R, fort. ἀφεψήματος supplendum   β' R: α' Q

16 ωε F   δὲ addidi   18 λελίσφακος RF (ἐλελ. M²)   ἀπατορίου Q   20 ἡρακλίτιδος R: ἡρακλήτιδος FH: ἡρακλείου Aet., correxi coll. D. IV 33 (193, 15)   τὰ φύλλα Aet.   21 τὰ addidi ex Aet.   22 ὀξαλίδος H: ὀξαλλίδος reliqui   ὁ addidi e N   ante ἀλθαίας add. ῥέον Ποντικόν Aet.   23 χυλοῦ R   24 ἀσκέας O   26 ad ἐλάτης μυρεψικῆς cf. D. I 109 (103, 4 sq.)

σὺν οἴνῳ, κέρατος ἐλαφείου ⟨· α′ μετ᾽ οἴνου καὶ μέλιτος προαφηψημένου ἐκλειχομένη, ⟨ἱππούριδος χυλὸς μετὰ γλυκέος⟩, ἱππομαράθου σπέρματος ⟨· βϛ′ ἢ ⟨· ε′, ἄνθη λευκοῦ κισσοῦ σὺν οἴνῳ πινόμενα δὶς τῆς ἡμέρας· μυρσίνης καρπὸς σὺν οἴνῳ, 3 κλυμένου χύλισμα, λωτοῦ πρισμάτων ἀφέψημα σὺν οἴνῳ, μίλτου Λημνίας ἢ Σινωπικῆς ⟨· α′ ἐν οἴνῳ, οἰνάνθη ξηρὰ πινομένη ἀντὶ ἀλφίτου, ὁλοσχοίνου καρπὸς πεφωγμένος, φιλεταιρίου ῥίζα σὺν οἴνῳ, χονδρίλης χυλός, ξυρὶς μετ᾽ οἴνου, φλόμου ῥίζης ⟨· β′, ψυλλίου ⟨· α ἐν ὕδατι, κυνεία κόπρος ξηρὰ ἐπιπασθεῖσα οἴνῳ, λαγωοῦ πυτίας ⟨· α′ ἐν ὕδατι.

51 (49) ἐν προσφορᾶς δὲ μέρει ὠφελίμως δίδονται κοιλιακοῖς καὶ δυσεντερικοῖς μολόχαι ἄναλτοι ὡς μίλητος, ἐλαῖαι πρόσφατοι πέπειροι· ἢ αἷμα τράγου ἢ αἰγὸς καὶ ἐλάφου καὶ λαγωοῦ ἀπὸ τηγάνου ἐσθιόμενον ⟨ὀπτόν⟩· σταφυλὴ ἐκ στεμφύλου, ἀσταφίδες ὀμφακίτιδες κοπεῖσαι καὶ σὺν ἀλεύρῳ ἀρτοποιηθεῖσαι καὶ ἄρτος μετὰ ᾠοῦ λεκίθων φυραθεὶς καὶ ὀπτηθείς, καὶ αὐτὴ δὲ ἡ ἀσταφὶς ἐσθιομένη σὺν τοῖς γιγάρτοις· ἄμυλον 2 σὺν χόνδρῳ ἑφθὸν καὶ σὺν γάλακτι, ἀρνογλώσσου φύλλα ἑφθὰ μετ᾽ ὄξους καὶ ἐλαίου, καὶ κηκὶς καὶ ῥοῦς ἐπιπασσόμενα τοῖς ὄψοις, ἢ ζειὰ πεφωγμένη, ἢ φακὸς πεφωγμένος λεῖος ἀλφιτηδὸν πινόμενος, ἢ γίγαρτα ὁμοίως, ἢ ἄλφιτα, ἢ κέγχροι· βάτου ἀκρεμόνες ἑφθοὶ δι᾽ ὀξελαίου λαμβανόμενοι, ὁμοίως ἀρνόγλωσσον, βάτου καρπὸς πέπειρος ἐσθιόμενος, καὶ ἄωρος δὲ ξηρανθεὶς ἀντὶ ῥοὸς λεῖος ἐπιπάσσεται τοῖς προσοψήμασιν· κηκὶς 3

11 SIM. Orib. IV 569.

1 προαφεψημένον Q 2 ἱππούριδος χυλὸς (χυλοῦ Aet.) μετὰ γλυκέος addidi ex Aetio coll. D. IV 46 (204, 8) 3 <· βοη̄ <· ε̄ FM: βοη <· ε̄ R: correxi 5 περικλυμένου Sar., at cf. D. IV 13 (178, 5) fort. λωτοῦ τοῦ δένδρου φλοιὸν λιβάνου λεῖον πινόμενον add. Aet. 6 Δημνία σφραγίς, μίλτος Σινωπική Aet. 7 πεφωγμένος H Aet.: πεφωσμένος reliqui 8 ξυρὶς scripsi: ἶρις O: κηκὶς vel κηρὸς Sar., cf. D. IV 22 (187, 6) 10 πιτύας RH α′] δ̄ R

11 verba ἐν προσφορᾶς — μίλητος cum antecedentibus coniungit O verbis κοιλιακοῖς καὶ δυσεντερικοῖς post μίλητος transpositis: corr. Sar. a κοιλιακοῖς nov. cap. (ωϙ̄) inc. F δίδοται O, corr. Moib. 12 ὡς om. F (mg. add. M²) μίλητος corruptum: λάχανον Gesn., fort. ἔντιλτος 13 πέπειραι Q 14 πηγάνου O, at cf. D. II 79 (161, 2) ὀπτόν add. Gesn. ἐκ σταφύλου F (mg. add. ἐν ἄλλῳ ἐκ στεμφύλου M²), cf. D. V 3 (2, 19) 16 fort. ὁ ἄρτος 18 ἐφθῷ O, correxi 19 καὶ tert.] ἢ O, correxi 20 ἀλφιτηδὸν O, suspectum, fort. ὡς ἄλφιτα coll. I 198 21 πινόμενον Q 23 αὖρος (ἄωρος mg. add. M²) M (ch. laes. F) 24 ἐπιπλάσσεται Q πρὸς ἐψήμασι Q: προσεψήμασιν R

ὀμφακίνη μετὰ πόλτου ἑψηθεῖσα ἐν τῷ ὕδατι, ἢ γίγαρτα
ὁμοίως ἢ σταφίδες, εἶτ' ἐξενεχθέντα ἐκ τοῦ πόλτου ἐσθιομένου·
Ἑλένιον ἑφθὸν ἐσθιόμενον, πόλτος ἐξ ἐλύμου ἢ κέγχρου ἢ ζειᾶς
ἢ χόνδρου πεφωγμένου ἢ ὀρύζης, ἢ σμύρνιον ἑφθόν, κάρυα
βασιλικά, κεράτια ξηρὰ καὶ τὰ ἀπὸ στεμφύλων, κηκὶς λεία μετὰ
4 ᾠοῦ ῥοφηθεῖσα καὶ οἴνῳ δὲ ἐπιπασθεῖσα· κορωνόποδος ῥίζα
ἐσθιομένη, κύαμος Ἑλληνικὸς καθεψηθεὶς ἐν ὀξυκράτῳ σὺν τῷ
λέπει ἐσθιόμενος, λινόσπερμον φρυγὲν καὶ μετὰ μέλιτος ἑφθοῦ
ἐσθιόμενον, λωτοῦ ⟨τοῦ δένδρου⟩ καρπὸς ἐσθιόμενος, μέλι
ἑφθὸν καταπινόμενον καθ' ἑαυτὸ καὶ σὺν σιδίοις κεκομμένοις
καὶ σεσησμένοις· μέσπιλα ⟨ἢ⟩ μῆλα Κυδώνια πέπειρα ἑφθὰ
μετὰ μέλιτος, ἢ διατεμὼν τὰ Κυδώνια καλάμῳ καὶ ἐναποβρέχων
5 ὕδατι δίδου πίνειν τὸ ἀπόβρεγμα· μυρτίτης οἶνος πινόμενος
καὶ μύρτα ξηρὰ χυλιζόμενα, οὖα ξηρὰ ἀποζεννύμενα καὶ πινόμενον τὸ ἐξ αὐτῶν ⟨ἄλευρον ἀντὶ⟩ ἀλφίτων, ἢ ἀχράδων ὁμοίως·
σέριδες ἑφθαὶ μετ' ὄξους ⟨λαμβανόμεναι⟩, ἀρνόγλωσσον ὁμοίως,
σελίνου καυλοὶ ὁμοίως· φακῇ μετὰ ἀρνογλώσσου ἢ ἀνδράχνης
ἢ σέριδος ἢ κιχορίων ἢ ῥοᾶς λεπυχάνων ἢ φοινίκων Θηβαικῶν
ἡψημένοι, στέαρ ἐλάφειον νεαρὸν σὺν τυρῷ ἢ ἀλφίτῳ ἡψημένον,
ἧπαρ ὀπτὸν αἰγὸς ἢ τράγου ἐν μέλιτι ἐπιτηγανισθέν, ἐγ-
6 κέφαλος ὁμοίως· τυρὸς ἁπαλὸς ἀποξεσθεὶς καὶ ἀποπιεσθείς,
ἔπειτα ἐν μέλιτι τηγανισθείς· χελιδόνων νεοττοὶ ὀπτοὶ ἐσθιόμενοι
ἀντὶ συκαλλίδων, καὶ λύγου ῥίζα ἡψημένη σὺν φακῇ· κηρὸς ἢ
μελίκηρον ἐγκαθεψόμενον τοῖς ῥοφήμασιν, κράμβη δὶς ἑφθὴ
ἐσθιομένη, θρίδακες ἄπλυτοι ἐσθιόμεναι, ⟨καὶ⟩ μάλιστα ἐπὶ
τῶν ἀνορέκτων· πυτία νεβροῦ ἢ λαγωοῦ ἢ ἐρίφου διεθεῖσα
ὕδατι καὶ ποθεῖσα.

---

1 πάλτου (πόλτου in mg. M²) M (ch. laes. F) 2 ἐξενεχθέντες O, corr. Gesn. 3 κέχροι F 5 στεφύλλων F, cf. D. I 114 (107, 3) 6 ἐπιπλασθεῖσα Q 8 λινόσπερμον — ἐσθιόμενος om. F, mg. add. M² 9 τοῦ δένδρου addidi 11 μέσπιλλα F ἢ addidi 12 ἀναποβρέχων F 14 οὖα] οἰᾶ F: ᾠὰ R, corr. Moib. πινόμενα Q 15 ἄλευρον ἀντὶ add. Gesn. e D. I 120 (111, 12) ἄλφιτον H 16 λαμβανόμεναι suppl. Gesn. e D. II 132 (204, 6) ἀρνογλώσσων F 17 φακοὶ R: φακὴ Q 18 κιχωρίου H λέπη χάνων (λεπήρων H) Q φοίνικες θηβαικοὶ O, corr. Gesn. ex D. II 107 (181, 12) 19 ἑψημένοι Q ἑψημένων (alt.) F 20 fort. ὁ ἐγκέφαλος 21 ἀποξεσθεὶς καὶ om. F (mg. add. ἀποξανθεὶς καὶ M²) ἀποπιεσθείς] ἀποζεσθεὶς F 23 συκαλίδων Spr., cf. D. II 56 (138, 11) 24 κραμβήδες R 25 ἐσθιόμενοι O, corr. in mg. R καὶ addidi 26 νεκροῦ (corr. pr. m.) R: νευροῦ Q διεθεῖσα καὶ ποθεῖσα ὕδατι O, corr. Sar.

52 (50) καταπλάσσεται δὲ πρὸς κοιλιακοὺς καὶ δυσεντερικοὺς ὠφελίμως ἀγριελαίας ἄνθος σὺν ὠμῇ λύσει χλιερᾷ, βάτου φύλλα σὺν μήλῳ Κυδωνίῳ καὶ κηρωτῇ, μυρσίνης φύλλα λεῖα σὺν οἴνῳ καὶ ὀμφακίνῳ ἐλαίῳ γλοιώδη γενόμενα καὶ ἐν ἐρίῳ ἐπιτιθέμενα, κρίθινον ἄλευρον σὺν οἴνῳ καὶ βάτῳ ἢ ἀχράσιν ἢ σιδίοις ἢ Κυδωνίων ἄνθεσιν, καὶ σὺν κηρωτῇ δὲ τὰ τῶν Κυδωνίων ἄνθη· ῥοᾶς λέπη ἡψημένα ἐν οἴνῳ λεῖα σὺν κηρωτῇ, ῥοῦς βυρσοδεψικὴ 2
σὺν κηρωτῇ, φοινικοβάλανοι ἢ αἱ καρυωτίδες σὺν μήλῳ Κυδωνίῳ καὶ κηρωτῇ, οἰνάνθη ἢ στυπτηρία σὺν ἀλόῃ καὶ ἀκακίᾳ καὶ φοίνιξιν καὶ ἀειζώου σπέρματι, περιστερᾶς κόπρος ξηρὰ σὺν σύκοις ἡψημένοις ἐν οἴνῳ· ἢ μελάνθιον σὺν κυμίνῳ καὶ θέρμοις πικροῖς καὶ νίτρῳ καὶ μέλιτι, ἢ κάρδαμον σὺν σιδίοις ἑφθοῖς καὶ κηρῷ καὶ ἀμόργῃ.

53 (51) ἐνίεται δὲ ἐπὶ κοιλιακῶν συμφερόντως καὶ δίδοται δὲ ⟨αὐτοῖς⟩ ἀμπέλου φύλλων ⟨χυλὸς⟩ καὶ [χυλὸς] ἀνδράχνης, ἀκακίας, ὑποκιστίδος, ἀρνογλώσσου χυλός, βαλαύστιον, μίλτος Σινωπικὴ μετά τινος τῶν στυφόντων ἀφεψήματος, λωτοῦ ἢ φηγοῦ πρισμάτων ἀφέψημα, ῥοὸς βυρσοδεψικῆς χύλισμα καὶ τὸ ἀφέψημα τῶν φύλλων, φακῆ μετὰ ῥόδων ἀφεψηθεῖσα· πτισάνη σὺν βάτων ἀφεψήματι ἢ μυρσίνης ἢ σφαιρίων κυπαρίσσου, καὶ καθ᾽ ἑαυτὰ δὲ τὰ ἀφεψήματα χωρὶς πτισάνης ἐνίεται ὠφελίμως.

54 (52) ἐπὶ δὲ δυσεντερικῶν ἁρμόζει μὲν καὶ τὰ πρὸς κοιλιακοὺς ἐνέματα, ἰδίως δὲ ἐπὶ τῶν περιωδυνούντων· βούτυρον καθ᾽ ἑαυτὸ πρόσφατον, ἢ μολόχης ἢ τήλεως ἢ λινοσπέρμου ἢ χόνδρου ἢ πτισάνης ἢ ὀρύζης ἢ τράγου ἑψηθέντων καὶ τορνηθέντων ὁ χυλός. ἐπὶ δὲ τῶν δίχα ἀλγηδόνος ῥευματιζομένων

23 SIM. Orib. IV 569, 16.

1 ωζ̄ F 2 χλιερᾷ RF: χλιαρᾷ H 3 μήλῳ — σὺν (v. 3) om. F (mg. add. M[2]) μυρσίνης bis habet R σὺν οἴνῳ λεῖα F (λεῖα del. M[2]) 6 post κηρωτῇ add. καὶ αὐτὰ H 7 ἑψημένα Q 8 αἱ] οἱ F, om. RH καρυωτοὶ O (mg. add. καρυώτιδες M[3]) 10 καὶ (alt.) H, σὺν RF ξηρὸς F 11 συχοῖς F ἑψημένοις MH 13 ἑφθοῖς] ἑφθὸν coni. Gesn.

14 ωη̄ F 15 δὲ om. H αὐτοῖς addidi φύλλοις Q (chart. laes. F) χυλὸς transposui Gesn. duce 16 ἢ ἀκακίας ἢ ὑποκιστίδος Gesn., fort. recte βαλαύστια H 20 βάτου (in βάτων corr.) R: ὤτων (βά superscr. M[2]) M (ch. laes. F)

23 ωθ̄ F, cum cap. anteced. coni. H 26 post ἢ (pr.) fol. vacuum rel. FM (text. e R add. M[2]), om. c. 56—61 (271, 16) F τορονηθέντων RM[2]H, corr. Moib. 27 post χυλός spat. rel. et mg. add. ζή (τ superscr.) M[2], post χυλός nov. cap. inc. R

ἁρμόζει ἅλμη μετὰ οἴνου, κέρας ἐλάφειον κεκαυμένον σὺν οἴνῳ λεῖον, πομφόλυξ σὺν οἴνῳ καὶ ῥοδίνῳ, ἀρρενικὸν σὺν χάρτῃ
2 κεκαυμένον διπλασίονι καὶ οἴνῳ· μολύβδου σκωρία ἢ μολύβδαινα μετὰ μυρσινίνου, ἄσφαλτος σὺν πτισάνῃ τακεῖσα, στοίβης ἀπόζεμα σὺν οἴνῳ, γάρος ὁ ἀπὸ τῶν ἰχθύων ἐνιέμενος ἐπὶ τῶν μετὰ νομῆς καὶ ὁ ἀπὸ τῶν σιλούρων, κονία συκίνη στακτή, οὖρον παλαιόν, κυάμου Ἑλληνικοῦ τοῦ λέπους τὸ ἀφέψημα σὺν αἰγείῳ στέατι, Λυσιμαχείου χυλός, λωτοῦ ἢ φηγοῦ πρισμάτων ἀφέψημα σὺν αἰγείῳ στέατι, μελισσοφύλλου χυλός, μίλτος Σινωπικὴ σὺν ἀποζέματι στύφοντι ἢ ὀξάλμῃ.

55 (53) ἀποθεραπεύει δὲ τὰς ἐκ τῶν ἐπιτεταμένων ἐνεμάτων δήξεις γάλα ἐγχυματιζόμενον ἢ βούτυρον ἢ χόνδρου ἀφέψημα, ἢ ταύρειον στέαρ τεθεραπευμένον σὺν πτισάνης χυλῷ, ἢ ὀρνίθειον ὁμοίως ἢ χήνειον ἢ ἐλάφειον, ἢ μυελὸς ἐλάφειος ἢ μόσχειος καθ᾽ ἑαυτὸν χλιερὸς ἢ σὺν χυλῷ πτισάνης.

56 (54) ἐγκαθίσματα δὲ ἐπὶ κοιλιακῶν καὶ δυσεντερικῶν ἐστι ταῦτα· γάρος σιλούρων ἢ ἰχθύων μετ᾽ ὄξους κραθείς, ῥοῦς βυρσοδεψικῆς ἀφέψημα, ῥοᾶς λεπῶν ἀφέψημα, στεμφύλων ὁμοίως, καὶ πάντα τὰ τῶν στυφόντων ἀφεψήματα. ἁρμόζει δὲ θερμοῖς ἐγκαθέζειν ἐπανιέντας τὸν δακτύλιον καὶ ἐγχρονίζοντας καὶ διαστέλλοντας τὰ πυγαῖα.

57 (55) πρὸς δὲ τὸ μὴ συνεχῶς ἐρεθίζεσθαι δεήσει κατὰ δακτύλιον πίλημά τι ἐμβαλόντας εἰς ἔλαιον ζέον ἢ ὕδωρ ἢ ὄξος παρατιθέναι.

58 (56) ἰκτεριῶντας δὲ ποτίζειν ἀδιάντου ἀπόζεμα ἐν οἴνῳ,

---

25 SIM. Pl. 26, 123; Arch. (Gal. XIII 234).
25 EXC. Orib. V 765, 21. IV 564, 10. Aet. X 18.

---

1 ἐλάφου H   2 λεῖον — σὺν οἴνῳ (v. 2) om. M²   4 μυρσίνου O, corr. Sar.   6 νομῶν Moib.   7 τοῦ λεπτοῦ O, corr. Sar.: σὺν τῷ λέπει Gesn. coll. D. II 105 (179, 3)

11 nov. cap. inc. R   ἀποτεταμένων O, corr. Gesn.   ἐνεμάτων] ἐναίμων R: κικίμων M² (mend. not.) H (ἴσως διδύμων mg. add. H): corr. Gesn.   13 ταύρου H   14 ἐλάφου H   15 χλιερὸς R: χλιαρὸς M²

16 nov. cap. inc. R   17 γάρος om. M²H (mend. not. H)   18 λεπίδων H   20 ἐγκαθέζειν R: ἐγκαθίζειν M²   21 τὰ πύγη R: τὴν πηγήν M², correxi coll. Sor. γυν. I 102 (277, 9)

22 a πρὸς δὲ nov. cap. inc. Gesn.   κατὰ δανήματος O (ἴσως διαλήματος mg. add. H): κατάδημά τι Gesn., κατὰ δακτύλιον πίλημά τι coni. Moib., sed dubito   23 ἐμβαλόντας] βάλλοντα O, correxi   fort. ζεστὸν ἢ   ὄξος ἢ ὕδωρ Sar.

25 ποτίζειν O, πότιζε Sar., fort. praestat ποτίζειν δεῖ   ἀποζέματι RM²

ἀγχούσης ῥίζης <· α′ μετ᾽ οἴνου, ἀνδραφάξεως, ὑπερικοῦ Γο γ′
σὺν μέλιτι καὶ οἴνῳ, πράσιον μετ᾽ οἴνου, πέπλιον· ποιεῖ ⟨καὶ⟩
σφονδυλίου ῥίζα καὶ τὸ σπέρμα μετ᾽ οἴνου, ἐρυθροδάνου ῥίζης
<· α′ μετ᾽ οἴνου, ἀλόης <· α′ σὺν ὕδατι, ἀνθεμίδος ῥίζα καὶ τὰ
ἄνθη μετ᾽ οἴνου, σπύραθοι αἰγῶν καὶ μάλιστα ἀγρίων μετ᾽
οἴνου καθ᾽ ἑαυτὰς καὶ σὺν ἀρώμασιν, ἱερᾶς βοτάνης τῶν φύλ-
λων <· α′ μετὰ λιβανωτοῦ <· ς′ καὶ οἴνου παλαιοῦ ⟨θερμοῦ⟩
κο′ α′ νήστει ἐπὶ ἡμέρας δ′ ἢ ϙ′· μάραθον μετ᾽ οἴνου, ἀσπα- 2
ράγου ῥίζης ἀφέψημα καὶ τὸ σπέρμα πινόμενον ὁμοίως, ἀψίν-
θιον ὠμοτριβὲς σὺν Ἰνδικῇ νάρδῳ ἢ Κελτικῇ, σελίνου ἢ ἀδιάν-
του ἢ βουφθάλμου τὰ φύλλα σὺν οἴνῳ πινόμενα μετὰ βαλανεῖον
εὔχροιαν πρὸς καιρὸν περιποιεῖ· βουνιάδος σπέρματος <· δ′ σὺν
οἴνῳ, γλυκυσίδης <· α′ σὺν οἴνῳ, κέρατος ἐλαφείου κεκαυμένου
<· α′ σὺν μέλιτι, ἐρέβινθοι μέλανες ἐσθιόμενοι, καὶ οἱ λευκοὶ
δὲ καὶ τὸ ἀπόζεμα πινόμενον· ἐρύσιμον σὺν μελικράτῳ, θείου 3
ἀπύρου κοχλιάριον ἐπιπασσόμενον ὕδατι ἢ ⟨μετ᾽ ᾠοῦ⟩ ῥοφού-
μενον, ἱππομαράθου ῥίζα ἢ καρπὸς πινόμενος, καλαμίνθης
ἀπόζεμα, κέστρου <· α′ μετ᾽ οἴνου, κονύζης φύλλων <· α′ μετ᾽
οἴνου, κυκλαμίνου <· γ′ μεθ᾽ ὕδατος — κατάκλινε δὲ ἐν θερμῷ
οἴκῳ καὶ πλείοσιν ἱματίοις χρῶ· χολώδη γὰρ ἱδρῶτα ἐκκρινεῖ —,
λιβανωτίδος ἀπόζεμα μετὰ περίπατον σὺν ἐρεβίνθοις, καὶ ἡ
ῥίζα δὲ σὺν οἴνῳ· λειχὴν ὁ ἐπὶ τῶν πετρῶν διαχριομένου τοῦ 4
στόματος καὶ τῆς γλώττης, ὀξυμυρσίνης ῥίζης ἀπόζεμα σὺν
οἴνῳ, μυρίκης ἀπόζεμα σὺν οἴνῳ, ὄνοι οἱ ὑπὸ ταῖς ὑδρίαις ἓξ σὺν
οἴνῳ, ὀξαλλίδος ῥίζαι ἑψηθεῖσαι σὺν οἴνῳ, ὀπόφυλλον σὺν ταρίχει
καὶ οἰνομέλιτι ἐσθιόμενον, σεύτλου ῥίζαι ἑφθαὶ ἢ ὀπταὶ ἐσθιό-
μεναι, πενταφύλλου τῶν φύλλων χυλὸς πινόμενος ταχέως ὑγιά-

1 ἀνδραφά(ξ superscr.) RM^2H: ἀνδραφάξεως N   ὑερποῦ R   Γο γ′] κόγχη O, correxi ex Arch. (Gal. l. s.)   2 πεπλίον R: πέπερι H: πέπλιοι M^2 ποιεῖ] ἔνιοι R, om. reliqui, correxi (deest verbum recto casui qui sequitur v. 4)   καὶ addidi   3 ῥίζα scripsi: ῥίζας R: ῥίζης F   4 <· α′ pr.] τριώβολον Arch., fort. <· ς′   μετ᾽ οἴνου] μετὰ μελικράτου D. III 143 (153, 6), Arch. l. s.   7 <· ς′ O, cf. D. IV 60 (214, 7)   θερμοῦ addidi e D. l. s., Pl. 8 κο′ ᾱ R: κυ′ β̄ M^2: *hemina* Pl.   ἐφ᾽ ἡμέρας τέσσαρας D. l. s., Pl.   10 σέλινον M^2 11 βαλάνειον e βαλανεῖον corr. M^2 12 πρόσκαιρον M^2H   ποιεῖ M^2 16 μετ᾽ ᾠοῦ add. Gesn. coll. D. V 197 (78, 9), cf. Orib. IV 564, 20   18 κορύζης R   19 <· γ′] <· ϙ̄ H, at cf. D. II 164 (229, 4), Pl. l. s.   μεθ᾽ ὕδατος] μετὰ γλυκέος ἢ μελικράτου ὑδαροῦς D. l. s., at cf. Nicer. (Gal. XIII 234, 2)   κατάκλιναι O, correxi   20 οἴνῳ M^2 ἐκκρινεῖ R   22 λιχῆνος τοῦ O, corr. Moib.   verba διαχριομένου — γλώττης Sar. suspecta, at cf. D. IV 53 (209, 2)   τοῦ στόματος καὶ τῆς γλώττης del. M^2 24 ἓξ mg. add. R, om. M^2

ζει, πόλιον ἐν οἴνῳ λευκῷ, σκίλλης ἑφθῆς <· α΄ σὺν ὀξυμέλιτι
5 ἐκλειχομένη καὶ πινομένη μετὰ μελικράτου· στρουθίου ῥίζα σὺν
μέλιτι ἐκλειχομένη καὶ πινομένη μετὰ μελικράτου, στρύχνου τοῦ
χαμαιζήλου ⟨τοῦ⟩ λεγομένου ἁλικακκάβου χυλὸς πινόμενος μετ᾽
οἴνου, ὑακίνθου καρπὸς σὺν ἀβροτόνῳ πινόμενος, χαμαιπίτυος
ἀφέψημα σὺν ὕδατι, χαμαικίσσου <· α΄ μετ᾽ οἴνου ἐπὶ ἡμέρας
ϛ΄ ἢ ζ΄, αἷμα σκύλακος κυνὸς σὺν ὀξυκράτῳ πινόμενον — τοῦτο
6 δὲ καὶ ὑδρωπικοὺς ὠφελεῖ —· βρύον τὸ ἐπὶ τῶν ἐνύδρων λί-
θων καρύου βασιλικοῦ μέγεθος μετ᾽ οἰνομέλιτος πινόμενον
πλῆθος κυ΄ ϛ΄ ἐπὶ ἡμέρας γ΄. ἄλλο καὶ τοῦτο καλῶς ποιοῦν·
ἀφρονίτρου <· β΄ βρέξας οἴνῳ Ἀμιναίῳ κυ΄ β΄ καὶ πρὸ ἡμέ-
7 ρας ἐξαιθριάσας δίδου νήστει ἐπὶ ἡμέρας β΄ ἢ γ΄. θερα-
πεύει δὲ καὶ ἄρκου χολῆς κυάμου Ἑλληνικοῦ τὸ μέγεθος κατα-
πινόμενον, μελίας καρποῦ <· α΄ σὺν οἴνῳ — συλλέγεται δὲ
φθινοπώρου καὶ ἀποτίθεται —, δαφνίδων ἢ σμύρνης <· α΄ σὺν
οἴνῳ, κρόκου <· α΄ μετὰ μέλιτος ἐκλειχομένη, ἑλξίνης ἀπόζεμα
ἢ χυλὸς σὺν οἴνῳ, χελιδονίου χυλὸς ἢ ἀφέψημα σὺν οἴνῳ,
λιβανωτίδος τῆς ῥωσμαρίνου Ῥωμαιστὶ καλουμένης ἀφέψημα
μεθ᾽ ὕδατος.

59 (57) εἰς δὲ τοὺς ῥώθωνας ἐγχεόμενα ἐπὶ ἰκτερικῶν καθαίρει· κυκλαμίνου χυλὸς κατεχόμενος ἐν ἡλίῳ, ὥστε χολὴν ἄγειν, ἐλατήριον μετὰ γάλακτος ἐν βαλανείῳ ὄντος ἐν τῇ ἐμβατῇ τοῦ πάσχοντος ἐγχεόμενον, πρασίου χυλὸς ἐν μελικράτῳ ἐγχεόμενος ταῖς ῥισί, μελάνθιον κεκομμένον καὶ ὄξει βεβρεγμένον ἐκπιεσθέντος τοῦ χυλοῦ καὶ εἰς τὰς ῥῖνας ἐγχεομένου. λουέσθωσαν δὲ ὀξάλμης ἢ ὀριγάνου ἢ Ὀσίρεως ῥίζης ἀπόζεμα τῷ λουτρῷ μίσγοντες· ἀλειφέσθωσαν δὲ ἀμυγδαλίνῳ καὶ λαχάνων ἀπεχέσθωσαν.

---

20 SIM. Nicerat. (Gal. XIII 233), cf. Arch. (Gal. l. s. 235).

---

1 πολίου O, corr. Moib. <· α΄] ὁλκὴ τριωβόλου D. II 171 (239, 4), fort. <· ϛ΄ 2 ἐκλιχομένης καὶ πινομένης O, correxi 4 τοῦ addidi ἁλικακάβου M² 8 κίδρων λίθων M² (mendo not.): μίδρων λίθων H: κέδρων ἢ λευκῶν Moib., at cf. Arch. (Gal. l. s. 235, 1) 10 πλήθους R 11 ἐν οἴνῳ Orib. V 767, 5 ἀμινναίῳ R: ἀμιναίῳ reliqui, fort. οἴνου Ἀμιναίου 12 νήστει πιεῖν Or., fort. recte τρεῖς ἢ τέσσαρας Or. 18 τῆς om. H ῥῶς μαρίνου R

20 ab εἰς δὲ nov. cap. inc. Moib. δὲ] ἃ M² ἐκχεόμενα O, corr. Moib. 21 κυμίνου H κατεγχομένων M²: κατεχομένων reliqui, corr. Gesn. 22 ὄντος ἢ Moib. 23 ἐγχεόμενον Sar.: ἐκχεόμενον O 26 ἀποζέματος O, correxi 27 fort. ἀμυγδαλίνῳ ἐλαίῳ

60 (58) ἡπατικοὺς δὲ χρονίους ὠφελεῖ πινόμενα μεθ' ὑδρο-
μέλιτος· ἀγαρικοῦ ὀβολοὶ δύο καθ' ἡμέραν, ἀδιάντου ἀφέψημα,
ἀκόρου ἀπόζεμα, χαμαιπίτυος ὁμοίως· σφονδυλίου ῥίζα σὺν
οἴνῳ πινομένη, ἐπιπακτίδος τῆς ἐλλεβορίνης καλουμένης ἀπό-
ζεμα, ἄμωμον, κασσία, ἀμύγδαλα πικρὰ σὺν ἐλελισφάκῳ καὶ
μελικράτῳ, ἀναγαλλίδος χυλός, ἀνθεμίδος ῥίζα καὶ ἄνθη πινό-
μενα, ἄσαρον σὺν ὕδατι, Γεντιανῆς ῥίζης <· α' σὺν ὕδατι, ἀρι-
στολοχείας ῥίζης ὁμοίως· γλυκυρρίζης χυλοῦ <· α' σὺν ὕδατι ἢ 2
τῆς ῥίζης ἀφέψημα, δάφνης ῥίζης τοῦ φλοιοῦ <· α' μετὰ μελι-
κράτου, ἐλάτη λεία σὺν φοίνιξιν ἀποζεσθεῖσα, ἑρπύλλου ἀπό-
ζεμα, ἠρυγγίου <· α' μετὰ σταφυλίνου σπέρματος, ἰσοπύρου
σπέρμα σὺν μελικράτῳ, κέστρου φύλλα μετὰ ὑδρομέλιτος, μαρά-
θου σπέρμα, νάρδου στάχυς ἀπόζεμα ἢ μύρον νάρδινον κο-
χλιαρίου πλῆθος λαμβανόμενον· ὀποπάναξ σὺν μελικράτῳ,
λευκανθέμου φύλλων ἢ πίτυος φύλλων <· α' μεθ' ὕδατος, ῥᾶ
ὁμοίως· σελίνου ἀπόζεμα καὶ ὁ καρπός, σκάνδικος ἀφέψημα, 3
πενταφύλλου ῥίζης χυλός, Τεύκριον καὶ ὁ χυλὸς αὐτοῦ ἐν μελι-
κράτῳ, χρυσοκόμης ἀπόζεμα σὺν ὑδρομέλιτι, ἠριγέροντος ἀπό-
ζεμα, πολίου ὁμοίως, πίσσης ξηρᾶς λείας <· α' καταπασθεῖσα
ἐν ποτῷ, μελιλώτου καρποῦ λείου <· α' διὰ μελικράτου, κόστος
ὁμοίως, τριφύλλου τῆς ὀξυφύλλου καλουμένης ἀφέψημα ὁμοίως
πινόμενον· ἄγνου σπέρμα, Κενταυρείου χυλὸς τοῦ μικροῦ πινό- 4
μενος καὶ ἔξωθεν ἐπιτεθείς, ἀρνογλώσσου ξηροῦ αἱ ῥίζαι καὶ
τὰ φύλλα, ἀσπαράγου μυακάνθου αἱ ῥίζαι καὶ τὰ φύλλα·

1 SIM. Pl. XXVI 35 sq.; Arch. (Gal. XIII 217)
1 EXC. Orib. IV 562, 13. V 498, 8 (unde Al. Tr. II 395); Aet. X 2.

1 num. cap. om. M^2 4 *ἐλλεβορικῆς* RM^2: *ἐλεβορικῆς* H, cf. D. IV 108 (262, 6) 6 post *χυλός* add. *καὶ* M^2 8 post *ὁμοίως* add. *σὺν* O (dittogr.) *χυλῷ* O 9 <· α' O: <· ϛ' D. I 78 (78, 18), Orib. V 498, 10 10 *φύλλοισιν* (in mg. corr. *φοίνιξιν*) R 11 *οποδήματος* M^2 13 *νάρδει(-ι- M^2)ον* O, corr. Moib. 15 *φύλλων* (pr.)] *φύλλα* H 16 *καὶ*] abhinc habemus F, cuius inc. fol. 56 r. *ὁ* om. R 17 *ὁ χυλὸς* (alt.)] *τὸν χυλὸν* Q *ὁ* om. R 18 *χρυσοκόλλης* Q post *ἀπόζεμα* iterum habet *καὶ ὁ καρπός, σκάνδακος ἀφέψημα, πενταφύλλου ῥίζης χυλός* Q (*σκάνδ. — χυλός* del. M^2) 19 *καταπλασθεῖσα* O (λ del. M^2) 21 *τριφυλλίδος* O, correxi coll. Arch. (Gal. l. s.) *ἢ τρίφυλλον τὴν ὀξίζουσαν ἐν ὕδατι ἕψε* verba *τῆς — καλουμένης* post *πινόμενον* coll. O, correxi *ὀξυφύλλου* scripsi, *ὀξαλλίδος* O, at cf. D. III 109 (120, 1) 22 verba *ἄγνου — πιστακίου καρπός* om. R, fort. delenda *πινόμενον καὶ ἔξωθεν ἐπιτεθέν* Q 23 *ξηραὶ ῥίζαι* O, correxi ex Orib. V 498, 9. Al. Tr. II 395 fort. *καὶ ὁ καρπὸς καὶ τὰ φύλλα* ex Or. 24 *μιακίνθου* Q

στρόβιλοι, ἐρέβινθοι, ἐρυθροδάνου ἢ Εὐπατορίου ῥίζα, θέρμων πικρῶν ἀφέψημα μετὰ πηγάνου καὶ πεπέρεως πινόμενον καὶ ἔξωθεν ἐπιτιθέμενον, ἶρις, πιστακίου καρπός.

61 (59) *καταπλασσόμενα δὲ ὠφελεῖ ἡπατικούς· χαμαίπιτυς μετὰ κωδυῶν ἑφθῶν ξηρῶν κεκομμένων, κρίθινον ἄλευρον μετὰ σύκων, ἀλθαίας ῥίζα ἐν οἴνῳ ἑψηθεῖσα, φοινικοβάλανοι ἑφθαὶ λεῖαι σὺν κηρωτῇ, ἀψίνθιον σὺν κυπρίνῃ κηρωτῇ καὶ Κελτικῇ νάρδῳ, Ἀμμωνιακὸν ἀναλημφθὲν ὄξει καὶ κηρωτῇ στυφούσῃ. ἐπὶ δὲ τῶν προσφάτων τῆλις σὺν λινοσπέρμῳ καὶ γύρει καὶ μελικράτῳ, μῆλα Κυδώνια μετὰ ἀλεύρου κριθίνου καὶ τήλεως ἡψημένα.*

62 (60) *σπληνικοὺς δὲ ὠφελεῖ πινόμενα· ἀγαρικοῦ ÷ μετὰ ὀξυμέλιτος, ἄγνου σπέρματος <· α', ἀγχούσης ῥίζης <· α' ἐν οἴνῳ, ἀδιάντου ἀφέψημα ἐν ὀξυμέλιτι, ἀκόρου ῥίζα μετ' οἴνου ἑφθὴ καὶ ὠμὴ πινομένη.*

63 (61) *τήκουσι δὲ συντόμως σπλῆνας· ἄσπληνος, ἣν καὶ ἡμιόνιον καλοῦσιν, ἡ πόα μετ' ὄξους, λογχῖτις ὁμοίως μετ' οἴνου· περικλυμένου καρποῦ <· α' μετ' οἴνου ἐπὶ ἡμέρας λ' ποτιζομένη τήκει, χαμαίκισσος μετ' οἴνου, πευκέδανον μετ' ὀξυμέλιτος τήκει, 〈ἀκόνης〉 Ναξίας τοῦ πρὸς αὐτὴν ἀκονηθέντος σιδήρου τὸ ἀπότριμμα μετ' ὄξους, ἁλκυονίου Μιλησίου ÷ μετὰ ὕδατος, βρυωνίας ῥίζης <· α' μετ' ὄξους ἐπὶ ἡμέρας λ' τήκει*
2 *σπλῆνα· Ἀμμωνιακοῦ θυμιάματος <· α' μετ' ὀξυκράτου — αἷμα*

---

4 SIM. Arch. (Gal. XIII 219); Orib. IV 561, 1.
16 SIM. Pl. 26, 75 sq.; Arch. (Gal. XIII 254 sq.); Orib. IV 563, 1. V 508 sq.

---

1 *ἐρεβίνθου* Q, corr. Moib. *ἢ* om. H *πατορίου* F (*ευ* superscr. M[2]) 2 *πικρῶν*] *ξηρῶν* H

4 num. cap. om. F *ἡπατικοῖς* F 6 *φοινικοβάλανον* Q *ἑφθοὶ λεῖοι* R: *ἑφθὸν λεῖον* Q 10 *μηλοκυδώνια* F 11 *ἡψημένης* R: *ἑψημένης* Q, corr. Gesn. post *ἡψημένα* aliena add. F (del. M[2]) *εἰς ἧπαρ· εἰς τὸ δεξιὸν ὠτίον τὴν ἐπικειμένην φλέβαν κόψας ἐξερχόμενον τὸ αἷμα θαυμάσῃς* (l. *-εις*), *ἡ* (l. *εἰ*) *δὲ τὴν σπλῆναν πονῇς* (l. *πονεῖς*), *τὸ ἀριστερὸν ὠτίον*

12 *πγ̄* F tit. *περὶ σπληνικῶν* Q *πινόμενον* Q 13 *σπέρματος* H: *σπέρμα* reliqui 15 *ἑφθὰ καὶ ὠμὰ* Q *πινομένη* Sar.: *πινόμενα* O

16 nov. cap. inc. Moib. *τήκουσα* F *ἀσπλήνιος* O, verba *ἄσπληνος κτλ.* suspecta fort. *ἄσπληνος ἡ πόα ἣν* 18 *περικλύμενα* F (corr. M[2]) *λ'*] *δ'* O, correxi e Pl. 26, 77: *τεσσαράκοντα* D. IV 14 (180, 6) 19 *ποτιζόμενον* Q 20 *ἀκόνης* addidi, spat. rel. R *νεξίας* O, correxi *αὐτὴν*] *αὐτοῦ* R 21 *ἁλκυονίου* Moib.: *ἀλκυόνης* O (mg. add. *ἴσως ἀκόνης* H) ÷] ·/· F 22 *ῥίζα* O, correxi fort. <· ϛ' coll. D. IV 182 (331, 6) 23 *σπλήναν* Q *θυ* R: *θηλικοῦ* F

*δὲ ἄγει δι᾽ οὔρων —, ἀριστολοχείας <· α΄ μετ᾽ ὀξυκράτου,
ἀσπλήνου τοῦ σκολοπενδρίου καλουμένου τὸ ἀπόζεμα μετ᾽ ὄξους
ἐπὶ ἡμέρας λ΄· τήκει βαλάνου μυρεψικῆς <· α΄ μετ᾽ ὀξυκράτου
— ἔστιν ⟨δὲ⟩ κακοστόμαχος καὶ ἐμετική —, ξυλοβαλσάμου ἀπό-
ζεμα μετ᾽ οἴνου, βουνίου τὰ φύλλα καὶ ἡ ῥίζα χυλισθεῖσα σὺν
ὀξυμέλιτι, ἐρυθροδάνου καρπὸς καὶ ἡ ῥίζα σὺν οἴνῳ, ἴρεως
<· α΄ σὺν ὀξυκράτῳ, σὰρξ ἐχίνου χερσαίου ἐσκελετευμένη μετ᾽
οἴνου, σμυρνίου σπέρμα μετ᾽ οἴνου, θέρμων ἀπόζεμα καθ᾽
ἑαυτό· καππάρεως ὁ ἐκ τῶν ἀπίων καρπὸς ἐπὶ ἡμέρας λ΄ μετ᾽* 3
*οἴνου καὶ ἡ ῥίζα ὁμοίως — ἄγει δὲ ὁμοίως αἷμα καὶ διὰ
κοιλίας καὶ οὔρων —, κέστρου <· α΄ μετ᾽ ὄξους, κηκὶς ὀμφακίνη
σὺν ὀξυκράτῳ, ὀριγάνου ἀπόζεμα, κουραλλίου <· α΄ σὺν ὕδατι,
κράμβη ὠμὴ μετ᾽ ὄξους ἐσθιομένη, κροκοδιλείου ῥίζα πινομένη
— αἷμα δὲ ἄγει διὰ ῥινῶν —, κυκλαμίνου τῆς κισσανθέμου
καρποῦ λεανθέντος πεπείρου καὶ εἰς τροχίσκους ἀναλημφθέντος
ξηροῦ <·α΄ μετ᾽ οἴνου ἐπὶ ἡμέρας μ΄ τήκει κούφως ἐξαιρουμένου
καὶ κατὰ κοιλίαν ἐκδιδομένου· λεπίδος σιδήρου <· α΄ μετ᾽ ὄξους,* 4
*λογχίτιδος σὺν ὄξει ἀποζεσθείσης τὸ ἀπόζεμα, μίλτου Λημνίας
<· α΄ σὺν ὀξυκράτῳ, μυρίκης ἀπόζεμα ἢ τὸ σπέρμα σὺν οἴνῳ
ποθέν, καὶ ποτηρίῳ ⟨τῷ⟩ ἀπὸ τοῦ μυρικίνου ξύλου ὠφελίμως
χρήσαιτο ἄν τις ἐν αὐτῷ πίνων καὶ κανῷ τῷ ἐκ ῥάβδων μυρικίνων
πεπλεγμένῳ εἰς τὴν τῶν ἄρτων ἐπίθεσιν· ποιεῖ καὶ νάρδος* 5
*Κελτικὴ σὺν ἀψινθίῳ, νυμφαίας σπέρμα ἢ ῥίζα σὺν ὄξει τήκει·
σέρεως καρποῦ <· α΄ σὺν ὄξει, πόλιον σὺν ὄξει, σαγαπηνοῦ
<· α΄ σὺν ὀξυκράτῳ, στρουθίου <· α΄ σὺν ὀξυμέλιτι, πολεμωνίου
ῥίζα σὺν οἴνῳ, πορφύρας πῶμα σὺν οἴνῳ, σελίνου σπέρμα
πινόμενον, καὶ ἡ πόα ⟨δὲ⟩ ἑψηθεῖσα ⟨ἐν⟩ οἴνῳ σὺν ὀξυκράτῳ·
ὕδωρ τὸ ἀπὸ τῶν χαλκείων, ὅπου τὸν πεπυρωμένον σίδηρον
ἀποβάπτουσι· σκίλλης ὀπτῆς <· α΄ σὺν ὀξυμέλιτι, Τευκρίου* 6

---

3 *βαλανίου* O *μυρεψικοῦ* Q 4 *δὲ* add. Moib. *κακοστόμαχον* Q (chart. laes. F) 7 *ἐσκελεμμένη* HM 8 *σμυρνίου — οἴνου* om. F, mg. add. M² 10 *καὶ* (pr.)] *ἢ* O, corr. Gesn. *τῆς ῥίζης* O, corr. Gesn. 11 *μετ᾽ ὄξους — ξηροῦ <· α΄* om. mg. add. M² 12 *κοραλλίου* HM² 13 *κροκοδειλλίου* O, correxi 14 *ῥινῶν*] *οὔρων* coni. Gesn. fort. *κισσανθέμου καλουμένης* 16 *τήκει σπλῆνα δι᾽ οὔρων καὶ κατὰ κοιλίαν δαπανώμενον* coni. Gesn. verba *ἐξαιρουμένου κτλ.* suspecta, cf. D. II 165 (230, 17) 18 *σὺν ὄξει*] *in aqua* Pl. l. s. 20 *τῷ* addidi 22 *πεπλεγμένῳ* Sar.: *πεπλεγμένων* O *εἰς — σὺν ὄξει* (v. 23) om. mg. add. M² 24 *ὄξει πόλιον σὺν* om. mg. add. M² *σαγαπηνὸν* Q 26 post *πῶμα* add. *ἢ ῥίζα* Q *σὺν οἴνῳ* (alt.) R: om. Q, *ὄξει* D. II 7 (123, 18) *σπέρματι* Q 27 *δὲ* addidi *ἐν* addidi *οἴνων* R

ἐνηψημένου ἐν ὀξυκράτῳ τὸ ἀπόζεμα, ῥο⟨ὸς χυλο⟩ῦ ⟨· δʹ· σκίλλαν
⟨πηλῷ⟩ περιπλάσας ὄπτησον καὶ καθάρας τρῖψον καὶ ἀναπλά-
σας ἐξ αὐτῆς καταπότια δίδου ἓν τῆς ἡμέρας σὺν μελικράτῳ·
χαμαίδρυος ἀφέψημα σὺν μελικράτῳ, ⟨καὶ⟩ γίνεται δὲ ἐκ τῶν
φύλλων αὐτῆς καταπότια καὶ δίδοται· τραγοριγάνου ἀπόζεμα
μετὰ ἅλατος καὶ ὄξους, ἑρπύλλου ὁμοίως.

64 (62) καταπλασσόμενα δὲ παραλαμβάνεται ὠφελίμως ἐπὶ
τῶν σπληνικῶν· ὕσσωπον μετὰ σύκων, τέφρα κληματίνη ἢ ⟨ἡ
ἐκ⟩ γιγάρτων τέφρα σὺν ὄξει καὶ ῥοδίνῳ καὶ πηγάνῳ, χαμαι-
κίσσου φύλλα καὶ κνίδης φύλλα μετὰ κηρωτῆς, βρυωνίας ῥίζα
μετὰ σύκου καὶ ὄξους, Ἀμμωνιακὸν σὺν ὄξει καὶ κηρωτῇ
2 στυφούσῃ· ἄσπληνος ⟨ἡ⟩ πόα μετ' ὀρόβου καταπλασσομένη,
ἀγάλοχον ἐν οἴνῳ ἢ ὕδατι, ἀψίνθιον ἑψηθὲν ἐν ὄξει σὺν
ἀλεύρῳ αἰρίνῳ καὶ σύκῳ, γλήχων σὺν ἁλσὶν ἴσοις, ὀρίγανον
ὁμοίως· θέρμινον ἄλευρον σὺν πίσσῃ καὶ ὄξει ἑψηθέν, ἰξὸς
θερμὸς ἀσβέστῳ ἀναλημφθεὶς ἢ λίθῳ Ἀσσίῳ, ἰσάτεως ἀγρίας
φύλλα, καππάρεως ῥίζα, πράσιον σὺν κηρωτῇ ἢ ὠμῇ λύσει,
κάρδαμον σὺν σύκοις, κισσοῦ φύλλα ἁπαλὰ καὶ οἱ κόρυμβοι
3 λεῖοι· λαπάθου ἀγρίου ῥίζα σὺν ὄξει, λινόσπερμον ἢ τῆλις
φυραθέντα ἐν ὄξει μιγείσης καππάρεως ῥίζης ἢ μυροβαλάνου
ἢ νίτρον, Κυδώνια μῆλα σὺν κηρωτῇ, μυρίκης φύλλα λεῖα σὺν
ῥοδίνῳ ἢ κηρωτῇ, πόλιον σὺν ὄξει, στυπτηρία σὺν μέλιτι,
κυκλάμινος μετ' ὄξους ἑφθὴ καταχριομένη, κροκόμαγμα μετ'
ὄξους καταχριόμενον· σποδὸς ἡ ἀπὸ χαλκείου ἀναλημφθεῖσα
4 σὺν ὄξει ἢ ῥοδίνῳ, ἄχρι γλοιωθῇ· τῆλις καὶ νᾶπυ καὶ εὔζωμον
καὶ κάρδαμον καὶ σμύρνα καὶ ἄσβεστος, ἴσα μετὰ ἰξοῦ· δεῖ δὲ

7 SIM. Arch. (Gal. XIII 255). Orib. IV 562, 34. V 507.

1 ῥοῦ O, correxi coll. II 50 verba σκίλλαν — μελικράτῳ post ὀξυμέλιτι (273, 27) transp. Moib. 2 πηλῷ add. Moib. περιπτάσας Q καὶ (pr.) om. RF ἀναπλάσας scripsi: ἄρας O 3 αὐτῆς Moib.: αὐτοῦ O ἓν τῆς ἡμέρας RF: ἐν θ̅ ἡμέρας M: ἐν θʹ ἡμέραις Gesn. 4 καὶ addidi 6 ἅλεντος R

7 πδ̅ F 8 ἡ ἐκ addidi: καὶ add. Moib 9 γιγάρτων] στεμφύλων D. V 1 (2, 4) 11 σύκων Gesn., at cf. D. IV 182 (331, 8) 12 στυφθείσῃ Moib. ἄσπληνα F (ος superscr. M[2]) ἡ addidi μετὰ ῥόβον F (corr. M[2]), fort. μετ' οἴνου coll. D. III 134 (144, 5) 13 ἐν (pr.) R: σὺν reliqui σὺν Sar.: καὶ O 14 ἐρίνῳ R: ἰρίνῳ Q fort. αἰρίνῳ καὶ νίτρῳ coll. D. III 23 (31, 16) σύκω R: σύκων Q: σύκοις D. l. s. ἴσεις (οις superscr. M[2]) F 16 θερμοῦ F ἀσβέστῳ H: ἀσβέστου reliqui ἀγρίου Q 18 σὺν μέλιτι D. II 155 (222, 3) 24 post ὄξους add. ἑφθῇ F (e v. 23), ἑφθὸν M ἀναβληθεῖσα Q 25 ἄχρις ἂν Moib.

θερμαίνειν τὸν ἰξὸν καὶ οὕτως τὰ λοιπὰ μειγνύναι· [καὶ] ἄνησσον ⟨καὶ⟩ νίτρον ἀφρὸς καὶ ἄσβεστος, ἴσα μέλιτι ἀναλημφθέντα· ἢ τῆλις καὶ νᾶπυ καὶ εὔζωμον καὶ κάρδαμον καὶ ἄσβεστος, ἴσα σὺν μέλιτι ἢ ὄξει ἢ κονίᾳ· ἄσβεστος καὶ σμύρνα ἴσα μετ' ἐλαίου· θέρμαινε δὲ τὸ ἔλαιον καὶ οὕτως τὰ λοιπὰ μίσγε.

65 (63) πρὸς ὑδρωπικοὺς δὲ ὠφελεῖ μὲν ποτά· ἀγαρικοῦ τριώβολον μετ' οἴνου, ἄγνου σπέρματος <· α' σὺν οἴνῳ, ἀδιάντου ἀφέψημα, ἀκτῆς ῥίζης ἀφέψημα ἢ τοῦ καρποῦ λείου <· α' σὺν οἴνου κυ' β', ἀλκυόνιον Μιλήσιον μεθ' ὕδατος, ἀμπέλου ἀγρίας τῆς καλουμένης Ῥωμαιστὶ ουιτίκλης τῆς ῥίζης τοῦ ἀφεψήματος κυ' γ' μετ' οἴνου τεθαλασσωμένου κυ' γ'· ἀναγαλλίδος 2
χυλὸς κυανῆς καθ' ἑαυτόν, ἀνδροσάκους ἀφέψημα τῆς πόας, ἢ αὐτὴν κόψαντας διδόναι μετ' οἴνου ἢ ὄξους ἢ ὕδατος — οὖρα δὲ ἄγει πολλά —, καὶ ὁ καρπὸς δὲ ποιεῖ ὁμοίως· ἀρνόγλωσσον μετὰ τὸ ξηροφαγῆσαι ὀλίγον ἐπεσθιόμενον καθ' ἡμέραν, μετὰ δὲ τοῦτο ἡ λοιπὴ τροφὴ προσαγέσθω· χαμαιάκτης ῥίζης τοῦ φλοιοῦ <· α', πέπλιον μετ' οἴνου πινόμενον· ποιεῖ καὶ ἄρον 3
μετ' οἴνου, σχοίνου <· α' μετὰ ἴσου πεπέρεως, σῦκα ξηρὰ ἐσθιόμενα, σμυρνίου σπέρμα σὺν οἴνῳ, ὑπερικοῦ καρποῦ <· α', κέστρου φύλλων <· α' μετ' οἴνου, ἐρέβινθοι ἑφθοὶ ἐσθιόμενοι,

---

6 SIM. Pl. 26, 119, sq. Arch. (Gal. XIII 272), unde Orib. V 507, 7.
6 EXC. Aet. X 21 sq.

---

1 οὕτω H καὶ delevi et post ἄνησσον collocavi ἄνθη F (ἄνησον corr. M²) 3 κάρδαμον H: καρδάμωμον reliqui, cf. Arch. (Gal. XIII 255, 10) 4 post μέλιτι del. ἀναληφθέντα M ὄξος O, corr. Moib. κονία O, corr. Moib. 5 οὕτω H

6 $\overline{\pi\epsilon}$ F 7 <· ᾱ R: ἐ$\overline{\xi}$α' ᾱ M (chart. laes. F): ἐξάγιον ἓν H σὺν οἴνῳ om. M ἀδιάντου] ἄγνου M 9 οἴνου scripsi: οἴνω O κυ' β' O: *in vini cyathis tribus* Pl. l. s. ἀλκυονίου O, corr. Moib. μιλησίου R: μηλήσου M: μελίσσου H, corr. Moib. 10 ουιτίκτης (ουιτίκλης mg. add. M²) M (ch. laes. F) 11 κυ' γ' (pr.) abundare monet Gesn. γ' (alt.)] ϛ' H 12 κυανῆς scripsi: κυ α' O, cf. Aet. l. s. ἢ ἀναγαλλίδος τῆς κυανῆς χυλὸς καθ' αὑτόν ἀνδροσάκη F (corr. M²) 13 κόπτοντες Q: κόψαντες (in mg. κόπτοντες) R: κόπτοντα Moib., correxi fort. δεῖ διδόναι 14 δὲ (pr.)] καὶ F (corr. M²) πάγει R, fort. ἀπάγει, ad rem cf. D. III 133 (143, 3) 15 μετὰ τὸ H: μετὸ RM (corr. M², chart. l. F), cf. D. II 126 (199, 15) 16 τοῦ H: τῆς reliqui 17 post πινόμενον distinxi, post ποιεῖ Q ἄρον scripsi coll. Arch. (Gal. l. s. 265, 6): μάρον R: μᾶλλον M (ch. laes. F) 18 σχοίνου R: σχίνου Q, at cf. D. I 17 (23, 10) 19 καὶ περίκου F 20 φύλλα Q <· α' om. F (superscr. M²) post ἐσθιόμενοι add. καὶ ἀρτιόμενοι δὲ στάχι· πέπερι· κύμινον· ἔλαιον· κρόμυα· θέρμια σὺν τοῖς φύλλοις καὶ ὠμὰ δὲ διδόμενα· ἡμέριον κο' κο' ὡς καταπότια Q (chart. laes. F)

ὄξος σκίλλινον καταρροφούμενον, ὀρίγανος μετὰ σύκου βιβρω-
4 σκομένη· πηγάνου ἀφέψημα σὺν ὄξει πινόμενον· σικύου ἀγρίου
ῥίζα ἐν οἴνου ἐρρητινωμένου κο' β'· δεῖ δὲ λαμβάνειν ἐκ τού-
του κυ' γ' ἢ δ' παρ' ἡμέρας γ' ἢ δ', ἕως ἂν ἱκανῶς ὁ ὄγκος
σταλῇ· μαλακῶς ⟨δὲ⟩ ὑδαρὲς ὑποχωρεῖ καὶ οὔτε στόμαχον
λυμαίνεται καὶ τὰς δυνάμεις τηρεῖ· καρκίνοι ποτάμιοι ξηροὶ
λεῖοι χωρὶς τῶν χηλῶν καὶ ποδῶν μετ' ὀλίγου ὀπίου καὶ ὕδατος
5 πινόμενοι· κουράλλιον μετὰ στυπτηρίας ἴσης καὶ χυλοῦ καλα-
μίνθης, σίου ἀφέψημα σὺν οἴνῳ, σκίλλης ὀπτῆς <· α' σὺν
ὀξυμέλιτι, μυττωτὸν ἐσθιόμενον καὶ σκόροδον ἑφθὸν ἀντὶ
δριμυφαγίας, ἐχίνου χερσαίου σὰρξ σκελετευθεῖσα καὶ διδομένη
μετ' οἴνου, ὀπόφυλλον πινόμενον μετ' οἴνου· οὖρον αἰγὸς μετὰ
νάρδου στάχυος πινόμενον κυ' β' πλῆθος καθ' ἡμέραν νήστεσιν
—δι' οὔρων δὲ [καὶ] κενωθήσεται πλῆθος ἱκανόν—, οὖρον συάγρου
6 ὁμοίως· σκίλλα χυλισθεῖσα μιγέντος ὀροβίνου ἀλεύρου, δίδου
δὲ <· α' σὺν οἴνῳ πίνειν· πόλιον σὺν οἴνῳ ζεσθέν, σαμψούχου
ἀπόζεμα, πήγανον σὺν σύκῳ ἐσθιόμενον. (64) ἐπὶ δὲ τῶν κατὰ
σάρκα σταφυλίνου ἀγρίου σπέρμα σὺν οἴνῳ, χαμαίδρυος ἀφ-
έψημα, βράθυ ξηρὸν λεῖον σὺν οἴνῳ διουρεῖν ποιεῖ, τριφύλλου
7 ῥίζης <· β' ἐν ὕδατι ἢ ἐν οἴνῳ· χαμαιλέοντος λευκοῦ ῥίζης
<· β' μετὰ γλυκέος, καὶ τὸ ἀφέψημα δὲ τῆς ῥίζης λαμβανόμενον
ἰσχναίνει· χρυσοκόμης ⟨ῥίζης⟩ δεσμίδιον ὠμὸν λεῖον σὺν οἴνῳ,
ψυλλίου σπέρματος <· α' μεθ' ὕδατος κυ' γ', τριβόλου ῥίζης
<· α' μετ' ἀκράτου κυ' γ' ἢ δ' πινομένη, κνεώρου <· α' μετὰ
ἅλῶν <· α' καὶ μελικράτου, ἠρύγγης ῥίζα ξηρὰ μετ' οἴνου, καὶ

1 *ὀρίγανον* Q *σύκου*] *εὔκου* O *βιβρωσκόμενα* Q 2 *ὄξει*] *οἴνῳ* D. III 45 (58, 8) 3 *οἴνῳ ἐρρητινομένῳ* O, correxi *κο'* RF (*κυ'* corr. M^2): *μετὰ δυεῖν ξεστῶν* D. IV 150 (293, 14) 4 *δ'* (pr.)] *δύο* Moib. 5 *σταλῇ* (*εῖ*) O Aet. l. s.: *συσταλῇ* D. l. s. *δὲ* addidi 7 *χηλῶν* H: *χείλων* reliqui, cf. Arch. (Gal. l. s. 264, 1) 9 *σίου*] *ἰοῦ* (*ἴον* H) O, corr. Gesn., cf. Arch. (Gal. 264, 9) *ἀφέψημα* Moib.: *ἀφεψήματος* libri 10 *σκόρδον* F 11 *σκιλητευθεῖσα* R: *σκιλιτευθεῖσα* FH 12 *οὖρον* H: *οὖρος* reliqui 13 *ναρδοστάχυος* H 14 *δι' οὔρων*] *αἰωρείσθωσαν* R, om. mg. M^2 (ch. l. F), corr. Moib. e D. II 81 (165, 7) *καὶ* delevi (ditt.) 17 post *ἐσθιόμενον* aliena add. Q *ἐκ διαλείμματος δὲ ἀφέψημα ῥιζῶν σελίνων ἢ σπορὰν* (*ἀσπαράγου* coni. Sar.) *ἢ σχοίνου ἢ νάρδου στάχυος ἢ ἀσάρου, κασσίας ὁμοῦ καὶ κύμινον· γλυκυρρίζης· ὑπερικοῦ· σμυρνίου· καλάμου ἀρωματικοῦ· πέπερι· σέσελι· σπονδύλιον· πάντα ἴσα μίξας τὸ ἀφέψημα πότου* (sic) *μετ' οἴνου καὶ καθ' ἑαυτὰ δὲ ὁμοίως* (ex Aet. X 21) ab *ἐπὶ* nov. cap. inc. RMoib. 21 *λαμβανόμενον*] *λουόμενον* O, corr. Gesn., ad rem cf. D. III 8 (15, 8) 22 *χρυσοκόλλης* O, corr. Gesn., cf. Pl. 21, 148 *ῥίζης* addidi e Pl. *ὠμὸν* R: *ὠὸν* Q, at cf. Pl. l. s. *si cruda detur* (radix) 24 *γ' ἢ δ'* R: *γ' ἢ δὲ* F (corr. M^2) 25 *ῥίζης* R

τὸ ἀφέψημα ⟨δὲ⟩ αὐτῆς πινόμενον οὖρα λύει· χαλκοῦ κεκαυ-
μένου ⟨· α′ μετ' οἴνου ἀλύπως ἄγει ὕδωρ· κρότωνας ὡρίμους 8
τρίψας λ′ δίδου μεθ' ὕδατος — εἰσὶ δὲ λίαν κακοστόμαχοι —·
ὠφελεῖ καὶ αἷμα σκύλακος κυνὸς σὺν ὀξυκράτῳ πινόμενον· πίνεται
δὲ ὠφελίμως ὑακίνθου σπέρματος ⟨· α′ ἐν τρισὶν ἡμικοτυλίοις
οἴνου λευκοῦ· ἄγει δὲ δι' οὔρων πολλάκις ξε′ ϙ′· δεῖ δὲ τὸν
οἶνον χλιαίνειν καὶ τὸ ἄνθος κόπτειν καὶ ὡς ἄλφιτα ἐπιπάσ-
σειν καὶ οὕτως ποτίζειν· εἰώθασι ⟨δέ⟩ τινες τῷ ἄνθει δέρματα
βάπτειν.

66 (65) καταπλασσόμενα δὲ ὑδρωπικοὺς ὠφελεῖ· βολβοὶ
μετὰ μέλιτος — οὗτοι δὲ ἱκανῶς στέλλουσιν —, ἀψίνθιον ἢ
ὕσσωπον μετὰ σύκου ἢ ὄξους καὶ αἰρίνου ἀλεύρου· βόλβιτα
ξηρὰ θερμανθέντα σὺν ὀξυκράτῳ καὶ μέλιτι· προσέμπασσε δὲ
θείου ἀπύρου ⟨τὸ⟩ τέταρτον μέρος· σπύραθοι αἴγειαι ἑψηθεῖσαι
ἐν οὔρῳ παιδὸς ἀφθόρου· θέρμινον ἄλευρον καὶ κισσοῦ φύλλα
ἑψηθέντα ἐν οἴνῳ λεῖα· ἢ σύκων διπλάσιον πρὸς κυπαρίσσου
καὶ νίτρου ⟨ἴσον⟩· ἰξὸς θερμανθεὶς σὺν Ἀσσίῳ λίθῳ ἢ ἀσβέ- 2
στῳ· ἐλλέβορος μέλας μετ' οἴνου καὶ κριθίνου ἀλεύρου· φακὸς ὁ
ἐπὶ τῶν τελμάτων ἐπὶ κεραμίδος θερμῆς ἀναξηρανθεὶς καὶ
οἴνῳ φυραθεὶς λεῖος· [καὶ] κοχλίαι ιε′ σὺν ταῖς σαρξὶν ὠμοὶ
λεῖοι· οὐ πρότερον δὲ ἀφίστανται, ἐὰν μή πως ἐξικμασθῇ τὸ
ὑγρόν· νίτρον μετὰ σύκου ἢ ἀψινθίου ἢ ὑσσώπου, στυπτηρία
πᾶσα σὺν στέατι, μυρσίνης φύλλα σὺν κηρωτῇ μυρσινίνῃ, σῦκα
ξηρὰ ἑφθὰ ἐν οἴνῳ μετὰ κριθίνου ἀλεύρου καὶ ἀψινθίου· σῦκον,
νίτρον, καστόριον, πράσιον λεῖα.

---

10 SIM. Arch. (Gal. l. s.).
10 EXC. Orib. IV 565, 29. Aet. X 21.

---

1 δὲ addidi λύει] λίγει (λήγει H) Q 2 ἀλωπῶς M (chart. laes. F) κρότονως (α superscr.) M ὡρίμους scripsi: δώρους O: κόκκους coni. Gesn. 3 λ′] μ′ O: λε′ Aet. l. s., corr. Sar. e D. IV 161 (306, 5) 5 ἐν] ἐπὶ R 6 δὲ (pr.) om. R 7 γλυκαίνειν H: χλυαίνειν F ἄνθος] σπέρμα coni. Gesn. 8 οὕτω Q δὲ add. Moib. τὰ ἄνθη Q δέρμα Q

10 πϙ̄ F 11 προστέλλουσι τὸν ὄγκον Aet. 13 ὀξυκράτῳ ἢ ὀξυμέλιτι Aet. προσέμπασσαι RF, correxi 14 τὸ addidi ex Arch. αἴγειοι O, correxi 17 ἴσον addidi ἀσία (ut vid.) O, correxi 20 καὶ delevi κοχλίων (αι corr. M²) M (chart. laes. F) σὺν om. superscr. M² 21 δὲ om. Q: γὰρ Moib. ὅλον τὸ ὑγρόν Aet. 25 λεῖον O, corr. Gesn. post λεῖον coll. καὶ κώδιον καταχρισθὲν ἀμόργῃ καὶ ἐπιτεθέν (278, 3) Moib.

67 (65) διουρεῖν δὲ ποιεῖ καλαμίνθη μετ' ὄξους καὶ πεπέρεως κηρωτῇ ἀναλημφθεῖσα καὶ ἐπὶ τὸν ὀμφαλὸν ἐπιτεθεῖσα· ποιεῖ δὲ τὸ αὐτὸ καὶ πρὸς ἰκτερικοὺς καὶ νεφριτικούς· ἢ κώδιον καταχρισθὲν ἀμόργῃ καὶ ἐπιτεθέν. ὠφελεῖ δὲ καὶ ἡ δι' ἅλῶν καὶ ἐλαίου τρῖψις πολλὴ μειγνυμένου ποτὲ ὀριγάνου κεκομμένου καὶ σεσησμένου. ἐνίοτε δὲ καὶ καταπλάσσονται τούτοις, τῷ τε ἅλὶ καὶ τῷ ὀριγάνῳ ἴσοις γλοιοποιηθεῖσιν ⟨σὺν⟩ ἐλαίῳ παλαιῷ· καὶ θερμὰ δὲ καταπλάσσειν δεῖ. ὠφελεῖ καὶ ἡ διὰ τῶν πεφυσημένων καὶ ἀληλειμμένων κύστεων πλῆξις καθ' ἡμέραν ἐπιτηδευομένη.

68 (66) τὰς δὲ πλατείας ἕλμινθας ἐκτινάσσει πινόμενα· καρδάμωμον σὺν ὕδατι, μόρων ῥιζῶν ὁ φλοιὸς ἑψηθεὶς ἐν ὕδατι, ὀνοχειλοῦς τοῦ Ἀλκιβιαδείου ἡ ῥίζα καὶ τὰ φύλλα πινόμενα, πτέρεως ⟨· δ' σὺν σκαμμωνίας ὀβολοῖς δυσὶν καὶ ἅλσίν· προσκοροδοφαγείτω δὲ ὁ μέλλων πίνειν· πεπέρεως καὶ ἐλαφείου κέρατος κεκαυμένου, ἴσα σὺν ὀξυκράτῳ, καὶ αὐτὸ ⟨δὲ⟩ τὸ

---

8 SIM. Cael. Aur. A. M. III 8, 139. Cels. III 21 (108, 29). Aet. X 29. Arch. (Gal. XIII 265).
11 SIM. Orib. V 774.
11 EXC. Alex. Tr. II 595.

---

1 a *διουρεῖν* nov. cap. inc. Q (num. om.)   3 *ἐπὶ τὸ αὐτὸ* M   *ἢ*] *καὶ ἢ* F   *κώδον* Q   4 ab *ὠφελεῖ* nov. cap. inc. Moib.   5 *μιγνύμενα* Q   6 *τῷ* om. F (add. M²)   7 *τῷ*] *αὐτῇ* F (corr. M²)   *ὀριγάνῳ* F: *πηγάνῳ* RM²   *σὺν* add. Moib.   8 *καὶ* (pr.) om. Sar.   *θερμὰ* Gesn.: *θερμὸν* R: *θέρμων* F (*θερμὸν* corr. M²): *θερμαινόμενον* H   *δὲ* om. R   *καταπλάσσειν δεῖ* Gesn.: *καταπλασθέν* O   *ἡ* om. F (add. M²)   9 *ἀληλειμμένων* Sar.: *ἀληλυμμένων* R: *ἀλλήλοισμένη* F (*ἀληλυμένων* corr. M²)   *κύστεων* Moib.: *κύστεως* O   *πλήξεις* O   post *ἐπιτηδευομένη* aliena add. F (del. M²) *ἐνέγκας σπλήναν βοὸς σχίσον αὐτὸν κατὰ μέσον· καὶ διέκβαλλε τὸν πάσχοντα καὶ τὸ σπληνίον τοῦ βοὸς κρέμασον εἰς τὸ⟨ν⟩ καπνόν, καὶ τούτου ψυγωμένου ὁ πάσχων ὑγιαίνει. ἄλλον* (atr. r.) *μυρίκης καρπὸν καὶ τὴν ῥίζαν κόψας βρέχε εἰς οἶνον παλαιὸν ἡμέρας β'· δίδου πίνειν νηστικῷ κρασὶν ᾱ, δόκιμον. ἄλλο· λαβὼν σπλήναν προβάτου ζέουσαν ἐπίθες κατὰ τῆς τοῦ ἀνθρώπου καὶ πυρώσας σίδηρον ποίησον σταυρὸν ἐπάνωθεν· καὶ εἶθ' οὕτως λαβὼν τὴν σπλήναν κρέμασον εἰς τὸν καπνὸν καὶ ἀνδράχνης χυλὸν μετὰ ῥοδίνου μίξας ἄλειφε τὸν πάσχοντα. — ἄλλο· βοείας κόπρου κεκαυμένης, νίτρου, γύψου, ἰσχάδων ἀνὰ Γο γ̄· ὄξους τὸ ἀρκοῦν φυράσας ποίησον ἔμπλαστρον μετὰ ῥάκους καὶ ἐπίδησον*

11 num. cap. om. Q   12 *κάρδαμον* F (*ἐν ἄλλῳ καρδάμωμον* mg. add. M²), cf. D. I 6 (11, 2)   13 *ὀνοχείλου* vel *ὀνοχίλου* O, correxi coll. D. IV 24 (188, 14) fort. *Ἀλκιβιαδίου καλουμένου*   14 *πτέρεως* Moib.: *πεπέρεως* O   *δ'* scripsi coll. D. IV 184 (333, 6), Orib. V 764: *ᾱ* R: *ϙ̄* F (*ᾱ* corr. M²)   fort. *ἁλσὶν λαμβανόμεναι*   15 *ἐλάφου* H   16 *δὲ* addidi

κέρας σὺν μέλιτι ἐκλειχόμενον· ῥοᾶς τῶν ῥιζῶν ⟨τὸ⟩ ἀφέψημα, σκόροδα ἐσθιόμενα συνεχῶς, ὕσσωπον μετὰ καρδάμου καὶ σὺν σκαμμωνίας ὀβολοῖς β′ ποθέν· ἡλιοτρόπιον τὸ μικρὸν πινό- 2
μενον, κάρυα βασιλικὰ πολλὰ βρωθέντα, κορίου σπέρμα ὀλίγον ποθὲν μετ᾽ ἐλαίου καὶ σιραίου — προσέχειν δὲ δεῖ τῷ πλήθει —, χαμαιλέοντος λευκοῦ ὀξυβάφου πλῆθος μετὰ οἴνου ⟨αὐστηροῦ⟩ καὶ ὀριγάνου ἀφεψήματος, χαλκάνθου ⟨· α′ σὺν μέλιτι ἐκλειχομένη· πεπέρεως, [καὶ] καρδάμου ἀνὰ ⟨· α′, νίτρου, σκαμμωνίας ἀνὰ ⟨· α′ δίδου προσκοροδοφαγηκότι ἐπὶ ἡμέρας γ′· ἐπιπινέτω δὲ ἅλμης κυ′ β′.

69 (67) τὰς δὲ στρογγύλας ἕλμεις ἄγει ἔλαιον ποθέν, ἢ κίκινον μετὰ ὕδατος πινόμενον· θέρμοι πικροὶ ἐσθιόμενοι, καὶ τὸ ἐξ αὐτῶν ἄλευρον ὠμὸν μετὰ μέλιτος ἐκλειχόμενον, καὶ μετ᾽ ὄξους δὲ ποθὲν συντόμως ἐκτινάσσει ⟨ἢ⟩ ὡς ἄλφιτον ἐπιπασθέν· πίνεται δὲ ⟨καὶ⟩ τὸ ἀφέψημα αὐτῶν μετὰ πηγάνου καὶ πεπέρεως· νᾶπυ μετὰ θύμβρας ἢ ἡδυόσμου, καλαμίνθη σὺν ἁλσὶν καὶ μέλιτι ἑφθὴ καὶ ὠμὴ ἐσθιομένη· καὶ ἀσκαρίδας δὲ ἐκτινάσσει κράμβης ὠμῆς χυλὸς καταρροφούμενος σὺν ὕδατι 2
ὀμβρίῳ, πήγανον ⟨ἐν⟩ ἐλαίῳ ζεσθὲν καὶ ποθέν, [ἢ] ἡδυόσμου χυλὸς ῥοφούμενος, ἀειζώου χυλός, ἀβροτόνου ἀπόζεμα, κύμινον ἀντὶ ἀλφίτου ἐπιπασσόμενον ὀξυκράτῳ, ἀνδράχνη ἐσθιομένη καὶ ὁ χυλὸς πινόμενος· σερίφου ἀπόζεμα, ὃ ἔνιοι ἀψίνθιον θαλάσσιον καλοῦσι, σὺν ἁλσὶ καὶ ἐλαίῳ καὶ πυροῖς ἢ σύκοις ἢ

11 SIM. Orib. IV 573, 1. V 764.
11 EXC. Alex. Tr. II 597.

1 *ἐκλιχόμενα* MH *τὸ* addidi, cf. D. I 110 (104, 23) 2 *ὑσσώπου* Q *καρδαμώμου* R, at cf. Al. Tr. II 597, 1. D. III 25 (36, 6) *σὺν* om. H 5 *μετὰ γλυκέος* D. III 63 (74, 8) *σιραίου*] *διραίου* F (*σι* superscr. M²) *τῷ* om. F 7 *αὐστηροῦ* addidi ex D. III 8 (15, 7), Orib. V 764, 15, Al. Tr. II 595 8 *καὶ* delevi (dittogr.) fort. *καρδαμώμου* 9 *προσκοροδοφαγηκότος* F: *προσκοροδοφαγηκότι* R, fort. *προεσκοροδοφαγηκότι*

11 nov. cap. inc. Moib. *τοὺς δὲ στρογγύλους* O 12 *κίκι* vel *κήκι* O, correxi coll. D. I 32 (37, 15), Alex. Tr. II 595, 22 *πινομένη* Q *θέρμοι ἀποβραχέντες καὶ ἔμπικροι* D. II 109 (184, 2) *καὶ*] *ἢ* Moib., om. Q (chart. laes. F) 13 fort. *αὐτῶν δὲ* 14 *ἢ* add. Moib. *ἐπιπλασθέν* Q 15 *καὶ* add. Moib. 17 *ἁλσὶν* R: *ἀλσίνη* Q, cf. D. III 35 (48, 2) fort. *ἑφθή τε καὶ ὠμὴ* coll. D. l. s., Al. Tr. II 597, 22 18 post *ἐκτινάσσει* add. *σὺν* (dittogr.) Q *χυλῷ* Q, at cf. D. II 120 (194, 6), Orib. IV 573, 7 19 *ἐν* addidi, cf. D. III 45 (58, 5) *ἢ* (dittogr.) delevi 20 *κύμινον — σερίφου ἀπόζεμα* om. mg. add. M² (ch. l. F) 22 *σερίπου* O ad rem cf. D. III 23 (32, 9 sq.) 23 *σύκαις* M

μύξαις συγκαθηψημένον, ἢ ἀλεύρῳ ἢ ῥοφήματι [ἢ] ξηρὸν ἐπι-
3 πασσόμενον· ἢ σίνηπι μετ' ὀλίγου ἐλαίου πινόμενον, ἢ ἐλαφείου κέρατος ῥίνημα ἡδυόσμου ἀποζέματι ἐπιπασσόμενον ὡς ἄλφιτον καὶ πινόμενον, ἢ Σαντονικὸν κοπὲν σὺν σταφίσιν ἢ φοίνιξιν ἢ μετὰ σύκων βρωθέν, ⟨ἢ⟩ μελίας φλοιὸς ὡς ἄλφιτον ποθέν. καταπλασσόμενα δὲ ὠφελεῖ κατὰ τοῦ ἐπιγαστρίου ἐπιτιθέμενα· θέρμινον ἄλευρον σὺν μελικράτῳ, ἢ μελάνθιον, ἢ αἴρινον ἄλευρον ὁμοίως, ἢ ἰσάτις.

70 (68) ἀσκαρίδας ⟨δὲ⟩ κτείνει ὀξύγγιον παλαιὸν εἰς τὸν δακτύλιον καθιέμενον ἀντὶ βαλάνου.

71 (69) τὰς δὲ τῆς μήτρας προπτώσεις στέλλει ἀκακίας χύλισμα, ἢ βάτου χυλὸς ἢ σχίνου, ἢ ῥοὸς τῆς ἐπὶ τὰ ὄψα ὁ χυλὸς διαχριόμενος, κνίδης κλάδος προσαπτόμενος, ἴου φύλλα καταπλαττόμενα, ἀπόπατος βοὸς νομάδος ἄρρενος ὑποθυμιώμενος· ἀριστολοχεία λεία ἐν πεσσῷ μετά τινος τῶν στυφόντων, καὶ τὸ ἀπόζεμα ⟨δὲ⟩ αὐτῆς εἰς ἐγκάθισμα καὶ ὑπατμισμόν, ἄσφαλτος ὑποθυμιωμένη, χαλβάνη καταπινομένη, κηκῖδος ἀφέψημα, μυρσίνης ἢ σχίνου ἢ σιδίων ἀφέψημα εἰς ἐγκάθισμα.

72 (70) τὰς δὲ φλεγμονὰς τῆς ὑστέρας καὶ μύσεις καὶ ἀλγήματα ἀφεψόμενα εἰς ἐγκαθίσματα ὠφελεῖ· ἄγνου σπέρμα, ἀλθαίας ῥίζα, Ἀρτεμισία, βακχάριδος ῥίζα, γλήχων, δάφνη, ἶρις, κασσία, κάλαμος, σχοῖνος, Κενταυρείου τοῦ μεγάλου ῥίζα, κόνυζα,

---

11 EXC. Orib. V 775.
19 EXC. Orib. V 774, 15sq. Aet. XVI 83.

---

1 *βύξαις* F (*μυ* superscr. M²), cf. Pl. XV 43 *συνκαθηψημένων* RF, correxi *ἢ* (tert.) del. Gesn. 2 *ἢ σίνηπι — ἐπιπασσόμενον* om. Q 3 *ἀποζέσματι* R 4 *σαμψονικὸν* F (*ἐν ἄλλῳ σαντονικὸν* mg. add. M²) *σὺν*] *ἢ* O, corr. Gesn. 5 *ἢ* addidi post *ποθὲν* add. *πρὸς ἕλμινθας παίδων ἡδυόσμου ἀπόζεμα πότιζε νήστεις* (ex Aetio? cf. Orib. IV 573, 9) Moib. 6 a *καταπλασσόμενα* nov. cap. inc. O 8 *ἢ σάτης* Q · post *ἰσάτις* aliena add. F, post *βαλάνου* M (del. M²) *πρὸς ἕλμιγγας παίδων* (atr. r.)· *ἡδυόσμου ἀπόζεμα πότιζε νήστεις· πρὸς ἕλμιγγας καὶ πᾶν θηρίον τὸ ἐν τῇ κοιλίᾳ καταγάγης οὕτως· ἐνέγκας θέρμια πικρὰ καὶ δαφνίδας μετὰ χολῆς ταυρείας λειώσας καὶ ποιήσας ἔμπλαστρον ἐπίθες τῷ ὀμφαλῷ τοῦ πάσχοντος καὶ φασκίωσον ἐπὶ ἡμέρας γ'*

9 num. cap. om. Q *δὲ* addidi *ἐκ τῶν δακτύλιον* F

11 *π̅η̅* F *προσπτώσεις* F 12 *σχοίνου* Q *ἢ* (alt.) bis habet F (corr. M²) *ὁ* om. Or. 13 *κλάδος* om. F (superscr. M²): *νεαρὰ τὰ φύλλα* D. IV 93 (252, 4) 16 *δὲ* addidi *ὑπατμόν* F (corr. M²) 17 *καταπλασσομένη* Q 18 *σχοίνου* Q

19 *π̅θ̅* F 20 *ἀφεψόμενα* Or.: *ἑψόμενα* O 21 *ἀρτεμισίαι ἀμφότεραι* Or. 22 *τοῦ* om. Or.

κύπερος, λευκοίων ἄνθη ξηρά, ⟨μάλιστα ἐπὶ τῶν χρονίων⟩· μολόχη, μελίλωτον, κρίνων ἄνθη, λευκάνθεμον, πράσου κεφαλωτοῦ κόμη, σῦκα ξηρὰ μετὰ τήλεως ἢ πτισάνης, τῆλις, λινόσπερμον. ὑποθυμιώμενα δὲ ὠφελεῖ· ἄγνου σπέρμα, βδέλλιον, κασσία, κάλαμος, λάδανον, λιβανωτίδος σπέρμα καὶ ῥίζα· καὶ [τὰ] πρὸς τὰ καρκινώδη ποιεῖ ῥητίνη τερμινθίνη καὶ σμύρνα.

73 (71) προστίθεται δὲ πρὸς τὰς φλεγμονὰς καὶ τὰ ἀλγήματα· ἄγνου σπέρμα λεῖον, ἀλθαίας ῥίζα ἑφθὴ ἐν μελικράτῳ μαλαχθεῖσα σὺν στέατι χοιρείῳ νεαρῷ καὶ τερμινθίνῃ, ἀνθυλλίου ῥίζα λεία σὺν ῥοδίνῳ, ἀρνογλώσσου χυλὸς ἐν ἐρίῳ, σόγχου χυλὸς ὁμοίως, Ἀσκληπιάδος χυλὸς ἢ τὰ φύλλα προστιθέμενα, βούτυρον ὁμοίως· τήλεως ἀφηψημένης ὁ ἀποθλιβεὶς χυλὸς 2 μιγεὶς στέατι χοιρείῳ ἢ βουτύρῳ προσφάτῳ, κρίνου ῥίζα ὀπτὴ σὺν ῥοδίνῳ καὶ τὰ ἄνθη σὺν κηρωτῇ καὶ μυελῷ καὶ στέατι, λινόσπερμον ἡψημένον σὺν κρόκῳ καὶ χοιρείῳ στέατι, ὕσσωπον σὺν βουτύρῳ καὶ μελιλώτῳ, οὖρον ἀνθρωπείου ὑποστάθμη σὺν κυπρίνῳ, περιστέριον σὺν στέατι χηνείῳ καὶ τερμινθίνῃ ὁμοίως, μυελὸς ἐλάφειος σὺν σουσίνῳ, στύραξ ἀνεθεὶς σὺν κυπρίνῳ.

74 (71) χρίσματα δὲ ἁρμόζει πρὸς τὰ αὐτά· ἴρινον, κύπρινον, ἀμαράκινον ἔλαιον, τὸ ἐκ τοῦ ἐλειοῦ λίπος, ὃν Ῥωμαιστὶ γλῆριν καλοῦσιν.

75 (71) ἐνιέμενα δὲ μαλάσσει καλῶς ἀλεύρου κριθίνου χυλὸς μετὰ ὕδατος ἑψηθείς, ἄλικος ἢ ὀρύζης ἢ τήλεως ἢ λινοσπέρμου ἢ μολόχης χυλὸς ὁμοίως.

---

7 EXC. Orib. V 775, 5.

---

1 *κύπερος* Sar.: *κυπάρισσος* O, cf. D. I 4 (10, 5) *μάλιστα — χρονίων* addidi ex Or. 2 *πράσσων κεφαλὰς τὴν κώμην* F (*πράσου κεφαλωτοῦ κόμη* mg. add. M²) 3 post *λινόσπερμον* spat. rel. R 5 fort. *ἡ ῥίζα* 6 *τὰ* (pr.) del. Moib. *καὶ*] *σὺν* O, correxi ex Or.

7 cap. praeced. adiungit Q 9 *μιχθεῖσα στέατι* Or., at cf. D. III 146 (155, 8) *στέατι ὑείῳ ἢ χηνείῳ* D. l. s. 10 *σόγχου ὁμοίως χυλός* O, correxi 12 *ἀφεψημένης* Q 13 *μισγεὶς* M *κνίκου* Q, cf. D. III 102 (113, 8) *ῥίζης ὀπτῆς* Q 15 *λινόσπερμον — στέατι* om. F (om. mg. add. M²) *ὕσσωπον*] *οἴσυπος* coni. Gesn., at cf. Or. l. s. 16 *μελικράτῳ* Or. *οὖρον ἀνθρώπειον* R: *οὖρον ἀνθρώπινον* reliqui, corr. Moib., cf. D. II 81 (164, 18) *ὑποστάθμην* F 17 *χηνείῳ*] *χοιρείῳ* D. IV 59 (213, 1) *τερεβινθίνῃ* Q

20 nov. cap. inc. RSar., cap. praec. adiung. Q 21 *τὸ ἐκ τοῦ λείπους* (*λίπους* H) *ὁ ῥωμαῖοι στιλγήρας* (*ῥωμαιστὶ γέρας* F, *ἐν ἄλλω· ῥωμαῖοι στιλγήρας* mg. add. M²) O, correxi Gesn. duce coll. I 54

23 nov. cap. inc. R

76 (72) *πινόμενα δὲ τὰς χρονίους φλεγμονὰς καὶ τὰ ἀλγήματα τῆς ὑστέρας παύει· Αἰθιοπίδος ῥίζης ἀφέψημα, γλυκυσίδης κόκκοι ιε΄ μεθ᾽ ὕδατος, πάνακος Ἀσκληπιαδείου φύλλα, ἀκόρου ῥίζα, Κενταυρείου τοῦ μεγάλου ῥίζα, ἄμωμον, ἀρκευθίδες, ἀριστολοχείας τῆς δακτυλίτιδος ῥίζα μετὰ σμυρνίου σπέρματος, βαλσάμου καρποῦ <· α΄ μετὰ μελικράτου, γερανίου ῥίζης <· α΄ ἐν μελικράτῳ, κέστρου φύλλων <· α΄ μετὰ ὑδρομέλιτος, τριφύλλου καρπὸς καὶ τὰ φύλλα ὁμοίως.*

77 (73) *πρὸς δὲ τὰς ἑλκώσεις τῆς μήτρας ἁρμόζει ἀμόργη ἑψητὴ περιχριομένη μετὰ κηρωτῆς σουσίνης, ἢ λύκιον ὁμοίως, ἢ χυλὸς ἀκακίας περιχριόμενος.*

78 (74) *ὀδαξησμοὺς δὲ μήτρας παύει καὶ κνησμοὺς κόλπων ἀνδράχνης ὁ χυλὸς ἐγκλυζόμενος, λινόσπερμον ἑφθὸν ἐν μελικράτῳ, τῆλις ὁμοίως, ἔλαιον σούσινον ἢ κύπρινον, τραγάκανθα σὺν ὕδατι.*

79 (75) *ἄγει δὲ ἔμμηνα καὶ λόχια ἐπιεικῶς πινόμενα ἀπυρέτοις μετ᾽ οἴνου, πυρέσσουσι σὺν μελικράτῳ ἢ ὕδατι· ξιφίου ῥίζα, οἰνάνθης πόας καρπὸς καὶ τὰ φύλλα καὶ ὁ καυλός, ὀρεοσελίνου ῥίζα καὶ ὁ καρπός, οὖρον λυγγός, σίνηπι λεῖον καταπασθὲν ὡς ἄλφιτον, πάνακος φύλλα, Ἀσκληπιαδείου καρπὸς*
2 *καὶ τὰ ἄνθη· περικλυμένου φύλλα, πετροσέλινον, πράσου χυλὸς καὶ τὸ πράσον ἐσθιόμενον, ἀμπελόπρασον, ῥάφανος ἐσθιομένη, ἄρου ῥίζα ἑφθὴ ὁμοίως, σελίνου ἀπόζεμα καὶ τὸ σπέρμα, σκόρδιον σὺν οἴνῳ πινόμενον, μυττωτὸν τὸ ἐκ σκορόδων ἐσθιό-*

---

9 EXC. Orib. V 775.
12 EXC. Orib. V 775, 12.
16 SIM. Zop. (Orib. II 597, 11); Pl. 26, 151sq. Aet. III 154.

---

1 num. cap. om. F   3 ad rem cf. D. III 140 (150, 13)   4 *κόρου* O, corr. Moib.   5 *σμύρνου* Q: *σμύρνης καὶ πεπέρεως* D. III 4 (8, 2)   7 <· ᾱ A (δ̄ corr. A[2]): <· δ̄ reliqui, at cf. D. IV 1 (168, 10)

9 num. cap. om. F   10 *περιχριομένη ἑφθὴ* Or.   11 *περιχριόμενος χυλὸς ἀκακίας* O, *περιχριόμενος* transposui

12 *ὀδαξισμοὺς* H   13 *ὁ* om. Or.   *ἐγχυματιζόμενος* Or., at cf. D. II 124 (197, 2)   14 post *κύπρινον* add. *ἢ* R (superscr. M[2])   *τράκανθον* F: *τετράκανθον* H, cf. D. III 20 (25, 10)

16 ᾱͅα F   fort. *λόχεια*   *πινόμενον* Q   17 fort. *ἀπυρέτοις μὲν . . . πυρέσσουσι δὲ*   18 *ξίφου* F (corr. M[2])   19 *σελίνου* O, correxi propter ea quae sequntur   *καρπός* scripsi coll. D. III 65 (77, 4): *καυλός* O   20 *καταπλασθὲν* O, corr. Gesn.   fort. *πάνακος χειρωνίου*   *ἀσκληπιάδου* Q   21 *πετροσελίνου* H   22 *ἀμπελόπρασσον* RF   24 *σκόρδιον* R: *σκόρδον* F   *πινόμενον* om. R   post *πινόμενον* coll. *σταφυλίνου ἀγρίου σπέρμα* Q   *σκορόδον* H

μενον, στάχυος φύλλα σὺν οἴνῳ πινόμενα, σταφυλίνου ἀγρίου σπέρμα, στοιχάδος ἀφέψημα ἐφ' ἡμέρας γ' πινόμενον νήστεσιν.

80 (76) *μᾶλλον δὲ ἄγει πινόμενα ὁμοίως ἀγαρικόν, ἄγνου σπέρμα μετὰ γλήχωνος ἢ πεπέρεως, ἀδίαντον, νάρδος ἀγρία, ἀριστολοχείας ῥίζα σὺν σμυρνίῳ, λελίσφακος, σφονδυλίου ῥίζα καὶ σπέρμα, λιβανωτίδος ῥίζα, σεσέλεως ῥίζα καὶ ὁ καρπός, τραγοριγάνου ἀφέψημα, ἱππομαράθου σπέρμα καὶ ῥίζα, κνίδης τῶν φύλλων ἀφέψημα μετὰ σμύρνης, δαμασωνίου ῥίζα, ἄμωμον, ἀνθεμίδος ῥίζα καὶ τὰ φύλλα· σπύραθοι αἴγειαι μετά τινος τῶν ἀρω-* 2
ματικῶν, Ἀρτεμισία, ἄσφαλτος, ἀψίνθιον ὠμοτριβὲς σὺν Κελτικῇ νάρδῳ, βουνίου ῥίζα καὶ τῶν καυλῶν τὸ χύλισμα· βακχάριδ⟨ος φύλλ⟩ων καὶ τῆς ῥίζης τὸ ἀφέψημα ἐν ὕδατι, βράθυος φύλλα, γλήχωνος ἀπόζεμα, γλυκυσίδης ῥίζα, γλυκυρρίζης ἀπόζεμα ἢ χυλός, δάφνης Ἀλεξανδρίνης ῥίζα, δαφνοειδές, ἶρις, Ἑλενίου ἀφέψημα, ἑλιχρύσου ὁμοίως, ἑρπύλλου ὁμοίως· ὀποῦ συκῆς 3
ὀλίγον μετ' ᾠοῦ ῥοφητοῦ, ἐρέβινθος ἐσθιόμενος καὶ τὸ ἀφέψημα πινόμενον, ἠρύγγης ῥίζα, θύμον ἢ θύμβρα ἀποζεσθέντα, ἱπποσελίνου ῥίζα καὶ ὁ καρπός, ἱππομαράθου ὁμοίως, κασσία, καρδάμωμον, ὑπερικόν, ⟨σιλφίου⟩ καυλὸς καὶ ῥίζα.

81 (77) *ἐπιτεταμένως δὲ ἄγει, ὥστε καὶ ἔμβρυα ἐκτινάσσειν πινόμενα σὺν οἴνῳ ἢ μελικράτῳ, ὥσπερ εἴρηται· πρασίου χυλὸς ἐπὶ ἡμέρας γ' καὶ τὸ ἀπόζεμα, περικλυμένου καρπός, πηγάνου ἀγρίου σπέρμα, πτέρεως ῥίζα, βρυωνίας ῥίζης ⟨· β' μεθ' ὕδατος — ταράσσει δὲ τὴν διάνοιαν —, Ἀμμωνιακοῦ ⟨· α', σαγαπηνὸν ὁμοίως, ὀπὸς ἢ ὀπόφυλλον σὺν σμύρνῃ καὶ πεπέρει, ὀποπάναξ ὁμοίως· ἀναγύρου φύλλα καὶ τὰ τεθνηκότα ἄγει,* 2
ἀσφοδέλου ῥίζα, ἄρου σπέρμα, βολβοὶ σὺν ἁπαλοῖς φύλλοις δάφνης, δικτάμνου ⟨· α', καὶ τὰ τεθνηκότα δὲ ἐκτινάσσει σὺν

---

20 SIM. Orib. V 771, 13.

---

2 *γ'*] $\overline{\text{ϙ}}$ H *νήστεσιν* om. F (mg. add. M²)
3 nov. cap. inc. RMoib. 5 *λελίσφακος* RF 6 *σεσέλεος* Q *ὁ* om. R 7 *ὑπόπουμαράθρου* F (corr. M²) 8 *σμύρνης* R: *μυρσίνης* Q, cf. D. IV 93 (252, 3) *δαμασοφινίου* F 9 *φύλλα καὶ ἡ ῥίζα* Q *αἴγιοι* O, correxi 11 *βακχαρίδων καὶ* R: *βακχάριδος καὶ* Q, correxi 13 *καὶ γλήχωνος* R 14 *Ἀλεξανδρείας* mavult Gesn. 15 *ἑλιχρύσου* Moib.: *ἐριχρύσου* O 18 *ὁ* om. R *καὶ κασσία* R 19 *καρδάμωμον*] *κινάμωμον* coni. Gesn., at cf. Zop. (Or. II 598, 6) *ὑπερίκου* R: *ὑπερικόν* M (ch. laes. F) *σιλφίου* add. Gesn. *καυλὸς ἡ ῥίζα ὁμοίως* Q: *καυλὸς καὶ ῥίζα* R: *καυλὸς ἢ ῥίζα* Gesn. fort. *ἡ ῥίζα*
20 $\overline{\alpha\beta}$ F 23 *ῥίζης*] *ῥῖζα* Q 24 *δὲ* om. Q 25 fort. *σιλφίου ὀπὸς ἢ* om. Q post *ὀπόφυλλον* add. *ὁμοίως* Q 28 *δικτάμηνον* (*δικτάμου* corr. M²) F

οἴνῳ· δρακοντίου ἀφέψημα τῶν ῥιζῶν· τούτου δὲ καὶ ⟨ἡ⟩ ὀσμὴ
τῶν φύλλων κατὰ τὴν ἄνθησιν ἐπὶ τῶν ἀρτισυλλήπτων φθόριός
ἐστιν· θηλυπτερίδος ῥίζα, θλάσπι, χαλβάνη, λευκοίου σπέρματος
3 <· β' ἐν ὕδατι· σέσελι σὺν οἴνῳ καθ' ἡμέραν πινόμενον, καρδα-
μίνη σὺν οἴνῳ, πήγανον καὶ τὸ σπέρμα αὐτοῦ ὁμοίως, καστόριον
μετὰ γλήχωνος ἀποζέματος, σχοῖνος· ἀναισθήτως δὲ ὀλισθάνει
ἔμβρυα, ἐὰν ᾠὸν σὺν τῷ ὀστράκῳ θερμάνας καὶ καταχρίσας
κεδρίαν, καὶ πάλιν θερμάνας καὶ καταχρίσας, καὶ τὸ αὐτὸ τρίτον
ποιήσας δῷς ῥοφῆσαι, ἢ φελλὸν πεπισσωμένον παλαιὸν ἐκ
κεραμίου καύσας ⟨καὶ⟩ λεῖον ἐπιπάσας ἐν οἴνῳ ὁμοίως δῷς
4 πιεῖν. ποιεῖ δὲ καὶ καππάρεως ὁ ἐκ τῶν ἀπίων καρπὸς
πλῆθος <· β' σὺν οἴνῳ ἢ τῆς ῥίζης ὁμοίως, Κενταυρείου ⟨τοῦ⟩
λεπτοῦ χυλός, κεδρίδες λεῖαι, κέστρου τῶν φύλλων <· α', κιρκαίας
ῥίζα ἀποβρεχθεῖσα ἐν γλυκεῖ, κινάμωμον ποθέν, κλινοποδίου
ἀπόζεμα, κρήθμου καρπὸς καὶ ἡ ῥίζα ἑψηθέντα ἐν οἴνῳ, κισ-
5 σανθέμου καρποῦ <· α' ἐν οἴνῳ· κυπαρίσσου πρίσματα, κύπερος,
λαπάθου ἀγρίου ῥίζα, λογχῖτις πόα ἐν οἴνῳ ἑψηθεῖσα, καρδάμου
σπέρμα, μανδραγόρου σπέρματος <· α' σὺν οἴνῳ, μελανθίου
<· α', ὀξυμυρσίνης ῥίζα ἑψηθεῖσα ἐν οἴνῳ, σαμψούχου σπέρμα,
κύπρου σπέρμα, σίνων, τόρδιλον, τραγορίγανον, χαμαίδρυος
ἀφέψημα, χαμαίπιτυς σὺν μέλιτι, γῆς ἔντερα ξηρὰ πινόμενα·
ποιεῖ καὶ σύκων τῶν φύλλων τὸ ἀφέψημα.

82 (78) προστιθέμενα δὲ ἔμμηνα ἄγει καὶ τὰ ἐκ τόκων καὶ ἔμβρυα· οἴσυπος ἐν ἐρίῳ οἰσυπηρῷ προστεθεὶς ἐπὶ ἡμέρας γ', ἄκινος καὶ τὸ σπέρμα αὐτῆς, μανδραγόρου ῥίζα ξυσθεῖσα ὡς κολλούριον καὶ προστεθεῖσα, ἐλλέβορος μέλας καὶ λευκός, κνίδης φύλλα μετὰ σμύρνης λεῖα, ἄμωμον, ἀμύγδαλα ἢ ἀμυγδάλινον ⟨ἔλαιον⟩ σὺν οἴνῳ, ἀνεμώνη λεία, ἀριστολοχεία μετὰ σμύρνης, βδέλλιον, δαφνίδες λεῖαι, ἐλατήριον σὺν μέλιτι, ἐρυθροδάνου

---

23 SIM. Orib. V 772, 3 sq. Zop. (Orib. II 597, 1).

---

1 *τοῦτο* Q *ἡ* addidi 3 *θάλπη* F (in mg. corr. M[2]) 6 *σχῆνος* F *δὲ* om. Q 9 *δὸς* Q *ἐκ κεραμίου* O: *ἐν κεραμίῳ* coni. Gesn., at cf. Orib. IV 635, 14. 17 10 *καὶ* addidi ex H *ὁμοίως* Gesnero redundare videtur *δῶς* R: *δὸς* F, fort. *ἢ ⟨ἐὰν⟩ φελλὸν κτλ. δῷς* 11 *πεῖν* R 12 *τοῦ* addidi 13 post *χυλὸς* add. *ὁμοίως* Q *κικέας* O, cf. D. III 119 (130, 5) 14 *κλινοπόδου* Q 15 *κρι-θύμου* Q *ἑψηθέντα*] *ἐπιθέντα* F (corr. M[2]) post *κισσανθέμου* iter. *καρπὸς καὶ ἡ ῥ. ἑψηθ. ἐν οἴνῳ κισσανθέμου* R 16 *καρπὸς* Q 19 *ὀξυμβρισίνης* F 20 *σίνον* Q *τάρδηλον* F (*ο* superscr. M[2]) 22 *τὸ ἀφέψημα τῶν φύλλων* Q

23 nov. cap. inc. Moib., praeced. adiungit O 25 *ἄκινα* Q (mend. not. H) 27 *μυρσίνης* Q 28 *ἔλαιον* addidi *ἀριστολοχείας* R 29 *λεῖα* R

ῥίζα ὁμοίως· ἡμεροκαλλοῦς ῥίζα, ἡλιοτροπίου τοῦ σκορπιούρου 2
φύλλα, θέρμινον ἄλευρον μετὰ σμύρνης καὶ μέλιτος, θρίδακος
ἀγρίας ὀπός, ἱππομαράθου ῥίζα, κασσία σὺν μέλιτι, κάλαμος
ἀρωματίτης ὁμοίως· καλαμίνθης φύλλα, χαλβάνη, Κενταυρείου
τοῦ μεγάλου ῥίζης ὁ χυλὸς ἢ ἡ ῥίζα, κισσοῦ κόρυμβοι λεῖοι καὶ
ὁ μόσχος μέλιτι χρισθεὶς ἄγει γενναίως ἔμβρυα, κινάμωμον σὺν
σμύρνῃ, κόστος ὁμοίως, κρίνου ῥίζα ἑφθὴ σὺν ῥοδίνῳ.

83 (78) ἀταράχως δὲ τὰ ὑπομένοντα ἐπισπᾶται· κυκλαμίνου
ῥίζα σὺν μέλιτι καὶ ὁ χυλός· φασὶ δέ τινες ὅτι, κἂν ὑπερβῇ
τὴν ῥίζαν τῆς κυκλαμίνου γυνὴ ἔγκυος, ἐκτιτρώσκει. ὁμοίως καὶ
τὴν καλουμένην πόαν ὄνοσμα ἱστοροῦσιν ὅτι γυνή, ἐὰν ὑπερβῇ
ἔγκυος ἢ γεύσηται, ἐκτιτρώσκει· σάμψουχος, λινόζωστις σὺν
μέλιτι, πήγανον σὺν σμύρνῃ καὶ ᾠῷ, κράμβης χυλὸς μετὰ αἰρίνου
ἀλεύρου, κονύζης χυλός, ὀποπάναξ καὶ ἡ ῥίζα ὡς κολλούριον,
σιδηρίτιδος τῆς Ἡρακλείας τὰ φύλλα, σκόρδιον, στύραξ. ἄγει 2
δὲ καὶ μᾶλλον ἔμβρυα ἀγχούσης ῥίζα, Ἀρτεμισία ἀναλημφθεῖσα
ὡς κολλούριον σὺν δαφνίσιν ἢ σμύρνῃ ἢ ἴριδι ἢ σύκῳ ἢ νίτρῳ,
καὶ ὁ ἁπαλὸς δὲ βλαστὸς αὐτῆς προστεθείς· βρυωνίας τῆς
ῥίζης ὁ χυλὸς προστεθεὶς ἐν ἐρίῳ, Γεντιανῆς ῥίζα ξυσθεῖσα ὡς
κολλούριον, δικτάμνου ⟨· α´ μετὰ μέλιτος, δρακοντίου ῥίζα σὺν
ὀξυκράτῳ, ἶρις, σμύρνα σὺν ἀψινθίου ἢ θέρμων ἀποβρέγματι
ἢ πηγάνου χυλῷ· κνέωρον ἀναλημφθὲν σύκῳ, νίτρον ὁμοίως, 3
Κενταυρείου ⟨τοῦ⟩ λεπτοῦ χυλός, κεδρία, κολοκυνθίδος ἐντεριώνη
σὺν μέλιτι, κισσανθέμου χυλὸς σὺν οἴνῳ, λιβανωτὸς καὶ ὀπὸς
μανδραγόρου καὶ ἴρινον ⟨μύρον⟩ μιγέντα ἐν πεσσῷ, ὀποπάναξ
προστεθείς, πόλιον σὺν οἴνῳ, πράσιον ὁμοίως, σκαμμωνίας
ὀπὸς ἐν ἐρίῳ προστεθείς, στρουθίου ῥίζα σὺν μέλιτι, στυπτηρία

---

1 *ἡλιοτροπίου πλεύρου* F (in mg. corr. M[2]) 3 *ὀπός*] *ὁ καρπός* Q, cf. D. II 136 (208, 11) 5 *ἡ* om. Q *ῥία* R 6 fort. *ὁ μόσχος δὲ* coll. D. II 179 (250, 5) *μέλι* Q *γεννέσεως* Q post *ἔμβρυα* del. *πρὸς τὸ ἐκβάλλειν ἔμβρυον* M[2] *κιναμώμον* Q 7 post *ῥοδίνῳ* add. F (del. M[2]) *πρὸς τὸ ἐκβάλλειν ἔμβρυον ⟨γ⟩άλα κυνὸς πότιζε φυρῶν* (*θυμῶν* M) *ῥητίνην*

8 nov. cap. inc. Sar., spat. post *ῥοδίνῳ* rel. O *σπᾶται* Q 10 *ἔγγυος* F (*γκ* mg. add. M[2]) 11 *ὄνομα* O, corr. Gesn. e D. III 131 (141, 4) 12 *λινοζόστης* F 15 post *στύραξ* spat. rel. R 17 *ἔριδη* F 18 *τῆς* om. Q 19 *ῥίζα*] *ῥίζης* R *ξησθεῖσα* F: *προστεθεῖσα* H, fort. *ξυσθεῖσα καὶ προστεθεῖσα* 20 *δικτάμου* F 21 *ἀψινθίῳ* O, corr. Gesn., cf. Orib. IV 634, 23 *ἀποβρέγματος* F 22 *χυλός* Q *οἴκω* F *νίτρον — ἐντεριώνη* om. F (*σύκῳ — μέλιτι* mg. add. M[2]) 23 *τοῦ* addidi 25 *ἴρινον* R: *ἔρινον* (*ι* superscr.) M: *αἴρινον* Sar., at cf. D. I 56 (52, 19) *μύρον* addidi *ὀποπάναξ προστεθεὶς* abundare videtur Sar. 26 post *προστεθεὶς* coll. *στρουθίου — μέλιτι* Q

4 ὑγρά· ὑπερικοῦ σπέρμα λεῖον σὺν μέλιτι, χονδρίλης μαστίχη μετὰ σμύρνης, φλόμου χυλὸς μετὰ σμύρνης ἐν ἐρίῳ προστεθείς, οὖρον ἀνδρὸς πεσσῷ ἀναλαμβανόμενον καὶ προστιθέμενον, μελάνθιον καὶ σμύρνα λεῖα μέλιτι ἀναλημφθέντα κυάμου Ἑλληνικοῦ μέγεθος καὶ προστεθέντα.

84 (79) ὑποθυμιώμενα δὲ ἄγει ἔμμηνα καὶ λόχια καὶ ἔμβρυα· ἄμι μετὰ ῥητίνης τερμινθίνης, βδέλλιον βραχύ, δίκταμνον, καρδάμωμον, χαλβάνη, πίτυος φλοιὸς καὶ πεύκης, πορφύρας θαλασσίας πώματα, σκόροδον, σιλούρου κεφαλὴ καὶ σάρξ.

85 (80) ἐγκαθίσματα δὲ ταῦτα ἄγει ἡψημένα μετὰ ὕδατος· ἀγήρατον, ἀκτῆς φύλλα, Ἀρτεμισία, δίκταμνον, δάφνη, κόνυζα, κόστος, μῆον, λευκόιον, μελισσόφυλλον, πράσου κεφαλωτοῦ κόμη καὶ σέλινα.

86 (81) καταπλάσσεται δὲ πρὸς λόχια καὶ ἔμμηνα κινεῖ Ἀρτεμισία πολλὴ κατὰ τῶν ὑποχονδρίων. ἐπιτεταμένως δὲ ἄγει ὥστε καὶ ἔμβρυα ἐκτινάσσειν· αἴρινον ἄλευρον πράσου χυλῷ φυραθέν, κυκλαμίνου χυλὸς σὺν ἐλατηρίῳ ἢ αἰρίνῳ ἀλεύρῳ, μυελὸς ἐλάφειος καὶ χαλβάνη καὶ Ἀμμωνιακὸν καὶ ἔλαιον, ἴσα.

87 (82) ἵστησιν δὲ ῥοῦν πινόμενα μετ' οἴνου· γλυκυσίδης κόκκοι πυρροὶ ι' ἢ ιβ' σὺν οἴνῳ, ὑποκιστίδος χυλός, πευκεδάνου ὀπός, συμφύτου πετραίου φύλλα καὶ ὁ καρπός, στατικὴ πόα καὶ λαχανευομένη ὡς προσόψημα, βάτου ἀφέψημα καὶ χύλισμα βαλαυστίου ⟨ἢ⟩ ἀκακίας, σχοίνου τῆς ῥίζης ἀφέψημα καὶ χύλισμα, γῆ Σαμία μετὰ βαλαυστίου, ἐλάτης μυρεψικῆς ἀπό-

---

10 EXC. Orib. V 771, 10.
14 EXC. Orib. V 771, 11.
19 SIM. Zop. (Orib. II 599, 5).
19 EXC. Orib. V 773, 15 sq. 541. Aet. XVI 66. 67.

---

1 *χόνδρια* (*χόδρια* F) *ἢ μαστίχη* O: *χονδρίλλης μαστίχη* Moib., cf. Zop. (Orib. II 597, 2), D. II 133 (205, 2) 2 *χυλοῦ* R 5 *καὶ προστεθέντα* om. F
6 nov. cap. inc. Moib., spat. post *προστεθέντα* rel. R *δὲ* om. F (add. M²) *λόγχια* Q 8 *πέλτιος* Q 9 *πτώματα* F (corr. M²) *συλλούρου* F
10 nov. cap. inc. O *συγκαθίσματα* F *ἑψόμενα* R: *ἑψημένα* Q: *ἀφεψημένα* Or. 11 *ἀγήραντον* F (*ν* del. M²) 12 *μίου* F 13 *σελήνη* F (*α* superscr. M²)
14 nov. cap. inc. Moib. 15 post *ὑποχονδρίων* spat. rel. O, fort. *ἐπιτιθεμένη* add. 17 *χυλῷ*] *χυλὸς* Q *ἢ*] *καὶ* Or.
19 nov. cap. inc. O 21 *στακτική* O: *statice* Pl. 26, 51: corr. Gesn. 22 *καὶ* (pr.) delebat Sar. *ὡς πρὸς ἕψημα* Q 23 *ἢ* addidi e Moib. *σχίνου* O, at cf. Orib. V 774, 6 24 *γῆς σαμίας* Q

ζεμα, ἐλάφου κέρας κεκαυμένον μετ' ὀξυκράτου, Ἰδαίας ῥίζα ἢ τὰ φύλλα, κλυμένου χύλισμα, λευκογραφίς, λίθος αἱματίτης σὺν χυλῷ ῥοᾶς, Λυσιμάχειος πόα καὶ ὁ χυλὸς αὐτῆς, λωτοῦ τοῦ δένδρου πρισμάτων ἀπόζεμα ἐκλειχόμενον· λίθου ὀστρακίτου 2 ⟨· α' μετ' οἴνου, μήκωνος μελαίνης σπέρμα σὺν οἴνῳ ἢ σὺν μέλιτι [καὶ ὁ καρπὸς αὐτῆς], μυρίκης φλοιὸς λεῖος καὶ ὁ καρπὸς αὐτῆς, ὀξυακάνθου ὁ καρπὸς τῶν ἐν αὐτῷ ἐριωδῶν ἐπιμελῶς ἀποκαθαρθέντων καὶ ῥιφέντων — τραχύνει γὰρ τὴν ἀρτηρίαν —, πολυγόνου χυλὸς ἢ ἀρνογλώσσου ὁμοίως, πρίνου τοῦ φλοιοῦ ἀπόζεμα, πυτία λαγωοῦ, ῥοὸς βυρσοδεψικῆς χυλός, ῥόδων ἄνθος σὺν ὀξυκράτῳ, στεμφύλων ἀφέψημα.

88 (83) προστιθέμενα δὲ σὺν ὕδατι ῥοῦν ἵστησιν· ὑποκιστίδος χύλισμα, ῥοὸς βυρσοδεψικῆς ὁμοίως, βαλαύστιον λεῖον, θαλλία καὶ ὁ χυλὸς αὐτῆς, ἀκακίας χύλισμα, ἀείζωον, ἀπόπατος αἰγὸς σὺν λιβανωτῷ — δεῖ δὲ ἐνειλεῖν ἐρίῳ καὶ προστιθέναι —, τέφρα κληματίνη ὑλιστὴ προστεθεῖσα, Ἀχίλλειος πόα, βάλανοι 2 δρύιναι λεῖαι, ἰὸς σιδήρου, λιβανωτὸς καὶ ὁ φλοιὸς αὐτοῦ, λευκογραφίς, Λυσιμάχειος πόα, λύκιον σὺν γάλακτι, μανδραγόρου σπέρμα λεῖον μετὰ θείου ἀπύρου, μελίλωτον, πολύγονον καὶ ὁ χυλὸς αὐτοῦ, κηκῖδος τὸ ἐντὸς μετὰ λιβάνου καὶ ὕδατος, καρύου βασιλικοῦ τὸ ἐντὸς καὲν καὶ μιγὲν στύμματι.

89 (84) ἐγκαθίσματα δὲ ῥοῦν ἵστησιν — δεῖ δὲ χλιαροῖς ἐγκαθέζειν — ἀγριελαίας ἀπόζεμα, σχίνου, βάτου, ἀγαλόχου, δρυὸς φύλλων καὶ φλοιοῦ καὶ βαλάνου καὶ πρίνου, μυρσίνης, στεμφύλων, ῥοὸς βυρσοδεψικῆς, σιδίων. (85) ἐπιτίθεται δὲ κατὰ τοῦ ἐπιγαστρίου εἰς τὸ ἐπισχεῖν ῥοῦν κρίθινον ⟨ἄλευρον⟩ σὺν

12 SIM. Zop. (Orib. II 598, 12).

1 *ἰτέας* RH: *ἠταίας* reliqui, correxi coll. D. IV 44 (203, 2) 3 *λυσιμάχιος* R: *λυσιμάχου* Q 4 *ἀπόζεμα* Q D. I 117 (110, 3): *ἀπόβρεγμα* R *ἐκλειχόμενον*] *πινόμενον καὶ ἐγκλυζόμενον* D. l. s. 5 *ἢ σὺν μέλιτι* bis habet F 6 *καὶ ὁ καρπὸς αὐτῆς* del. Gesn. *ὁ* (alt.) om. R 7 ad rem cf. D. I 94 (85, 21) *ὁ* om. R 8 *καὶ ῥιφέντων* om. Q *γὰρ* R: *δὲ* Q (*γὰρ* superscr. M²) 9 *πυρίνου* RF (*πρίνου* mg. add. M²), cf. Orib. V 774, 2 11 *ἀφέψημα* F (*πόζεμα* superscr. alt. m.)

12 *ᾳγ̄* F (*π̄* sic M) *σὺν ὕδατι*] *ἐν ἐρίῳ* coni. Gesn. 14 *θαλλίας ὁ χυλὸς* R *ἀειζώου* Q 15 *καὶ προστιθέναι* om. F (mg. add. M²) 16 *προσθεῖσα* F 17 *δρυίνων* F: *δρύινοι* R, correxi 21 *σμιγὲν* R *στύματα* F, *καὶ σὺν οἴνῳ προστιθέμενον* D. I 125 (114, 12)

22 nov. cap. inc. Moib., spat. rel. R *χλυαρίοις* F 23 *ἐγκαθίζειν* H *σχοίνου* Q *καὶ βάτου* Q 24 *πρίνου* Gesn.: *ἰρίνου* O 25 ab *ἐπιτίθεται* nov. cap. inc. Moib. *ἐπιτίθενται* Q 26 *ἄλευρον* addidi

κηκῖδι λείᾳ ⟨ἢ⟩ σιδίοις ἢ βαλαυστίῳ ἢ βάτῳ ἢ τρυγὶ ὄξους ἢ πρίνου ⟨φλοιῷ⟩ ἢ βαλάνων ἢ μυρσίνης φύλλοις ἢ σχοίνου ἢ Θηβαικοῖς ⟨φοίνιξιν⟩.

90 (86) πρὸς δὲ τοὺς ἐκ τῆς ὑστέρας συμβαίνοντας πνιγμοὺς ἁρμόζει πινόμενα· ἀγαρικοῦ ⟨· α′ ἐν οἴνῳ, μανδραγόρου ῥίζης ὀβολοὶ δύο σὺν οἴνῳ, νάρδου ἀγρίας ῥίζα σὺν οἴνῳ, ὀρεοσελίνου καρπός, ἀρνογλώσσου καρπὸς καὶ ὁ χυλὸς σὺν οἴνῳ, γλυκυσίδης μέλανες κόκκοι ιε′ μετὰ μελικράτου, ὄνυξ ⟨ὁ⟩ ἐκ κογχυλίου πινόμενος, ὄξος σκίλλινον καταρροφούμενον.

91 (87) ὀσφραινόμενα δὲ διεγείρει τὰς ὑστερικῶς πνιγομένας ἄσφαλτος, καστόριον, χαλβάνη, σίνηπυ σὺν ὄξει σκιλλιτικῷ, πίσσα ὑγρά, κεδρία, ἐλλύχνια φλεγόμενα καὶ ἀποσβεννύμενα, πευκεδάνου φύλλα καὶ ὀπός, τρίχες καεῖσαι, σφονδύλιον, πήγανον, σίλφιον, κρόμυον, σκόροδον, κνίδη προσαγομένη σκέλεσιν καὶ μετώπῳ.

92 (88) ὑποθυμιᾶται δὲ πρὸς τὰ αὐτὰ γαγάτης λίθος, ὄνυξ ὁ ἀπὸ τῶν πορφυρῶν, πευκέδανον, σαγαπηνοῦ ὀπός, σφονδύλιον, ἄσφαλτος, καστόριον, χαλβάνη, λειχὴν ἵππου, φώκης πυτία, σίλφιον, κέρας ἐλάφου.

93 (89) προστίθεται δὲ κατὰ τοῦ δακτυλίου πήγανον σὺν μέλιτι ἐν ἐρίῳ ἀναλημφθέν, κνίδης σπέρμα μετὰ στακτῆς.

---

4 EXC. Gal. XIII 320. Orib. V 529, 4.
10 EXC. Gal. l. s. Sor. γυν. II 29 (324, 9).
16 EXC. Gal. l. s. Orib. l. s.
20 EXC. Gal. l. s. Orib. l. s.

---

1 ἢ addidi   βαλαυστίῳ Moib.: βαλαυστίων O   βάτῳ Moib.: βάτων O 2 φλοιῷ addidi: φλοιός add. Gesn.   βαλάνων RF: βάλανοι Gesn.   φυλλίοις F (φύλλα M)   σχίνου Moib.   3 θηβαικοῖς F: θηβαικαῖς R: (θηβαικῆς M) φοίνιξιν addidi Sar. duce: θηβαικῆς φοίνικος Sar.

4 α̣δ̄ F   περὶ ὑστέρας add. Q   6 νάρδου — οἴνῳ (v. 6) om. Q 7 πετροσελίνου Q, cf. D. III 65 (77, 4), fort. ὀρεοσελίνου ἢ πετροσελίνου   ὁ om. R 8 ὁ addidi ex Gal.   9 σκιλλιτικὸν Or.

10 nov. cap. inc. O   ὑστερικὰς F   πνιγμονὰς O, correxi   11 ἄσφαλτον R 12 ἐλύχνια Q   φλεγόμενα Sar: ἁπτόμενα Or.: βρεχόμενα R: βρεχομένη Q ἀποσβεννυμένη Q

16 nov. cap. ab ὑποθυμιᾶται inc. O   ταῦτα O, correxi ex Gal.   17 πευκεδάνου Q

20 nov. cap. a προστίθεται inc. Moib.   21 ἐν om. Gal.   ἀναφθὲν F

94 (90) *πρὸς δὲ τὰς συλλήψεις ἐνεργεῖ ποτά· κραταιόγονον καὶ ὁ καρπὸς αὐτοῦ ὑπό τε τοῦ ἀνδρὸς καὶ τῆς γυναικὸς πινόμενον ἐπὶ ἡμέρας μ΄, ἢ σταφυλίνου καρπός, καὶ ἡ ῥίζα ⟨δὲ⟩ ἐσθιομένη, φύλλου καρπὸς καὶ ἡ ῥίζα, ἱέρακος κόπρος ἐν γλυκεῖ πινομένη ὑπὸ τῆς γυναικὸς πρὸ τῆς συνόδου.*

95 (91) *προστιθέμενα δὲ ὠφελεῖ πρὸς σύλληψιν· ἄμι μετὰ μυελοῦ πρὸ τῆς συνόδου, λαγωοῦ πυτία σὺν βουτύρῳ, λινοζώστεως σπέρμα ἢ χυλὸς ἀντὶ πεσσοῦ.*

96 (92) *ἱστορεῖται δὲ ἀρρενοτοκεῖν ποιεῖν μεθ᾽ ὕδατος κυάθων γ΄ πρὸ τῆς συνόδου καὶ πρὸ τοῦ δείπνου ἐπὶ ἡμέρας μ΄ ὄρχεως τῆς βοτάνης τῆς μείζονος ⟨ῥίζης⟩ τὸ ἀπόζεμα πινόμενον, ἢ αὐτὴ ἐσθιομένη ὑπὸ τῶν ἀνδρῶν — ἡ δὲ ἐλάττων θηλυγονίαν ποιεῖ ὑπὸ τῶν γυναικῶν ἐσθιομένη —, ὄρχεις ἀλεκτρυόνος λευκοῦ μετὰ τὴν σύλληψιν πρὶν ἑτέρου τινος γεύσασθαι καταποθέντες. προστεθὲν δὲ λέγεται ἀρρενοτόκιον ποιεῖν* 2 *λινοζώστεως τῆς ἄρρενος τὸ σπέρμα μετὰ τὴν σύλληψιν εὐθέως, θηλυτοκεῖν δὲ τῆς θηλείας ὁμοίως.* (93) *φυλάσσειν δὲ ἱστορεῖται τὸ συλλημφθὲν πηγνύμενον προστεθεὶς λίθος ὁ ἐν τῇ Σαμίᾳ γῇ εὑρισκόμενος λεῖος.*

---

1 SIM. D. III 124 (135, 3) — 3 D. III 52 (66, 8) 125 (136, 1) — 4 Pl. 30, 130 — 6 Pl. 20, 164 — D. II 75 (150, 12) — D. IV 189 (337, 6).
1 EXC. Orib. V 776, 3.
9 SIM. D. III 126 (137, 1) — 13 Pl. 30, 123 — 16 D. IV 189 (337, 6) — 17 D. V 154 (105, 3).
9 EXC. Orib. V 776, 10.

---

1 num. cap. om. libri tit. *πρὸς σύλληψιν γυναικὸς ἀγόνου* add. F (del. M²) *συνεργεῖ* Or. 3 *καρπὸς πινόμενος* Or. 4 *δὲ* addidi *φύλλου — πινομένη* (v. 5) om. Q 5 ad rem cf. Pl. 30, 130
6 num. cap. om. libri 8 post *πεσσοῦ* nullo spatio interiecto perg. O
9 *ἱστόρηται* R: *ἱστορῆται* F *ποιεῖν* H, *ποιεῖ* reliqui 10 *κυάθων* Moib.: *κυάθους* O (*κυ΄* in arch.) *τοῦ* om. R 11 *με΄* O, correxi *ὄρχεος* Q (ut semper) *ῥίζης* addidi e D. III 126 (137, 1) 12 *ἡ δὲ αὐτὴ* Q *ὑπὸ*] *παρὰ* Q post *ἀνδρῶν* add. *ἀρρενογόνος ἐστὶν* Moib. 13 *ποιεῖ* scripsi: *πέττει δὲ* R: *πέττει τε* F (*τε* del. M²) 14 *σύλλημψιν*] *ἀπότεξιν* RH: *ἀπότηξιν* F: *subinde a conceptu* Pl.: corr. Sar., sed dubito, ad rem cf. Pl. 30, 123 *ἑτέρου* Gesn.: *τοῦ* O 15 post *παταποθέντες* add. *ἀρρενογόνοι λέγονται* Gesn. *ἀρρενοτόκιον* O: *ἀρρενοτοκεῖν* Or. Sar. 17 *ταῖς θηλύαις* Q post *ὁμοίως* verba *τυποῦν — σαρκί* (290, 4) colloc. Moib. a *φυλλάσσειν* nov. cap. inc. R Moib. *δὲ δεῖ* Q 18 *ἱστορεῖται* HOr.: *ἱστόρηται* reliqui *καὶ πηγνύμενον* Or. *προστεθεὶς* O: *περιαπτόμενος* D. V 154 (105, 3), fort. *περιτεθεὶς* 19 *λεῖος* om. Or. F (add. M²), del. Gesn. post *λεῖος* spat. rel. Q

97 (93) τελεσφορεῖν δὲ καὶ μὴ ἀποβάλλειν τὸ ἔμβρυον τὰς εὐολίσθους γυναῖκας ποιοῦσι [φορούμενον] σπέρματος μελανσπέρμου κόκκοι μα' ἐν ὀθονίῳ δεθέντες καὶ φορούμενοι ὑπὸ τὸν σκόλλυν τῶν τριχῶν. τυποῦν δὲ εἰς ἄρρεν ἱστορεῖται μετὰ τὴν συνουσίαν εὐθέως προστεθεῖσα ἀριστολοχείας ⟨μακρᾶς⟩ ῥίζα ἐν βοείᾳ σαρκί.

98 (94) πρὸς δὲ τὰς δυστοκούσας περιάπτεσθαί φασιν ὠφελίμως ἀναγύρου φύλλα· δεῖ δὲ μετὰ τὸ τεκεῖν εὐθέως ἀφαιρεῖν τὸ περίαπτον· ἢ λίθον ἴασπιν τῷ μηρῷ περιάπτειν, ἢ κυκλαμίνου ῥίζαν ξηρὰν ὁμοίως, ἢ Κυδωνίου χυλίσματος ⟨· α' σὺν ὑδρομέλιτος κυ' α' ⟨ποθεῖσαν, ἢ⟩ ἀδίαντον λεῖον μετ' οἴνου καὶ ἐλαίου· ὠφελεῖ καὶ πταρμικοῦ προσαγωγὴ τοῖς ῥώθωσιν.

99 (95) περίαπτα δὲ πρὸς τὸ μὴ συλλαμβάνειν ὡς συνεργήσοντα ἱστόρηται· γυναικὸς αἷμα ἐκ τῶν καταμηνίων ξηρὸν ἐνδεθὲν ἡμιονείῳ ἢ ἐλαφείῳ δέρματι καὶ περιαφθέν, ἢ ὑπερβαινέτω ἀποτεθὲν εἰς γῆν πρὸ τοῦ συγγενέσθαι· ἄσπληνος βοτάνη καθ' ἑαυτὴν καὶ σὺν ἡμιόνου ὁπλῇ περιαπτομένη — δεῖ δὲ ὀρύσσειν αὐτὴν ἀσελήνου νυκτός —, μυρίκης ξύλον καὲν καὶ σβεσθὲν ⟨ἐν⟩ ἰδίοις καταμηνίοις περιαπτόμενον βραχίονι.

100 (95) πίνεται δὲ πρὸς ἀσυλλημψίαν ἡμιόνειος πόα,

---

3 Pl. 20, 184. Pl. 25, 97.
7 SIM. D. III 150 (158, 12) — 9 D. V 142 (100, 16) — 10 D. II 164 (228, 14).
7 EXC. Orib. V 777, 4.
14 SIM. D. II 79 (161, 15). Pl. 28, 80. — 17 SIM. D. III 134 (144, 7). Pl. 27, 34 — 19 SIM. Pl. 28, 81.
21 SIM. [Theophr.] h. pl. IX 18, 7.

---

2 *ποιεῖ* O: corr. Sar. *φορούμενον* del. Sar., fort. cum *ἔμβρυον* voce coniungendum *μελανσπέρμου*] *melaspermon* Pl. 20, 182 3 *μα'* suspectum, cf. Pl. l. s. 4 *σκόλλαν* RF, corr. Sar. coll. Ath. XI 494f. Poll. II 30. Hes. s. v. *τυποῦται* O: corr. Gesn. *μετὰ τὴν συνουσίαν*] *modo a conceptu* Pl. l. s. 5 *προστεθεῖσα* Moib.: *περιτεθεῖσα* O *μακρᾶς* addidi e Pl.

7 nov. cap. inc. O Moib. 8 *ὠφελίμως* R: *ὠφελεῖ μετὰ* Q 10 fort. *Κυδωνίου μήλου* *χυλίσματα* Q 11 *ὑδρομέλιτι* Q *ποθεῖσαν* add. Gesn. *ἢ* addidi 12 post *ὠφελεῖ* dist. Q, correxi 13 post *ῥώθωσιν* aliena (cf. I 127) add. Sar.

14 *περίαπται* R: *περίαπτε* F (*περιάπτεται* M) 15 ad rem cf. Pl. 28, 80. D. II 79 (161, 15) *τῶν* om. R *δεθὲν* O, correxi 17 *ἀποτεθὲν εἰς γῆν* scripsi: *ἀποτίθουσα* O: *ἀποτεθέν που* coni. Sar. *ἄσπληνος* scripsi coll. D. III 134 (143, 7): *ἄσπληνον* O 20 *ἐν* addidi *τῷ βραχίονι* H: *βραχίονα* F (corr. M[2])

21 *α͵ϙ* F tit. *πρὸς ἀσυλληψίαν* F

μιγέντος αὐτῇ ἐξ ἡμιόνου ὁπλῆς τοῦ ἐντός, πτέρεως ῥίζα μετὰ
γλυκέος πινομένη, θηλυπτερίδος ὁμοίως· ἐπιμηδίου ῥίζα πινο-
μένη ἐν οἴνῳ, ἰὸς σιδήρου, ἰτέας ἄνθη καὶ τὰ φύλλα, κράμβης
ἄνθη πινόμενα μετ' οἴνου μετὰ τὴν σύλληψιν, λαγωοῦ πυτία
μετὰ τὴν ἄφεδρον ποθεῖσα ἐπὶ ἡμέρας γ', λεύκης φλοιὸς μετὰ
τὴν κάθαρσιν σὺν ὀξυκράτῳ νήστεσιν· λίθου ὀστρακίτου <· β' 2
ἐπὶ ἡμέρας δ' πινέτωσαν. προστίθεται δὲ πρὸς τὸ μὴ συλλαμ-
βάνειν πρὸ τῆς συνόδου ἡδύοσμον λεῖον, καὶ τὸ αἰδοῖον δὲ τοῦ
ἀνδρὸς τῷ χυλῷ περιχρίεται· κράμβης ἄνθος λεῖον ἐν πεσσῷ
μετὰ τὴν σύλληψιν οὐκ ἐᾷ πήγνυσθαι ⟨τὸ σπέρμα· ἢ⟩ νεβροῦ
πυτία ἐπὶ ἡμέρας γ' προστεθεῖσα μετὰ τὴν κάθαρσιν, πελε-
κίνου σπέρμα πρὸ ⟨τῆς⟩ συνουσίας, στυπτηρία ὑγρὰ ὁμοίως· ἢ
τήλεως ἀφεψήματι πρὸ τῆς συνουσίας προσκλυζέσθωσαν.

101 (96) συνουσίαν δὲ παρορμᾷ καὶ ἐντάσεις ἐργάζεται
ὀρμίνου σπέρμα, ξιφίου ῥίζα ἡ ἁδρὰ καὶ ἀνωτέρω παρορμᾷ
σὺν οἴνῳ ποθεῖσα, ἡ δὲ ἰσχνοτέρα τοὐναντίον ἐκλύει τὴν ὁρμήν·
ὄρχεως ⟨τῆς⟩ βοτάνης ὁ μείζων βολβὸς μετὰ γάλακτος πο-
θεὶς ἐντείνει, ὁ δὲ μικρὸς δι' ὕδατος ποθεὶς ἐκλύει· κνίδης
σπέρμα ἀγρίας πινόμενον μετ' οἴνου, ἄνησσον σὺν οἴνῳ, ἄρου
ῥίζα ἑφθὴ ἐσθιομένη, ἡδύοσμον ὁμοίως· κάρδαμον καὶ τὸ 2
σπέρμα πινόμενον, κορίου σπέρμα ὀλίγον μετὰ ὕδατος — πλεῖον
δὲ ποθὲν κάρον ποιεῖ —, κόστος σὺν οἴνῳ ἢ οἰνομέλιτι, κρόκος
ὁμοίως, λινόσπερμον μετὰ οἰνομέλιτος καὶ πεπέρεως ἀντὶ
κοπτῆς λαμβανόμενον, μαράθου δάκρυον, πράσου καρπὸς ἐσθιό-

---

1 SIM. D. IV 185 (334, 6) — D. IV 19 (184, 10) — D. V 80 (52, 17) — D. I 104 (96, 17) — D. II 120 (194, 5) — D. II 75 (150, 12) — D. I 81 (79, 13) — D. V 146 (102, 4).
1 EXC. Orib. V 777, 10.
7 EXC. Orib. V 777, 12.
14 SIM. Orib. V 767, 25 sq. IV 581, 13. Alex. Tr. II 497. Aet. XI 35.

---

1 *μιγείσης* O: corr. Gesn. *αὐτὸ* F (corr. M²) *τὸ ἐντὸς* Q *πτερίδος* Or. 4 *τὴν* om. RF 5 *φλοιὸς* Sar.: *φλοιοῦ* O fort. *φλοιὸς μετὰ ⟨ἡμιόνου νεφροῦ καὶ τὰ φύλλα μετὰ⟩* coll. D. l. s. 6 *τὴν* om. RF *ὀστρακίνου* Q 8 *ἡδυόσμου* F *καὶ τὸ — λεῖον* om. F 9 *χυλῷ*] *ξύλῳ* O: corr. Gesn. *περιχρισθὲν* O, correxi 10 *μετὰ τὴν σύλληψιν*] *μετὰ τὴν ἀποκύησιν* D. II 120 (194, 5) *τὸ* addidi, *σπέρμα* addidi e N *ἢ* addidi *νευροῦ* Q 11 *ἐπὶ* om. Q *πελεκίνου — συνουσίας* om. F (mg. add. M²) 12 *τῆς* addidi ex HOr. 13 *πρὸς* Q *τῆς* H, om. RF *συνουσίας* F (corr. M²)

14 num. cap. om. F 16 *τοῦναντίον* (sic) R: *τοῦ αὐτοῦ ναντίον* F 17 *τῆς* addidi *βολβὸς*] *βλαστὸς* Q 23 *μιγὲν μέλιτι καὶ πεπέρει* D. II 103 (177, 13) 24 fort. *πολὺ λαμβανόμενον* coll. D. l. s.

μενος καὶ χυλὸς πινόμενος, σατυρίου Ἐρυθραικοῦ τὸ σπέρμα — ἔστι δὲ ὅμοιον τῷ ἐν τοῖς ἀπίοις ⟨ἢ⟩ μήλοις, στιλβότερον δὲ καὶ γλίσχρον διαμασηθέν —, σκίγκος ποθεὶς Ἰνδικός — ἀποπαύει δὲ τὰς ἐντάσεις φακοῦ ἀφέψημα ἐπιποθέν —, σταφυλίνου ἀγρίου σπέρμα, τερεβίνθου καρπὸς ἐσθιόμενος.

102 (97) *ἀμβλύνει δὲ τὰς πρὸς συνουσίαν ὁρμὰς ἀνδράχνη ἐσθιομένη, [καὶ] πήγανον ἄγριον καὶ ἥμερον ἐσθιόμενον, θρίδακος ἀγρίας σπέρμα καὶ ἡμέρου πινόμενον, δρακοντίου ῥίζα ἐν οἴνῳ ποθεῖσα ξηρὰ καὶ ⟨τὰς⟩ ἐντάσεις παύει, στρόβιλοι μετὰ σικύου σπέρματος καὶ ἀνδράχνης χυλοῦ, σῦκα ἐσθιόμενα.*

103 (98) *πρὸς δὲ τοὺς γόνον προιεμένους ἀπροαιρέτως ὠφελίμως δίδονται ἴριδος ⟨·β′ μετ᾽ οἴνου. καταπλασθὲν δὲ πραΰνει κώνειον κατὰ τοῦ καυλοῦ καὶ τῶν διδύμων καὶ ἐφηβαίου ἐπιτιθέμενον, νυμφαίας ῥίζα μετὰ ἀλφίτου διδομένη ἐσθίεσθαι ὡς μᾶζα ὀξυβάφου πλῆθος ἢ πινομένη καθ᾽ ἑαυτήν, ἀνήθου σπέρμα πινόμενον· ἐκλύουσι δὲ γονὴν κισσοῦ κόρυμβοι μέλανες πινόμενοι.*

104 (99) *πρὸς δὲ τοὺς ὀνειρώττοντας συνεχῶς ἁρμόζει πρὸς ἐπίσχεσιν ταῦτα καταπλαττόμενα· κωνείου σπέρμα κατὰ τῶν διδύμων καταπλαττόμενον· ἐὰν γὰρ κατὰ τοῦ αἰδοίου τις καταπλάσῃ, παραλυθήσεται· νυμφαίας ῥίζῃ κατάπλασσε καὶ τὰ αἰδοῖα, κορίου χυλῷ καὶ στρύχνου κατάχριε ⟨τοὺς⟩ διδύμους καὶ νίτρῳ καὶ ῥάμνου χυλῷ ⟨καὶ⟩ ἀνδράχνης πιέσματι· καὶ αὐτὴ*

---

6 SIM. Orib. V 768, 8.
11 SIM. Orib. V 769, 3.
18 SIM. Orib. V 768, 13. Aet. XI 34.

---

1 fort. *ὁ χυλὸς* *σατύριον* (-*ικον* R: *σατήριον* Q) *ἐρυθραικόν· ἔστι δὲ ὅμοιον σπέρμα* O, correxi coll. D. III 128 (139, 1) 2 *τῷ*] *τῶν* F *τοῖς* H: *ταῖς* (ut videtur) reliqui *ἀπίαις* F *ἢ* add. Gesn. 3 post *Ἰνδικός* nonnulla intercidisse suspicatur Sar. coll. D. II 66 (142, 7) ab *ἀποπαύει* nov. cap. inc. Moib. 4 *ἐνστάσεις* F

6 nov. cap. inc. O (num. om.) 7 *καὶ* delevi 9 *τὰς* add. Gesn. *στρόβυλον* F (corr. M²) 10 *χυλός* Q *καὶ σῦκα* Q post *ἐσθιόμενα* add. *κόρωνις* R

11 nov. cap. inc. O (n. om.) *ἡ προαίρετος* F 12 *δίδοται* O: correxi 15 *πινόμενον* Q 16 *δὲ* om. Q

18 *ο̅η̣* F tit. *πρὸς τὸ μὴ βλέπειν ὄνειρα* mg. add. F (atr. r.), om. M 19 cf. D. IV 78 (240, 9) 20 *τις* post *γὰρ* transpos. H 21 *καταπλάσσῃ* Q *ῥίζῃ* R: *ῥίζης* F: *ῥίζης χυλὸν* H: *ῥίζαν* Moib. *κατάπλασσον* R 22 *χυλὸς* F *τοὺς* addidi 23 *νίτρον* R: *νίτρα* F *χυλὸς* Q *καὶ* addidi *πιέσματα* F

δὲ καταπλάσσεται καθ' ἑαυτὴν καὶ ⟨μετὰ⟩ ἀλφίτου, ἢ ἄγνου φύλλα σὺν ἀλφίτῳ, ἢ κύμινον λεῖον μετὰ Κιμωλίας φυραθέν.

105 (100) ποθέντα δὲ ὠφελεῖ τοὺς ὀνειρώττοντας νυμφαίας ῥίζης ἀπόζεμα πρὸ τοῦ σιτίου λαμβανόμενον, ⟨καὶ⟩ τῇ τροφῇ δὲ μειγνυμένη ἡ ῥίζα ξηρὰ καὶ τὸ σπέρμα ὁμοίως, καλαμίνθης ἀπόζεμα πινόμενον· ἰᾶται ὀνειρωγμοὺς θρίδακος σπέρμα καὶ ἀνδράχνης σὺν ὕδατι πινόμενα.

106 (101) τοὺς δὲ ἐνουροῦντας ἰᾶσθαι δεῖ ἐπιπλήξει καὶ [ἐν] τῷ δι' ἡμέρας ἐθισμῷ τῆς οὐρήσεως καὶ μεταξὺ κατέχειν, κύστιν τε αἰγείαν ἢ προβατείαν κεκαυμένην ποτίζειν σὺν ὀξυκράτῳ, ἢ ὠπτημένην σὺν τῷ οὔρῳ ἐπὶ θερμοσποδιᾷ διδόναι φαγεῖν, ἑσπέρας τε διψᾶν ἀναγκάζειν· ποιεῖ δὲ καὶ λαγωοῦ ἐγκέφαλος ὅσον ἐρέβινθος μετὰ χηνείου στέατος ἴσου καὶ κόμμεως τοῦ αὐτοῦ καταπινόμενος ἢ συμφυραθεὶς ἀλφίτῳ καὶ ἐσθιόμενος· καπρείας ὁπλῆς λείας κοχλιάριον μετὰ μελικράτου ἢ καστορίου ἢ ἄγνου, πηγάνου τὸ αὐτό.

107 (102) νεφριτικοὺς δὲ ὠφελεῖ πινόμενα· ἀγαρικοῦ ⟨· α' μετ' οἴνου κυ' α', ἀγχούσης ῥίζης ⟨· α' ὁμοίως, ἀλκυονίου ⟨·⟩ μετὰ ὕδατος, ἀμώμου ⟨· α' μετ' οἴνου, ἀμύγδαλα πικρὰ σὺν ὕδατι ἢ ἐκλειχόμενα σὺν ῥητίνῃ τερμινθίνῃ, ἀναγαλλίδος ἢ πολυγόνου χυλὸς σὺν οἴνῳ, σταφίδες ἐσθιόμεναι χωρὶς τῶν γιγάρτων, βουνίου φύλλων καὶ τῆς ῥίζης ὁ χυλὸς ἐπὶ ἡμέρας ιβ' πινόμενος μετὰ γλυκέος· ἢ γάλα ἢ γλυκυσίδης ἀφέψημα, γλυ- 2
κυρρίζης χυλός, ἐλάτης μυρεψικῆς τὸ ἀφέψημα, σὰρξ ἐχίνου

7 EXC. Gal. XIII 319. Orib. V 769. Aet. XI 25 (577 R.-D.).

1 *μετὰ* add. Gesn. 2 *φύλλοις* R *κυμίνῳ λείῳ* O, corr. Gesn. post *φυραθέν* aliena add. F (del. M[2]) *π⟨ρὸς⟩ τὸ μὴ πορνεῦσαι γυναῖκα· χολὴν σκάρου τοῦ ἰχθύος ἀλείψας τὸ αἰδοῖον αὐτοῦ, ὁ ἀνὴρ αὐτῆς συγγενόμενος μετὰ ταῦτα, καὶ οὐ μίγνυται μετ' ἄλλου*

3 *α̅θ̅* F 4 *σίτου* Q *καὶ* addidi 5 *δὲ* om. R 6 post *πινόμενον* distinxi, post *ὀνειρωγμοὺς* Q 7 *πινόμενα* O: *πινόμενον* Moib.

8 *α̅ι̅* F *δεῖ*] *δὲ* F 9 *ἐν* delevi (ditt.) *καὶ* om. H 10 *κύστει τε αἰγείᾳ ἢ πρ. κτλ.* O, correxi ex Gal. 11 *ὠπτομένη* F: *ὠπτημένη* R, corr. Sar. 12 *λαγωοῦ*] *ἀετοῦ* Or., at cf. Pl. 28, 215 13 *ἐρέβινθος* R: *ἐρεβίνθου* F, (corr. M[2]): *ἐρεβίνθου μέγεθος* H *ἴσον* F (corr. M[2]) 14 *τοῦ αὐτοῦ*] *τὸ αὐτὸ* H, abundare putat Gesn., at cf. Or. *καταπινόμενα ἢ συμφυραθέντα ἀλφίτῳ καὶ ἐσθιόμενα* O, corr. Sar. 15 *κοπρέας λείας* RF, corr. Gesn. e Pl. l. s. 16 *ἄγνου*] *ἀγρίου* R

17 *α̅ι̅α̅* F tit. *περὶ* (l. *πρὸς*) *νεφριτικούς* F (mg. add. M) 20 *τερεβινθίνῃ* R 22 *ἐπὶ ἡμέρας* om. R 23 *ἢ* (alt.) om. Sar. 24 *ἀπόζεμα ἤγουν τὸ ἀφέψημα* Q

χερσαίου ἐσκελετευμένη σὺν οἴνῳ, σμυρνίου σπέρμα σὺν γλυκεῖ, κασσία σὺν οἴνῳ, καρδαμώμου <· α′ σὺν γλυκεῖ, κάλαμος ἀρωματίτης ὁμοίως, κινάμωμον ὁμοίως· κέστρου φύλλων <· α′ σὺν γλυκεῖ, ἀρκεύθου ἀφέψημα ὁμοίως, μήου ἀπόβρεγμα ὁμοίως,
3 μίλτου Λημνίας <· δ′ ὁμοίως· οὖρον ὄνου ποθὲν ἱστορεῖται ἰᾶσθαι· σάκχαρον σὺν ὕδατι, σκάνδικος ἀφέψημα, σταφυλίνου ἀγρίου σπέρμα, στρόβιλοι ἐσθιόμενοι, συμφύτου πετραίου ἀπόζεμα ἐν μελικράτῳ, σῦκα ξηρὰ ἐσθιόμενα, χαμαιπίτυος ἀπόζεμα ἐν μελικράτῳ. (103) κἂν ἕλκος δέ τις ἔχῃ ἐν τῷ καυλῷ καὶ ἐπιδάκνηται, ἐνεργῶς βοηθεῖ τραγακάνθης <· β′ βεβρεγμένης ἐν ὕδατι νήστεσιν ἐκλεικτόν.

108 (104) ἐὰν δὲ καὶ αἷμα οὐρῇ, ⟨στυπτηρίας⟩ σχιστῆς <· α′, τραγακάνθης <· β κόψας ἀναλάμβανε τροχίσκους ἀνὰ ÷, ἕνα διδοὺς ἐν γλυκεῖ. τὰς δὲ ἐκ νεφρῶν αἱμορραγίας ἵστησιν στρατιώτης ὁ ἐπὶ τῶν ὑδάτων πινόμενος.

109 (105) ἀλγήματα δὲ κύστεως ἰᾶται λινόσπερμον ὠμόν, σήσαμον, ὅρμινον, ἑκάστου κυ′ α′ κατ᾽ ἰδίαν σὺν γλυκεῖ πινόμενος· ὀξυσχοίνου σπέρμα ἢ βολβῶν πυρρῶν σπέρμα ὁμοίως, λωτοῦ σπέρμα ὁμοίως ἐν οἴνῳ, μήκωνος μελαίνης ἢ λευκῆς σπέρματος <· α′ πινομένη μεθ᾽ ὑδρομέλιτος, κυπαρίσσου φύλλων <· α′ σὺν ὕδατι θερμῷ πινομένη ἢ μελικράτῳ, Κυδωνίων ἄνθους ἢ ἑλίκων ἀμπέλου ἢ ἀνδράχνης ἀφέψημα πινόμενον, ἢ Γεντιανῆς χυλὸς σὺν ὕδατι.

110 (106) καταπλάσσεται δὲ ὠφελίμως ἐπὶ ἀλγούσης κύστεως νυμφαίας ῥίζα καὶ σπέρμα, πολύγονον, πετροσέλινον, χαμαίπιτυς σὺν οἴνῳ καὶ στέατι ὑείῳ ἡψημένα· κρίθινον ⟨ἄλευ-

16 EXC. Orib. IV 580, 1.

1 *ἐσκελετευμένος* R: *ἐσκελετευμένον* F, correxi *σμυρνίου — οἴνῳ* om. F (mg. add. M^2) *σμηνεόν* RM^2, corr. Moib. 3 *κιναμώμου* O, correxi 4 *μύου* Q 5 post *δ′* dist. Q *ἱστόρηται* R: *ἱστορεῖται* Q 6 *σκάνδακος* F 9 a *κἂν* nov. cap. (*αιβ*) inc. F tit. *περὶ τοῦ ἔχοντος ἐν τῷ καυλῷ ἕλκος* F (del. M^2) *ἐὰν* Q *ἔχοι* R: *ἔχει* F 10 *ἐναργῶς* HR (*ε* superscr. R) *τρακάνθης* Q *ἐν οἴνῳ* Moib. 11 *ἐκλεικτόν* egregie Gesn.: *ἔλληκτος* R: *ἐλληκτῶς* F

12 ab *ἐὰν* nov. cap. inc. Moib., cum anteced. coni. O *στυπτηρίας* addidi 13 fort. *εἰς τροχίσκους* 14 *δίδου* H a *τὰς δὲ* nov. cap. inc. R

16 *αιγ* F tit. *περὶ τοῦ τῆς κύστεως ἀλγήματος* F 18 *ὀξυσχίνου* M *πυρῶν* Q, cf. D. II 170 (236, 9) 19 *λευκῆς ἢ μελαίνης* Or. *ἢ* om. O 20 *πινομένη — <· α′* (v. 21) om. Q 22 *ἄνθη* O, correxi ex Or.

24 nov. cap. inc. R: cum antec. coni. Q *δὲ* om. R 25 *ῥίζης* M 26 *ὑῷ* F (corr. M^2) *ἑψημένα* O, correxi: *ἑψημένη* Sar. *ἄλευρον* addidi Gesn. duce

ρον⟩, γῦρις, τῆλις, λινόσπερμον, φοίνικες, μῆλα Κυδώνια ἑφθά, κωδύαι μήκωνος ἑφθαὶ καὶ ὑοσκυάμου ἀλεύρῳ μιγεῖσαι.

111 (107) πρὸς δὲ τὰς ἑλκώσεις τῆς κύστεως ποιεῖ μὲν καὶ τὰ ἐπὶ νεφριτικῶν ἀναγεγραμμένα ποτά, ἁρμόζει δὲ καὶ ταῦτα· ἀγρώστεως τῆς ἐν Παρνασσῷ φυομένης ἡ ῥίζα καὶ τῆς ἄλλης δὲ ἀφεψηθεῖσα ἐν ὕδατι πινομένη, ἀνδράχνης χυλὸς ἐν γλυκεῖ, γάλα γλυκύ, ἐλάτης μυρεψικῆς ἀπόζεμα, κυπαρίσσου φύλλα λεῖα μετὰ σμύρνης ποθέντα.

112 (107) ἰᾶται δὲ κύστιν ῥευματιζομένην μολόχη ἐσθιομένη ἢ μύρτα ἐσθιόμενα. (108) ἐπιδακνομένην δὲ κύστιν ὠφελεῖ σάκχαρον πινόμενον, σκάνδικος ἀφέψημα πινόμενον, καὶ τῆς λεγομένης φαλήρεως βοτάνης κοπείσης καὶ θλιβείσης ὁ χυλὸς σὺν οἴνῳ — γεννᾶται δὲ ἐν τοῖς σίτοις —· συμφύτου ἀφέψημα, κνῆκος χυλισθεῖσα, ἀμύγδαλα πικρά, στροβίλια πεφωγμένα, κόμμι κοκκυμήλων, τραγάκανθα ἐν γλυκεῖ μετὰ κέρατος ἐλαφείου κεκαυμένου μιγείσης αὐτῇ ⟨στυπτηρίας⟩ σχιστῆς ὀλίγης.

113 (109) δυσουρίαις δὲ βοηθεῖ πινόμενα· ἀσπαράγου ἀγρίου ῥίζης ἀπόζεμα καὶ τὸ σπέρμα σὺν οἴνῳ, πάναξ σὺν μελικράτῳ ποιεῖ καὶ πρὸς ψωριῶσαν κύστιν, πολυγόνου χυλός, σαμψούχου ἀπόζεμα, σέσελι, σικύου ἡμέρου σπέρμα καθαρὸν σὺν γάλακτι ἢ γλυκεῖ καὶ πικροῖς ἀμυγδάλοις, ἢ αὐτὰ τὰ ἀμύγδαλα ἐν γλυκεῖ, σκορδίου χύλισμα ἐν οἴνῳ, σταφυλίνου ἀγρίου σπέρμα, φιλεταιρίου ῥίζης <· α΄ ἐν κράματι, φοῦ ἀπόζεμα, χαμαιπίτυος ὁμοίως· χαμαιλέοντος λευκοῦ <· α΄ ἢ β΄ 2
μετ᾽ ὀριγάνου ἀποζέματος ἢ οἴνου, ψευδοβουνίου κλωνία δ΄ μεθ᾽ ὕδατος, ὠκίμου σπέρμα, ἀβροτόνου ὁμοίως ἀποζεσθὲν ἐν

3 EXC. Orib. IV 580, 4.
17 SIM. Gal. (Orib. II 563).

2 ὑοσκύαμος R μιγέντα O, corr. Gesn.
3 cap. ριδ inc. F 5 ἡ om. Q 8 λεῖα om. Q
9 ab ἰᾶται nov. cap. (ριδ A) inc. O 10 ab ἐπιδακνομένην nov. cap. inc. Moib. 11 σκάνδακος Q 12 θλιβεὶς F 13 οἴνῳ] ὠῶ R, cf. D. III 142 (152, 5) fort. συμφύτου πετραίου 14 ὑλισθεῖσα R: ἡλιισθεῖσα F, correxi, cf. D. IV 188 (336, 3) πεφυγμένα Q 15 κόμμοι (κόκκοι corr.) F τράκανθον F ἐν Moib. e D. III 20 (26, 5): σὺν O μετὰ] ἢ O, corr. Gesn. 16 αὐτῶ O, correxi στυπτηρίας addidi e D. l. s.
17 ριε F tit. περὶ δυσουρίας ἀνθρώπου F δυσουρίας Q 18 ὀπάναξ (ο del.) R 21 πιεροῖς F τὰ] ταῦτα O, correxi 23 ἐν κράματι — λευκοῦ <· α΄ om. F (mg. add. M²) 26 ἀβρότονον O, correxi

ὕδατι, ἄχρις οὗ τὸ τρίτον λειφθῇ· ἀγαρικοῦ ⟨· α΄ μετ᾽ οἴνου,
γλυκυρρίζης ἀπόζεμα πινόμενον, ὀξυμυρσίνης ⟨τῆς καὶ μυρσί-
νης⟩ ἀγρίας ῥίζα ἀπεζεσμένη, δαμασωνίου ῥίζης ⟨· α΄ σὺν οἴνῳ,
3 στρόβιλοι καθαροὶ μετὰ σικύου σπέρματος καὶ γλυκέος· ἀν-
θυλλίου ⟨· γ΄ σὺν οἴνῳ, ἀνθεμίδος ῥίζα καὶ τὰ ἄνθη ὁμοίως,
ἀσπαλάθου ἀπόζεμα ὁμοίως· ἀψίνθιον ἀποζεσθὲν σὺν σελίνου
ῥίζῃ ἴσῃ ⟨ἢ⟩ σχοῖνος ἢ νάρδος ἢ μάραθον ἐν ὕδατι· βακχάριδος
ἡ ῥίζα ἑψηθεῖσα ἐν ὕδατι, βουνίου τὰ φύλλα καὶ ἡ ῥίζα χυ-
λισθέντα μετὰ μελικράτου, ἑλιχρύσου ἄνθος σὺν τοῖς φύλλοις
ἐν οἴνῳ, ἑρπύλλου ἀπόζεμα ὁμοίως· σμυρνίου ῥίζα πινομένη ἐν
οἴνῳ, ἠρύγγης ῥίζα μετὰ σταφυλίνου σπέρματος καὶ οἴνου, ἱπ-
4 ποσελίνου ῥίζα καὶ σπέρμα ὁμοίως· καρδάμωμον μετ᾽ οἴνου
ἢ ὕδατος, κάλαμος ἀρωματίτης μετὰ ἀγρώστεως ῥίζης ἢ σελίνου
σπέρματος ἑψηθεὶς ἐν ὕδατι, κεδρίδες πινόμεναι μετὰ πεπέ-
ρεως καὶ οἴνου, κινάμωμον σὺν οἴνῳ, κουραλλίου ⟨· α΄, κλινοπο-
δίου ἀπόζεμα ἐν ὕδατι, κυπαρίσσου τῶν φύλλων ὁ χυλὸς πινό-
μενος σὺν οἴνῳ, λεύκης τοῦ δένδρου ὁ φλοιὸς σὺν οἴνῳ, ἐξωνύχου
5 τοῦ καὶ λιθοσπέρμου καρπὸς πινόμενος ὁμοίως· αἱματίτης
λίθος ἐν οἴνῳ, μαράθου ἀφέψημα σὺν ὕδατι, μυριόφυλλον
πινόμενον ὁμοίως, πτελέας ῥίζα σὺν γλυκεῖ, ὀνόβρυχις ἐν οἴνῳ,
οἰνάνθης ⟨ἡ⟩ πόα καὶ ἡ ῥίζα, ὄνοι οἱ ὑπὸ ταῖς ὑδρίαις λεῖοι
πινόμενοι, ὄρνιθος ἀπόπατος σὺν οἴνῳ. εἰς δὲ τὸν οὐρητικὸν
πόρον ὑποτίθενται πρὸς ἐξουρισμὸν κόρεις ⟨οἱ⟩ ἀπὸ κλίνης
λεῖοι.

114 (109) καταπλάσσεται δὲ πρὸς δυσουρίαν ὀρόβινον σὺν ὄξει καὶ ἐπιδεῖται· ὁμοίως δὲ οὖρα ἄγει μῆον λεῖον καταπλασθὲν κατὰ τοῦ ἐφηβαίου.

115 (109) ὑποθυμιώμενα δὲ οὖρα ἄγει βδέλλιον, Ἀρτεμισία,

---

1 ἄχρι F τὸ om. Q 2 ὀξυμυρσίνης] μυρσίνης coni. Sar. coll. D. IV 144 (286, 17), τῆς καὶ μ. addidi 3 ῥίζα om. F (superscr. M²) ἀπεζεσμένης Q (corr. M²) 5 <· γ΄] *tribus drachmis* Pl. 21, 175: πλῆθος δραχμῶν τεσσάρων D. III 136 (145, 7) ῥίζης Q 7 ἢ (pr.) add. Moib. σχίνου ἢ νάρδου ἢ μαράθου O, corr. Moib. 8 ἡ (pr.) scripsi: ἐν F, om. reliqui 10 σμυρίνου M 12 σπέρμα ὁμοίως] σπέρματος καὶ οἴνου (e v. 11) F (corr. M²) 13 ῥίζης om. D. I 18 (23, 18) ἢ (alt.)] καὶ O, corr. e D. 14 ἑψηθεῖσα Q 15 κινάμωμος Q 17 ἐξ ὀνύχων Q (corr. M²) 18 λινοσπέρμου O 20 πινόμενον om. Q 21 ἠνάνθου F ἡ addidi ἡ (alt.) om. Q 22 ab εἰς nov. cap. inc. R, post οἴνῳ spat. habet Q 23 ὑποτίθεται O, corr. Moib. οἱ addidi

25 a καταπλάσσεται nov. cap. inc. R, cum antec. coni. Q οὖρον βόινον F (ἐν ἄλλῳ ὀρόβινον mg. add. M²), fort. ὀρόβινον ἄλευρον

28 nov. cap. inc. R, spat. post ἐφηβαίου rel. F

ἀκρίδες, τρίχες ἐλάφου· περιεστολισμένος δὲ ἔστω κύκλῳ, ἵνα ἀδιάπνευστος ᾖ· περίχριε καὶ τὸν δακτύλιον ἀμαρακίνῳ μύρῳ.

116 (110) εἰς ἐγκαθίσματα δὲ ἀποζέννυται ἐπὶ τῶν περὶ τὴν κύστιν διαθέσεων ἀνθεμίς, δάφνη, κάλαμος ἀρωματίτης, κυπαρίσσου φύλλα.

117 (111) λίθους δὲ τοὺς ἐν κύστει θρύπτει πινόμενα σὺν οἴνῳ· ἀδίαντον, φιλεταιρίου ῥίζης ⟨· β', σμυρνίου σπέρμα, ὀξυμυρσίνης ῥίζα ἐν γλυκεῖ ἀποβρεχομένη καὶ ὁ καρπὸς σὺν οἴνῳ, ἱππομαράθου σπέρμα καὶ ἡ ῥίζα, ἀλθαίας ῥίζα καὶ τὸ σπέρμα, ἁλκυονίου Μιλησίου ∸ σὺν ὕδατι, ἀμύγδαλα πικρὰ σὺν γλυκεῖ καὶ τὸ ἔλαιον αὐτῶν, ἀνθεμίδος τῆς πορφυρανθοῦς τὸ ἄνθος καὶ ἡ ῥίζα, λευκανθέμου ἀπόζεμα, ὀνωνίδος ῥίζα σὺν οἰνομέλιτι, βδελλίου ⟨· α' σὺν οἴνῳ, τριβόλου χλωροῦ καρποῦ χυλός· φήνης τοῦ ὀρνέου, ὃ Ῥωμαϊστὶ ὀσσίφραγον καλοῦσιν, ἡ κοιλία ξηρὰ κατ' ὀλίγον πινομένη· γλυκυσίδης ῥῶγες πυρραὶ ἐσθιόμεναι καὶ πινόμεναι.

118 (111) ἐπὶ δὲ παιδίων λιθιώντων καὶ πρὸς ψωριώσας κύστεις ἁρμόζει δάφνης ῥίζης τοῦ φλοιοῦ ⟨· α' μετ' οἴνου εὐώδους, κοτυληδόνος ῥίζα καὶ ἡ πόα ἐσθιομένη, καρδαμώμου ⟨· α' μετὰ δάφνης ῥίζης τοῦ φλοιοῦ ⟨· α' σὺν οἴνῳ, κόμμι τὸ ἐξ ἀμυγδαλῆς πικρᾶς ἢ ἀμπέλου ἢ κοκκυμήλων μετὰ γλυκέος, ⟨ὀξαλίδος⟩ ῥίζα ἑφθὴ ἐν οἴνῳ, ἐξωνύχου καρπὸς λεῖος· λίθοι οἱ ἀπὸ τῶν 2 σπόγγων λεῖοι μετ' οἴνου, οὖρον ταύρου πινόμενον, παρθενίου τῆς λευκανθέμου καλουμένης ἡ πόα, παλιούρου σπέρμα, ἄμμωμον ἐσθιόμενον — τοῦτο δὲ καὶ τὰ λιθογόνα ὕδατα καθαίρει

---

7 SIM. Aet. XI 4 (92, 19 R.-D.).
7 EXC. Orib. IV 580, 7. Aet. XI 10 (569 R.-D.).
18 SIM. Aet. XI 4 (92 R.-D.).

---

1 *κύκλο* R: *κύκλωθεν* Q   2 *εἶ* M (ch. laes. F)   *τὸ* M
4 nov. cap. inc. R   5 *διαθέσεως* R
7 *αις̅* F   11 *μηλίσου* Q   12 fort. *δὲ αὐτῶν*   *πυροάνθου* F: *πυρροάνθους* R, corr. Sar. e D. III 137 (145, 12 sq.)   14 *χλωροῦ* om. F (mg. add. M²)   15 *σινόρατον* R: *συνόρατον* Q, corr. Gesn., cf. D. II 53 (137, 16)   16 *ῥῶες* vel *ῥῶγες* libri, fort. *ῥᾶγες*   *πυρροὶ* (*πυροὶ* Q) *ἐσθιόμενοι κτλ.* O, correxi

18 ab *ἐπὶ* nov. inc. cap. R: *ἄλλον* ante *ἐπὶ* add. F   *τῶν παίδων* Q   *τὰς ψωριώσας* Sar.   21 post *φλοιοῦ* aliena add. Q *κύπερος ἀφέψημα· στάχυς* (*στάχος* Q) *φύλλα ἰνδικά· ὀποπάναξ· τραγάκανθα· γεντιανή· πλατυκύμινον· σπέρμα εὐζώμου καὶ στρουθίου κοκκονάρια· ἅλμη· ἑλένιον· ὄρχις κάστορος   κόμεως τοῦ* O, correxi   22 *ὀξαλίδος* addidi Gesnero duce e D. II 114 (190, 1)

συνεψόμενον —, σισυμβρίου ἀπόζεμα, στρουθίου ῥίζα σὺν πά-
νακι καὶ καππάρεως ῥίζη καὶ ἐξουρεῖν ⟨τὸν λίθον⟩ ποιεῖ, πο-
λίου ἀπόζεμα, λίθος Ἰουδαικὸς τριβόμενος σὺν ὕδατι καὶ πινό-
3 μενος· σκολοπένδριος βοτάνη — ἔστιν δὲ καὶ διουρητικός —,
σχοίνου ἄνθος πινόμενον καθ' ἡμέραν, μυσκέλεδρα μετὰ ἐλα-
χίστου κρόκου καὶ σμύρνης ποτιζόμενα σὺν ὕδατι ἢ μετὰ λιβα-
νωτοῦ ὀλίγου καὶ οἰνομέλιτος, πόλιον λεῖον ἐπιπασσόμενον ἢ
τὸ ἀφέψημα αὐτοῦ, ἢ λίθος τῶν ἐξουρηθέντων ὑπὸ αὐτῶν
τριβεὶς καὶ ποθεὶς ἐν οἴνῳ.

119 (112) οὐρητικὰ δέ ἐστι καὶ τὰ παραδιδόμενα μὲν πρὸς
δυσουρίας καὶ λιθιῶντας, καὶ ταῦτα δὲ πινόμενα σὺν οἴνῳ
ὠφελεῖ δυσουροῦντας, καὶ ἐφ' ὧν οὖρα κινῆσαι βουλόμεθα ὡς
ἐπὶ ὑδρωπικῶν καὶ ἰκτερικῶν· ἀκάνθης λευκῆς ῥίζης ⟨· α',
ἀκάνθου τοῦ καὶ παιδέρωτος καλουμένου ῥίζα ὁμοίως, ἀκόρου
ῥίζα, τριφύλλου καρπὸς καὶ ὁ χυλὸς αὐτῆς καὶ τὸ ἀπόζεμα,
2 ἀρκτίου ῥίζα καὶ τὸ ἀφέψημα αὐτῆς· [σαρκίους καὶ προσωπίας
ἢ φιλάνθρωπος ἢ σκορδονίου ὃν Ῥωμαῖοι πίσων] ἀκακίας τὸ
σπέρμα ἄριστα ποιεῖ λιθιῶσιν μετὰ πεπέρεως καὶ οἰνομέλιτος
[Ἀρεταῖος ἐν τοῖς νεφριτικοῖς ἔγραψεν], ἢ νάρδου Συριακῆς
ῥίζα [τριφύλλου καρπός], δαύκου ῥίζα καὶ τὸ σπέρμα, λιβανω-
τίδος καρπός, τραγορίγανον καὶ ⟨ὁ⟩ χυλὸς ὀριγάνου καὶ πετρο-
σελίνου, ἶρις, σελίνου καρπός, κρῆθμον, πηγάνου ἀγρίου σπέρμα,
κνίδης σπέρμα, ἀλθαίας τῆς ῥίζης ἀφέψημα, βρυωνίας ῥίζης
λευκῆς ἢ μελαίνης ⟨· α', καὶ ὁ ἀσπάραγος ⟨αὐτῆς⟩ ἐσθιόμενος·
3 ἀμπελόπρασα ἐσθιόμενα, ἄνησσον πινόμενον, ἄνηθον, ἄρου

10 SIM. Orib. II 563. Aet. XI 10 (569 R.-D.).

2 ῥίζης R: ῥίζα Q τὸν λίθον add. Gesn. 3 ἀριδαικῶς F 4 διουρητικόν O, correxi 5 μυσκελενδρακ' R: μυσκελενδρα (κ̄ superscr.) F (κ del. M[2]), cf. Poll. V 91 7 πόλιον R: πολὺ Q λεῖον om. Q

10 num. cap. om. F 14 ἀκάνθης Q καὶ om. Q καλουμένη F 16 αὐτῆς O, fort. αὐτοῦ verba σαρκίους — πίσων delevi σαρκίους] l. σαρξιφραγές προσωπίας] l. προσωπίς coll. D. IV 106 (261, 11) 17 φιλανθρώπους (corr. in πος) R κορδονίου R, leg. σκορδόνιον coll. Aet. XI 10 (Ruf. ed. R. 569, 28) περσῶν F: πίσων R (mg. add. M[2]), lege περσώναν 18 ἄριστον F (corr. M[2]) 19 verba Ἀρεταῖος — ἔγραψεν om. H, glossam, quae cum glossa antecedenti coniungenda est, delevi; significat interpres doctus herbam πριονῖτιν ab Aret. Cur. m. chr. II 3 (333, 8) memoratam, ut apparet ex Orib. IV 576, 32 post Ἀρεταῖος add. ὄνομα Q 20 τριφύλλου καὶ καρπός Q, verba delevi δαύκου — λιβ. καρπός om. Q 21 ὁ addidi ex H πετροσέλινον R 22 ἴρεος O, correxi καρπὸς σελίνου Q καρποῦ R 24 ἢ Gesn.: καὶ O σπάραγος O, cf. D. IV 182 (330, 5) αὐτῆς addidi

ῥίζα ξηρὰ ἐν οἰνομέλιτι καὶ ἑφθὴ ἐσθιομένη, καὶ δρακοντίου ὁμοίως· ἀρκευθίδων ἀφέψημα καὶ αὗται ⟨δὲ⟩ λεῖαι πινόμεναι σὺν οἴνῳ, ἀσφοδέλου ῥίζης <· α′ σὺν οἴνῳ, ἄσαρον ὁμοίως, ἀστραγάλου ῥίζα, βαλσάμου καρποῦ <· α′ μετὰ γλυκέος, τριχομανές, ὑακίνθου ῥίζα, ὑπερικόν, χαμαιδάφνη ⟨καὶ δάφνη⟩ Ἀλεξανδρίνη, γιγγίδιον, δίκταμνον, βάλανοι δρύιναι ἐσθιόμεναι καὶ τὸ ἀφέψημα αὐτῶν, Ἑλενίου ἀφέψημα, ἐλελισφάκου ἀφέψημα· ἐρέβινθοι ἐσθιόμενοι καὶ τὸ ἀφέψημα αὐτῶν, ἐρυθρόδανον, 4
ἐχῖνος θαλάσσιος, θέρμου ῥίζης ἀπόζεμα, θρίδαξ ἑφθὴ ὡς λάχανον ἐσθιομένη, [ἢ] θύμος ἢ θύμβρα, ἱππουρίδος φύλλα καὶ ἡ ῥίζα, ἰτέας ὀπός, καπνὸς ὁ ἐν ταῖς κριθαῖς βρωθεὶς χολὴν δι᾽ οὔρων ἄγει· καλαμίνθης ἀπόζεμα, κάχρυ, κισσὸς αἷμα ἄγει· κόστος, κρόκος καὶ ἡ ῥίζα μετ᾽ οἴνου γλυκέος, κρόμυα ἑφθά, λιγυστικοῦ ῥίζα καὶ ὁ καρπός, λίθοι οἱ ἐκ σπόγγων, μαλαβάθρου φύλλα, μελάνθιον, ξιφιδίου ῥίζα ἡ ἄνω· κόρεως 5
καρπὸς σὺν οἴνῳ, ὁλοσχοίνου καρπός, ὀνοβρυχίς, ὀρίγανον, οὖρον λυγγὸς λεῖον ἐν ὕδατι, αἰγὸς οὖρον ὁμοίως μετὰ νάρδου στάχυος, περικλυμένου φύλλα, πέπερι, πήγανον, πίτυος φλοιός, πόλιον, πράσιον, πράσον ἑφθόν, ῥάφανος καὶ τὸ σπέρμα, ῥητίνη πᾶσα, μάλιστα δὲ σχινίνη· σέλινον ὠμόν τε καὶ ἑφθὸν καὶ τὸ σπέρμα αὐτοῦ, σιδηρῖτις ἡ καὶ Ἡρακλεία, σίνων, ἄσαρον, σκίλλης ὀπτῆς <· α′ σὺν ὀξυμέλιτι, σόγχου ῥίζα καὶ ὁ καρπός, στρουθίου ῥίζα· ἰσχυρῶς οὐρητικοί εἰσιν στρόβιλοι ἐσθιόμενοι.

120 (113) λυσσοδήκτους δὲ ὠφελεῖ τὸ αἷμα τοῦ λυσσῶντος κυνὸς ποθὲν καὶ τὸ ἧπαρ αὐτοῦ ὀπτηθὲν καὶ βρωθέν, καρκίνων ποταμίων ὀφθαλμοὶ φωχθέντες καὶ μετὰ ὕδατος ποθέντες

---

25 SIM. Orib. IV 623, 10 sq. V 417. Philum. 2 sq. Aet. VI 24.
25 EXC. Paul. V 3 (74^b 42). Orib. IV 624, 11.

---

1 δρακοντίου N: δρακόντιον reliqui 2 δὲ addidi 3 ἀσφοδελίου R 4 καρπὸς Q post <· α′ add. καὶ ὀπὸς βαλσάμου Q 5 χαμαιδάφνης O, correxi Sar. duce: ῥίζα add. Gesn. καὶ δάφνη addidi Sar. duce ἀλεξανδρινῆς O 6 δρύινοι ἐσθιόμενοι O, correxi 7 ἐλενίου — αὐτῶν om. F (mg. add. M^2) 10 ἢ delevi θύμον O ῥίζα καὶ τὰ φύλλα Q 11 ἐν] ἐπὶ O, correxi χολὴν] χυλὸς F 12 post κισσὸς dist. Q 13 καὶ κρόκος Q fort. ἡ ῥίζα αὐτοῦ μετ᾽ οἴνου] μερίνου Q 15 κόρεως Sar.: σώρεως O, cf. D. III 157 (164, 1) 17 λυγγούριον D. II 81 (165, 10) λείου Q (corr. M^2) οὖρος RF 20 σχοίνη Q τε om. Q 21 σίνον Q, cf. D. III 55 (69, 3)

25 αἰξ F tit. περὶ λυσσοδήκτου F 27 ποθέντες RH: ἐπιθέντες Q

κυ' α', ἢ καὶ ὅλων καέντων τῆς τέφρας <· α' ἢ δ'· Γεν-
τιανῆς <· α' καὶ ἀμπέλου λευκῆς τῆς τέφρας <· β' σὺν οἴνῳ
λευκῷ ἐπὶ ἡμέρας γ' πινόμενα, καὶ ὁ κυνόδους δὲ τοῦ δακόντος
2 κυνὸς ἐνδεθεὶς εἰς κυστίδα καὶ περιαφθεὶς βραχίονι· ὠφελεῖ
καὶ λύκιον ποθέν, ἢ ἀριστολοχείας καὶ Γεντιανῆς καὶ δαφνίδων
καὶ σμύρνης, ἴσον ἑκάστου ἀναλαβὼν δίδου πιεῖν ἢ καὶ ἐπὶ τὸ
δῆγμα ἐπιτίθει· βάτραχοι σκευασθέντες καὶ ἐσθιόμενοι, πυτία
κυνὸς ἐν ἑψήματι. καταπλάσσειν δὲ δεῖ ἐπὶ τῶν λυσσοδήκτων
τὰ τραύματα τοῖς δυναμένοις τηρεῖν ἐφ' ἱκανὸν ⟨φλεγμαίνοντα⟩
τὰ ἕλκη καὶ μὴ ἐᾶν ταχέως ἐπουλοῦσθαι· βέλτιον δέ εἰ καὶ
ἐπὶ παντὶ εἰς αὐτὰ τὰ κυνόδηκτα παραλαμβανόμενον σκόροδον
3 καθ' ἑαυτὸ ἢ καὶ σὺν μέλιτι· κνίδης φύλλα σὺν ἅλσὶν ἢ μέ-
λιτι, κρόμυον μεθ' ἁλὸς ἢ πηγάνου, σίλφιον μεθ' ἁλὸς ἐπι-
παττόμενον λεῖον, ἢ ὀπὸς σιλφίου καταπλαττόμενος· τάριχος
πᾶν, τέφρα κληματίνη σὺν ἐλαίῳ, ἢ σκόρδιον, ἀκτῆς φύλλα σὺν
ἁλσίν, ἀμύγδαλα πικρὰ σὺν μέλιτι, βαλλωτῆς φύλλα ἢ ἀρνο-
4 γλώσσου σὺν ἁλσίν, ἡδύοσμον ὁμοίως· κάρυα βασιλικὰ σὺν
κρομύῳ καὶ ἁλσὶν καὶ μέλιτι, μελισσόφυλλον μεθ' ἁλῶν, μυά-
κων σάρξ, νίτρον σὺν ὑείῳ στέατι, ὀρόβινον μετὰ μέλιτος,
οὖρον ἀνθρώπειον καταντλούμενον, πήγανον σὺν ὄξει, πυροὶ
ὠμοὶ μασηθέντες καὶ ἐπιτεθέντες, σικύου ἡμέρου φύλλα σὺν
οἴνῳ, ὀπὸς συκῆς ἐπισταζόμενος ἢ συκῆς φύλλα ἢ κράδαι
ἁπαλαὶ σὺν μέλιτι· [τέφρα κληματίνη σὺν ἐλαίῳ] τέφρα συκίνη
σὺν κηρωτῇ, ὑὸς ἄφοδος σὺν ὄξει ἑψηθεῖσα, καὶ τὸ Περσικὸν
μῆλον μασηθὲν καὶ ἐπιτεθέν.

8 EXC. Orib. IV 624, 11.

1 <· α'] κοχλιαρίων δυεῖν πλῆθος D. II 10 (125, 15) Orib. 623, 28. Paul. l. s. ἢ δ' fort. delenda fort. καὶ γεντιανῆς fort. γεντιανῆς ῥίζης, cf. D. l. s. 2 τῆς τέφρας] τῆς τε F, om. M (τῆς τέφρας superscr. M²) 3 πινόμενον Q 4 ἐντεθεὶς Q κυτίδα R: κυπίδα F (corr. M²): corr. Sar. e D. II 47 (135, 7) post ὠφελεῖ dist. Sar. 5 fort. ἀριστολοχείας ῥίζης δαφνίδων Moib.: δαφνίδος O 8 ὀψήματι R 9 τῆς δυναμένης Q φλεγμαίνοντα addidi e Phil. 3 (6, 21), cf. Orib. IV 624, 16, at cf. Orib. V 418, 1 10 fort. ἀπουλοῦσθαι 11 fort. παραλαμβάνεται 13 ἢ] καὶ Or. l. s. πήγανον F ἐπιπαττόμενος λεῖος ἢ post ὀπὸς σιλφίου coll. O, correxi coll. Aet. XIII 10: σίλφιον λεῖον ἐπιπαττόμενον, λάσαρ κτλ. 15 σκόρδιον Or.: σκορόδῳ R: σκόροδον Q, cf. D. III 111 (123, 11) ἀσάτης M (ἀκτῆς mg. add. M²) 19 ὑῶ Q 20 ἀνθρώπινον Q 21 ὠμοὶ Moib.: ὁμοίως O φύλλον R, at cf. Or. l. s. 22 κράδοι Q 23 τέφρα — ἐλαίῳ delevi M² duce

121 (114) ποτὰ δὲ κοινὰ πρὸς ἑρπετὰ δίδοται· πέπερι σὺν ὄξει καὶ μηκωνίῳ, πηγάνου ἀγρίου σπέρμα, πλατάνου σφαιρία ὁμοίως, πολεμωνίου τοῦ καὶ φιλεταιρίου ⟨· δ′ σὺν οἴνῳ, πυρῖτις ⟨ἢ⟩ πύρεθρον, πυτία νεβροῦ καὶ λαγωοῦ, σαγαπηνοῦ ⟨· α′, σελίνου σπέρμα σὺν σκορδίου ⟨· β′, τοῦ δὲ χυλίσματος ⟨· α′, σπαργανίου ῥίζα καὶ ὁ καρπός, συκαμίνου ὀπός, [τεύκριον] τευκρίου ῥίζης χυλός· ταῦτα σὺν οἴνῳ λαμβανόμενα· πυρῖτις κἂν ὑποζύγιον δηχθῇ, ἐγχυθεῖσα διὰ στόματος σὺν οἴνῳ ὑγιάζει.

122 (115) πρὸς δὲ τὰ τῶν ἔχεων δήγματα ποτὰ σὺν οἴνῳ
λαμβανόμενα καὶ ἐν τροφῆς μέρει ἀνυτικώτατον βοήθημα ἐπ᾽
αὐτῶν ἡ σκοροδοφαγία καὶ ἀκρατοποσία, ὥστε ἂν ὑπομένῃ τις
πλείονα βρῶσιν καὶ πόσιν μὴ χρῄζειν ἄλλου βοηθήματος.
ποιεῖ καὶ χελώνης θαλασσίας αἷμα ξηρὸν σὺν κυμίνῳ ἀγρίῳ,
πυτία λαγωοῦ, αἰδοίου ἐλάφου ἄρρενος ⟨· α′ ξηροῦ, ἀκάνθης
λευκῆς ⟨σπέρμα⟩, συκῆς φύλλα, ἀκόρου ῥίζα, φι⟨λεταιρίου φύλλα⟩
καὶ ἡ ῥίζα· ἔχιον, χαμαίδρωψ, νάρδου Συριακῆς ῥίζα, ἀριστο- 2
λοχείας μακρᾶς ῥίζα, σμύρνιον, ἀπαρίνης χυλός, λιβανωτίδος
ῥίζα, πηγάνου ἀγρίου ῥίζα, βρυωνίας λευκῆς ἢ μελαίνης ῥίζα·
ἀμπελόπρασον ἐσθιόμενον, ἀγαρικοῦ ⟨· α′, ἀναγαλλίδος χυλός,
ἄνησσον, περιστερεῶνος ῥίζα, ἀσπαράγου ἀφέψημα ἢ ⟨τὸ⟩
σπέρμα, ἀρκευθίδες· ἀσφοδέλου ῥίζης ⟨· γ′, Ἀσκληπιάδος ῥίζα, 3

1 SIM. Pl. 25, 99 sq.
1 EXC. Aet. XIII 10.
9 SIM. Pl. 25, 99 sq.
9 EXC. Orib. IV 624, 28. cf. Aet. XIII 21. Paul. V 13.

1 αιη̄ F tit. περὶ ποτὰ κοινὰ (sic) περὶ ἑρπετῶν Q πεπέρεως Q 3 φιλεταιρίου λεγομένου Aet. <· α′ O, correxi e Pl. l. s. *drachmis quattuor* πυργίτης RF, corr. Sar. coll. Nic. Th. 683. A. 531, schol. Nic. Th. 683 4 ἢ add. Spr. nisi praestat πύρεθρον Sar. duce deleri καὶ O: ἢ Aet. post λαγωοῦ add. <· α′ Aet. 5 σὺν delebat Gesn. σκορόδῳ Q συ(γ H)χυλλίσματος Q 6 σπαργάνου Q (corr. M²) τεύκριον delevi 7 πυργίτης O, corr. Sar. 8 δειχθῇ RF

9 αιθ̄ RF tit. περὶ ἐχε(-ι- H)οδήκτων Q ποτὰ R: τὰς F (ς del. M²): τῶν Sar. 10 λαμβανόμενα O: λαμβανομένων Sar. verba ἀνυτικώτατον — καὶ suspecta, cf. Aet. l. s. ἀνυκότατον Q 11 σκοροδοφαγίαν M ἀκρατοποσίαν M 14 αἰδοῖον vel αἰδοίων O, correxi ξηροῦ RAet.: ξηρά Q 15 σπέρμα add. Gesn. coll. D. III 12 (20, 9): ῥίζα Orib. post ῥίζα habet καὶ φύλλα Q: φι (spat. rel.) καὶ ἡ ῥίζα R, correxi Orib. duce 16 χαμέλωψ R: χαμιλώψ (ε superscr.) F: χαμαίδρυς Or., corr. Gesn. e D. III 98 (111, 4) συριακοῦ Q 18 πηγάνου ἀγρίου ῥίζα om. F (mg. add. M²) ἡ ῥίζα Or. 19 χυλοῦ R 20 περιστερίωνος F τὸ addidi 21 ἀσφο(ν R)δελίου O

ἀστέρος Ἀττικοῦ τὸ ἄνθος, ἀτρακτυλίδος ἄνθη καὶ τὰ φύλλα
ὅσον δραχμὴ μία μετὰ πεπέρεως, πιστάκια λεῖα πινόμενα·
βάτραχοι ζωμευθέντες καὶ ἐσθιόμενοι, βαλσάμου ὀποῦ ἢ καρ-
ποῦ <· α', ἢ βδελλίου <· α', ἢ γαλῆν σκελετεύσας καὶ ξηράνας
δίδου <· β'· γεντιανῆς ῥίζης <· β' μετὰ πεπέρεως καὶ πηγάνου,
4 τοῦ δὲ χυλοῦ <· α'· γῆς Σαμίας τοῦ ἀστέρος <· β', δαύκου σπέρ-
ματος <· β', ἐγκέφαλοι ἀλεκτορίδων πινόμενοι, βάλανοι δρύιναι
ἐσθιόμεναι, ἴριδος <· β', Ἑλενίου ἀπόζεμα, ἐλαφοβόσκου ῥίζα
καὶ σπέρμα· ἑλιχρύσου ἀπόζεμα. ἑρπύλλου ἀπόζεμα· ἐρυθρο-
δάνου φύλλα καὶ καυλοί, ἐχίου ῥίζα καὶ φύλλα καὶ καυλὸς καὶ
σπέρμα, τριφύλλου σπέρματος <· α' καὶ τῶν φύλλων ὁμοίως·
5 τραγορίγανος, ἧπαρ κάπρου λεῖον ἐν οἴνῳ, ἠρύγγης ῥίζης <· α'
μετὰ σταφυλίνου σπέρματος, ἱππομαράθου ῥίζα καὶ σπέρμα,
ἄμωμον [καί], κασσία, καρδάμωμον· καρκίνοι ποτάμιοι λεῖοι
σὺν γάλακτι διεθέντες — ἧττον δὲ οἱ θαλάσσιοι —, κέστρου
φύλλων <· β', κινάμωμον, κλινοποδίου ἀπόζεμα, κόστου <· β'
μετὰ πεπέρεως ὀβολῶν β', ὀρίγανος Ἡρακλεωτικὴ καὶ τὸ ἀπό-
ζεμα αὐτῆς, κράμβης χυλός, κυκλαμίνου ῥίζα, κυπαρίσσου σφαι-
6 ρία· κύμινον καὶ 〈μάλιστα〉 τὸ ἄγριον, λαγωοῦ πυτία καὶ νε-
βροῦ, λεοντοπετάλου ῥίζα, μυρίκης ἀπόζεμα, μαράθου σπέρμα,
μυρρίδος ῥίζα, αἱματίτης λίθος σὺν οἴνῳ· ἀριστολοχείας ῥίζης,
σμύρνης, δαφνίδων, Γεντιανῆς, ἴσον ἑκάστου μέλιτι ἀναλημφθὲν
πίνεται καὶ ἐπὶ τὴν πληγὴν ἐπιτίθεται, μελίας φύλλα σὺν οἴνῳ
ἢ ὁ χυλὸς αὐτῶν· κἂν ἤδη ἀποθνήσκῃ, οὖρον τὸ ἴδιον ποθὲν
καὶ ἐπιτεθὲν μεγάλως ὠφελεῖ· ἡ ἄγχουσα, πλατάνου καρπός,
κάρδαμον, κυπάρισσος, πίτυος φλοιὸς σὺν οἴνῳ, ἡλιοτρόπιον.
(116) κεράσταις δὲ ἰδίως ἁρμόζει ἄμεως <· β' μετὰ σμύρνης καὶ
οἴνου.

---

1 ἀτρακτυλλίδος O 2 < ᾱ Q ἢ πιστάκεια R 3 fort. καὶ delendum ἢ καρποῦ] καρπὸν Q 5 μετὰ om. F (superscr. M²) post μετὰ add. δυοῖν ὀβολοῖν Moib. 6 τοῦ Moib.: αὐτοῦ O χυλὸς F 7 ἐγκέφαλος ἀλ. πινόμενος Q δρύινοι ἐσθιόμενοι O, correxi 8 ἐλαφοβόσκου — ἀπόζεμα om. F (mg. add. M²) 10 fort. οἱ καυλοί 11 <· α' — σπέρματος (v. 13) om. F, mg. add. M² τὰ φύλλα O, correxi: τριφύλλου σπέρμα ἢ φύλλων <· α' Or. 12 ὀρίγανον Συριακὸν Aet. λεῖον M² ῥίζα M² 14 καὶ delevi καὶ καρκίνου F 15 fort. σὺν delendum coll. Aet. 16 φύλλα F κλινοπόδου Q 17 ἡρακλητικὴ Q 19 κύμινον ἥμερον Sar. μάλιστα addidi ex Or. 21 ῥίζης] ῥίζα Q ἀριστολοχίας ῥίζα μετὰ σμύρνης καὶ γεντιανῆς καὶ δαφνίδων ἴσων μέλιτι ἀναληφθέντων Or. 22 verba σμύρνης — σὺν οἴνῳ bis habet F 23 μηλέας F (corr. M²) Aet. 24 ἀποθνήσκει R 27 a κεράσταις nov. cap. (ᾱκ ut videtur) inc. O Moib.

123 (117) καταπλάσσεται δὲ πρὸς ἔχεις τριφύλλου φύλλα, μελίας φύλλα, πήγανον, καλαμίνθης φύλλα, λινόσπερμον σὺν ἅλσὶν ἢ ὀριγάνῳ καὶ μέλιτι, ἀλεκτορίδες ἀνασχισθεῖσαι ζῶσαι καὶ ἐπιτεθεῖσαι θερμαί, ἀλλάσσειν δὲ δεῖ συνεχῶς· ἀπόπατος αἰγὸς ἑψηθεῖσα ἐν ὄξει, ἀριστολοχείας μακρᾶς ῥίζα μεθ' ὕδατος· ἀσφοδέλου ῥίζα, ἄνθη, φύλλα σὺν οἴνῳ· κεδρία ἢ πίσσα 2
ὑγρὰ σὺν ἁλσὶν ⟨ποιεῖ⟩ καὶ πρὸς κεράστας· δάφνης φύλλα σὺν ἐλαίῳ ἑψηθέντα, ἐρείκης φύλλα σὺν οἴνῳ, ἐχίου φύλλα ὁμοίως· τρὺξ οἴνου μετὰ ἀλφίτου καὶ ὄξους, κρόμυα ὁμοίως, ὀρόβινον ⟨ἄλευρον⟩ σὺν οἴνῳ, πηγάνου φύλλα μεθ' ἁλὸς καὶ μέλιτος, πίτυρα ἐν ὄξει ἑψηθέντα, πράσον καρτόν, ῥαφάνου φλοιὸς σὺν μέλιτι, σάμψουχον σὺν ἁλσὶν καὶ ὄξει· σκίλλα ἑψηθεῖσα ἐν ὄξει, 3
σκόροδα ἐν ὄξει, τέφρα πᾶσα ἐν ὄξει καὶ μάλιστα ⟨ἡ⟩ ἀπὸ συκομόρων ἢ μελίας. καταντλεῖται δὲ ἐπὶ τῶν ἰοβόλων τριφύλλου ἀπόζεμα, ἐπὶ δὲ τῆς πληγῆς ἰδίως βούτυρον ἐπιτιθέμενον, ἀβρότονον λεῖον μετ' οἴνου, ἄγνου φύλλα, ἀδίαντον — ἕλκοῖ δὲ τὴν ἐπιφάνειαν, ἐὰν ἐπὶ πολὺ ἐάσῃς —, ἠρύγγης φύλλα· πινέτωσαν δὲ ἐν ὀξυμέλιτι.

124 (118) πρὸς δὲ αἱμορροίδος καὶ πρηστῆρος δήγματα ὠφελεῖ ἀνδράχνη καταπλασσομένη, ἀρνόγλωσσον, περιστερεῶνος φύλλα, αὐτοῦ τοῦ θηρίου καεῖσα ἡ κεφαλὴ καὶ ἐπιτεθεῖσα, ὕσσωπον, ἄσβεστος, σκόροδον λευκόν, πράσον, πήγανον, κνίδη, κάρδαμον καὶ ⟨τὸ⟩ σπέρμα, σκόροδον λεῖον σὺν οἴνῳ ποθέν, ἀσταφίδες ἐσθιόμεναι, νεοσσοὶ ὠμοὶ ἐσθιόμενοι σὺν οἴνῳ. (119) ἐπὶ

---

1 EXC. Orib. IV 625, 7 sq. Paul. V 13 (76a 23).
19 SIM. Apoll. (Phil. 19).
19 EXC. Paul. V 16.

---

1 verba *καταπλάσσεται κτλ.* anteced. capiti adiung. Q *πρὸς ἔχεις* R: *προσεχῶς* Q 2 *μελίου* Q 3 *ἀλεκτορίδες*] *πρὸς κεράστας* (*αις* F) RF, corr. Sar. Gesnero duce *ἀνασχεθῆσαι* F 4 *καὶ ἐπιτεθεῖσαι* om. F (sup. M²), cf. D. II 49 (135, 12) *θερμοί* Q *δεῖ* om. Q fort. *συνεχῶς αὐτάς* coll. D. l. s. 5 *ἡ ῥίζα* Q 7 *ποιεῖ* addidi, cf. D. I 77 (77, 9) 9 *πάλης ἀλφίτου* Or. *ὀρόβιον* R, *ὀρόβιος* (*ν* corr. M²) F 10 *ἄλευρον* addidi ex Paulo 11 *ἐν ὄξει*] *μετὰ πηγάνου ἀποζέματος* D. II 85 (169, 11) *πράσσου καρτά* O, correxi ex Or. 13 fort. *ἑψηθέντα ἐν ὄξει* *ἡ* addidi *συκομόρων* scripsi coll. D. I 127 (117, 4): *κρομμύων* R: *κράμβης* Q 14 *μελίης* O, correxi 15 *τῇ πληγῇ* R 16 *ἀδιάντου* F post *ἀδίαντον* aliquid desse recte monet Sar. *ἕλκει* F: *ἕλκη* R 17 *ἠρύγγης* scripsi: *ῥητίνης* O 18 *δὲ* om. F (add. M²)
19 *ἄλλο· πρὸς αἱμορροίδας· πρὸς δὲ* F 23 *τὸ* addidi *σκόροδον κηπευτὸν* Moib. 24 ab *ἐπὶ δὲ* nov. cap. inc. RSar., spat. rel. Q, mg. add. *περὶ πρηστῆρος* N

δὲ πρηστῆρος ⟨ἰδίως⟩ ὠμοτάριχος θύννος πολὺς ἐσθιόμενος· δεῖ δὲ οἶνον πολὺν ἐπιπίνοντας ἐμεῖν.

125 (120) ἐπὶ δὲ ἀσπίδος ἢ πτυάδος κόρεις ζ' ἢ η' καταποθέντες ὠφελοῦσιν, ὄξος πινόμενον, συνεχὴς διέγερσις, πληγαί, κίνησις ὅλου τοῦ σώματος. καταντλεῖται δὲ ὠφελίμως θαλάσσῃ θερμῇ.

126 (121) ⟨πρὸς δὲ πληγὰς⟩ σκορπίων καὶ φαλαγγίων καὶ
σφηκῶν καὶ μελισσῶν ποτὰ σὺν οἴνῳ λαμβανόμενα· ἀβρότονον,
ἀγαρικοῦ <· α', ἀγηράτου σπέρμα, ἀδίαντον, ἀείζωον· σκορπιοει-
δὲς ἰδίως ⟨ποιεῖ⟩ πρὸς σκορπίου πληγήν, ἕρπυλλος, ἀλθαίας
ῥίζης <· α', λυχνίδος σπέρμα. ἰδίως δὲ πρὸς φαλάγγια [συκαμί-
νου ῥίζης ὀπὸν δὸς πιεῖν ἢ σταφίδας] ὀξαλίδος καρπὸς καὶ ἡ
2 ῥίζα, ὀνογύρου <· δ', ἄμεως <· β'· ἐξόχως ⟨δὲ⟩ ποιεῖ ἀσφοδέλου
καρπὸς καὶ τὸ ἄνθος ποθέν, ὑακίνθου ῥίζα, χαμαίδρυος ἀπόζεμα
καὶ ὁ χυλός, γλήχων, ἴριδος <· β', θρίδακος ἀγρίας σπέρμα,
ὑπερικόν, κονία συκίνη, κισσοῦ ῥίζης χυλὸς σὺν ὄξει, κυπαρίσ-
σου σφαιρία σὺν οἴνῳ, μολόχης ζωμὸς πινόμενος καὶ αὐτὴ ἑφθὴ
ἐσθιομένη, μελανθίου <· α', μελισσόφυλλον καὶ ὁ χυλὸς αὐτοῦ·
3 σόγχος ἐσθιόμενος, μύρτα χλωρά, μυρίκης καρποῦ <· α', πηγά-
νου σπέρμα, πολύγονον καὶ ὁ χυλός, τερμίνθου καρπός, δαφνί-
δες λεῖαι, σκορπίουρον, καρδάμωμον, ἀναγαλλίδος χυλός, σκόροδα
ἐσθιόμενα, ἔπειτα ⟨τὰ⟩ ψύξιν ἐπιφέροντα τῶν σκορπίων ἁρμό-
ζει [πιεῖν· παλιούρου ἢ ὑοσκυάμου ἀπόζεμα ἢ ἀπόβρεγμα σὺν
οἴνῳ]· ποιεῖ καὶ αὐτὸς ὁ σκορπίος ὀπτὸς βρωθείς, ἀσβόλη ⟨ἡ⟩
ἀπὸ τῆς καπνοδόχης μετ' οἴνου πινομένη.

---

7 EXC. Orib. IV 625, 29.

---

1 *ἰδίως* addidi *θύνος* O, fort. *θύννου* coll. D. II 31 (132, 1) 2 fort. *ἐπιπιόντας* *ἐμεῖν — πρὸς δὲ πληγάς* (v. 7) om. F (mg. add. M²)

4 *διέργεσις* R 5 *καταντλᾶται* M²: *καταντλοῦται* R

7 *πρὸς δὲ πληγὰς* add. Gesn. 8 *ἀμβρότονον* F 10 *ποιεῖ* addidi 11 *λυχνόδες* F *συκαμίνου — σταφίδας* om. R, delevi *συκάμιος* Q 12 *ὁ καρπὸς* Q *ἡ* om. R 13 ad *ὀνογύρου* cf. D. IV 117 (267, 6), ubi *οἱ δὲ ὀνόγυρον* (pro *ὀνοθοῦριν*) legendum post <· β' distinxi, post *ποιεῖ* Q *δὲ* addidi 20 *πολυγόνου* F *τερεμίνθου* Q 22 *ἔπειτα — πιεῖν* om. H *τὰ* addidi *ψύξιν*] *ψυχὴν* F *ἐπιφέροντα*] *τῶν* del. et mg. *ἐπιφέροντα* add. R *τῶν* om. F fort. *τοῖς σκορπίοις* 23 *πιεῖν — οἴνῳ* om. R, delevi *παόγρου* (λ superscr.) M (mg. add. *ἴσως παλιούρου* M²), chart. laes. F [*ἀπόζεμα* Gesn.: *ἀποβροχῆς* H: *ἀποχῆς* M 24 *ποιεῖ*] *ἁρμόζει πιεῖν* M (chart. laes. F) *ἀσβόλης* F (corr. M²) *ἡ* addidi 25 *καπνοδούχης* F

127 (122) καταπλασσόμενα δὲ |ἁρμόζει σκορπιοπλήκτοις καὶ
μελισσῶν καὶ σφηκῶν καὶ φαλαγγίων πληγαῖς ταῦτα· βόλβιτον
καταπλασθέν, ἕρπυλλον, ἅλες λεῖοι σὺν ὄξει, ἄμωμον μετὰ
ὠκίμου, ἀλθαίας φύλλα ἑφθὰ μετὰ ἐλαίου ὀλίγου μιγέντος, τά-
ριχος πᾶν καταπλασσόμενον, ἡλιοτρόπιον τὸ σκορπίουρον καλού-
μενον, κόνυζα, ὀρίγανον, κρίνου φύλλα, κυκλαμίνου· πάνακος 2
Ἀσκληπιαδείου ἄνθη καὶ τὰ φύλλα Χειρωνίου, πόλιον σὺν ὄξει,
δάφνης φύλλα ξηρά, ὀπὸς συκῆς ἐνσταζόμενος, μολόχης φύλλα
ἑφθὰ καὶ ὠμά, συκαμίνου φύλλα, σισύμβριον ἡ καρδαμίνη σὺν
ὄξει καταπλασσομένη, μελισσόφυλλον, φλόμος σὺν ὄξει, χαμαί-
δρυς ὁμοίως· κυπάρισσος μασηθεῖσα ὑπὸ νήστιός τινος καὶ ἐπι-
τεθεῖσα, μύες οἱ κατοικίδιοι ἀνασχισθέντες καὶ ἐπιτεθέντες,
τυρὸς ἁλμυρὸς καταπλασσόμενος· κοχλίας λεῖος σὺν τῷ ὀστράκῳ, 3
ἀσκαλαβώτης παραχρῆμα ἀνασχισθεὶς καὶ ἐπιτεθείς, θεῖον
ἄπυρον ἀναλημφθὲν ῥητίνῃ τερμινθίνῃ καὶ ἐπιτεθέν, Γεντιανῆς
ῥίζα ὁμοίως· ἄγρωστις λεία ἐπιτεθεῖσα παραχρῆμα παύει.
ποιεῖ καὶ αὐτὸς ὁ σκορπίος λεῖος ἐπιπλασθείς, σαῦρος ἀρου-
ραῖος ἀνασχισθεὶς καὶ ἐπιτεθείς, σόγχου ῥίζα σὺν κράμβης
χυλῷ, συκαμίνου ὀπός. καταντλεῖται δὲ ὠφελίμως θαλάσσῃ
ζεστῇ, καὶ εἰς θερμὸν δὲ ἔλαιον ὁ πεπληγὼς τόπος καθιέσθω.

128 (123) ⟨πρὸς δὲ⟩ σκολοπένδρης καὶ μυγαλῆς ⟨δήγματα ποιεῖ⟩ καταπλασσόμενα· ἅλες σὺν πίσσῃ καὶ κεδρίᾳ καὶ μέλιτι, σκόροδον μετὰ συκῆς φύλλων καὶ κυμίνου, καλαμίνθης φύλλα,

---

1 EXC. Orib. IV 625, 33 sq.
21 EXC. Paul. V 12 (75^b 47). Aet. XIII 15.
21 SIM. Apoll. M., Archig. (Philum. 33).

---

2 βόλαιτον R 3 σὺν ὄξει] σὺν λινοσπέρμῳ D. V 109 (80, 18): *cum quarta parte lini seminis ex oleo vel aceto* Pl. 31, 99 4 μιγέντα Q 5 πᾶς καταπλασσόμενος Q τὸ καὶ Q 6 κόρυζα F (corr. M²) κυκλαμίνου O, fort. κυκλαμίνου ῥίζα coll. D. II 164 (229, 1) 7 τὰ om. R χείρονου F, cf. D. III 50 (64, 11) 8 δάφνης φύλλα σὺν ὀλίγῳ ἐλαίῳ Or. ἐπισταζόμενος Or. 9 ἡ καρδαμίνου Q fort. καρδαμίνη λεγομένη, cf. II 5 10 καταπλασσομένη om. Q μελισσόφυλλον — ὄξει om. F (mg. add. M²) 11 μνηστικοῦ (νηστικοῦ H) O, correxi 12 ἐπιτιθέμενοι O, correxi 18 ῥίζης O, fort. χυλὸς subaudiendus 19 a καταντλεῖται nov. cap. inc. R 20 post καθιέσθω aliena habet F (del. M²) ακβ· λαγωοῦ θαλάσσης· ἐμεῖ πυκνὰ χρώματα παντοδαπά· σαπρὸν φαγὼν οὐ κατέχει· χιόνα (χινός F) καὶ ὄργης (sic) στέαρ ἅμα δὸς πιεῖν (ποιεῖ F)
21 tit. περὶ σκολοπένδρης καὶ μυγάλης F initium sic habet R ⫩ σκολοπένδρης καὶ μυγάλης πρὸς δὲ addidi Moib. duce δήγματα add. Moib.: δήγματα ποιεῖ addidi 22 καταπλασσόμενα O: καταπλάσσονται Moib.

κριθὴ κεκαυμένη σὺν ὄξει, σκόροδον καὶ ἀκρεμόνες συκῆς καὶ φύλλα μετὰ ὀροβίνου ἀλεύρου καὶ οἴνου. πρὸς δὲ τὴν μυγαλῆν αὐτὴ ἡ μυγαλῆ ταχέως τριβεῖσα σὺν οἴνῳ καὶ ἐπιτεθεῖσα. πίνεται δὲ κοινῶς πρὸς ἀμφότερα ἀψίνθιον σὺν οἴνῳ, ἡδυόσμου ἀπόζεμα σὺν οἴνῳ.

129 (124) πρὸς δὲ τρυγόνος θαλασσίας πληγὴν καταπλάσσεται ὠφελίμως ἐλελίσφακος μετὰ μέλιτος λεῖος.

130 (125) πρὸς δὲ δράκοντος θαλασσίου πληγὴν αὐτὸς ὁ δράκων ἀνασχισθεὶς καὶ ἐπιτεθείς, καὶ ὁ ἐγκέφαλος ⟨δὲ⟩ αὐτοῦ πινόμενος, καὶ τῇ πληγῇ οὖρον ἀνθρώπου καταντληθὲν ⟨ἢ⟩ ἕρπυλλον καταπλασθέν.

131 (126) σκορπίου θαλασσίου πληγὴν ἰᾶται θεῖον ἄπυρον σὺν ὄξει ἀνατριβόμενον, ἢ τρίγλα ἀνασχισθεῖσα καὶ ἐπιτεθεῖσα, δαφνίδες γʹ πινόμεναι ⟨λεῖαι⟩. (127) ἀσκαλαβώτου δῆγμα ἰᾶται σήσαμον καταπλασθὲν λεῖον.

132 (128) διώκει δὲ τὰ θηρία ὑποστρωννύμενα· ἀβρότονον, ἄγνος, ἔχιον, καλαμίνθη, κόνυζα, ὀρίγανον, ἕρπυλλον, πόλιον, ἀσφόδελος. θυμιώμενα δέ· ἄγνου φύλλα, ἄσφαλτος, βδέλλιον, ἐλάφου κέρας, καλαμίνθη, καρδάμωμον, χαλβάνη, καστόριον, κόνυζα, κυπαρίσσου ἢ κέδρου πρίσματα, γαγάτης λίθος, Λυσιμάχειος, μελάνθιον, πευκέδανον, σαγαπηνόν, πόλιον.

133 (129) κτείνει δὲ θηρία προστεθέντα· χαλβάνη σὺν σφον-

---

6 SIM. Aet. XIII 37.
8 EXC. Orib. IV 626, 14. Paul. V 22. Aet. XIII 39.
12 EXC. Orib. IV 626, 12. Aet. XIII 40. Paul. V 23.
16 EXC. Orib. IV 626, 22. Aet. XIII 7.
22 EXC. Aet. XIII 9.

---

1 σκόροδον] fort. σκόρδιον 2 πρὸς δὲ] nov. cap. inc. O tit. περὶ μυγάλης F 3 ἐπιτεθεῖσα coni. Gesn. e D. II 68 (142, 17): ποθεῖσα O 5 post οἴνῳ aliena add. F δρακοντίου ῥίζαν λειοτριβήσας μετὰ οἴνου καὶ ἐλαίου πότιζε· ἢ ὑγρόπισσον μετὰ θερμοπυρίαν ζυμώσας ἐπίπλασσε καὶ ἰᾶται

6 tit. περὶ (l. πρὸς) τρυγόνος θαλασσίας πληγήν F 7 φακὸς O, correxi coll. D. III 33 (45, 2), Aet. l. s.

8 $\overline{\text{ᾳκ⟨β⟩}}$ F 9 ἀνασχισθεὶς R: ἀναπτυχθεὶς Q δὲ addidi 10 ἀνθρώπινον Q ἢ addidi fort. ἕρπυλλος καταπλασθεὶς

12 $\overline{\text{ᾳκ⟨γ⟩}}$ F tit. περὶ (l. πρὸς) σκορπίου θαλασσίου πληγήν F 13 ἢ fort. delendum 14 λεῖαι addidi ex Or. ab ἀσκαλαβώτου nov. inc. cap. Moib., spat. rel. O 15 καταπλασθὲν λεῖον om. Q

16 nov. cap. inc. Moib., spat. rel. O 18 post ἀσφόδελος spat. rel. O ἄσφαλτον O, correxi 20 fort. Λυσιμάχειος πόα

22 tit. περὶ τοῦ κτεῖναι θηρία Q προστεθέντα αὐτοῖς Aet.

δυλίῳ καὶ ἐλαίῳ· καρκίνοι τριφθέντες σὺν ὠκίμῳ καὶ προστεθέντες σκορπίους κτείνουσιν· λυχνὶς ἀγρία παρατεθεῖσα σκορπίους σκοτίζει· σταφυλίνου ἀγρίου σπέρμα προστεθέν.

134 (130) συγχριόμενα δὲ κωλύει θηρία προσάγειν καὶ διώκει· ἀλθαίας καρπὸς μετὰ ἐλαίου καὶ ὄξους, δαφνίδες σὺν ἐλαίῳ καὶ ὄξει, χαλβάνη καὶ κεδρίδες σὺν ἐλαφείῳ μυελῷ ἢ στέατι, πάνακος Ἀσκληπιαδείου καρπὸς καὶ ἄνθη σὺν ἐλαίῳ καὶ ὀπῷ· μολόχης φύλλοις λείοις σὺν ἐλαίῳ ἀλειψάμενος ἄπληκτος ὑπὸ σφηκῶν καὶ μελισσῶν διαμένει. ποιοῦσιν καὶ κάμπαι αἱ ἐπὶ τῶν λαχάνων σὺν ἐλαίῳ συγχριόμεναι λεῖαι.

135 (131) ἀδήκτους δὲ ὑπὸ ἑρπετῶν τηρεῖ ἐλάφου ἄρρενος αἰδοίου ξηροῦ ⟨· α´ πινομένη σὺν οἴνῳ, ἐχίου ῥίζα ποθεῖσα, σταφυλίνου ἀγρίου σπέρμα βρωθέν· δρακοντίου τῆς ῥίζης χυλῷ ἐάν τις συγχρίσῃ τὰς χεῖρας, αἴροι ἂν ὁ τοιοῦτος ἀλύπως ἐχίδνας, ἢ πευκεδάνου ὀπῷ ὅλος συγχρίσηται.

136 (132) ἐνδέματα καὶ ἀντιπαθῆ ἱστορεῖται ὠφελεῖν πρὸς σκορπιοπλήκτους· ἡλιοτροπίου τοῦ μεγάλου τοῦ σκορπιούρου ⟨καλουμένου⟩ ἡ ῥίζα περιαπτομένη. νεκροῖ δὲ σκορπίον ἀκόνιτον προσαχθέν — διεγείρει δὲ ἐλλέβορος λευκός —, ἀκάνθης λευκῆς σπέρμα περιαπτόμενον. θηρία ⟨δὲ⟩ διώκει λίθος ὀφίτης περιαπτόμενος· ἀπόνους ποιεῖ μυελὸς ἐλάφειος περιχριόμενος, ὀξαλίδος ῥίζα προστεθεῖσα, φιλεταιρίου ῥίζα περιαφθεῖσα ὑπὸ σκορπίου κωλύει ὅλως τι πάσχειν.

---

4 EXC. Orib. IV 626, 18sq. 27. Aet. XIII 8.
13 EXC. Orib. IV 626, 17. Aet. XIII 8.

---

1 *τριφθέντες* scripsi coll. D. II 10 (125, 22): *ποθέντες* O   2 *σκορπίους* om. F (mg. add. M^2)   3 *σκοτίζει*] *σκορπίζει* fort., *φυγαδεύει* Aet.   fort. *καὶ σταφυλίνου ἀγρίου* om. H   *σπέρματος τεθέν* F (corr. M^2)

4 *ακϛ* F   tit. *περιχρίσματα κωλυτικὰ θηρίων* Q   *προσάγει* F   7 *ἀσκληπιάδου* Q   8 *φύλλα λεῖα* O, correxi   9 *διαμενεῖ* R   10 *λεῖαι* om. Q   post *λεῖαι* add. *καὶ ἐλαίῳ καταχριόμεναι* Q

11 tit. *περὶ τοῦ φυλαχθῆναι ἀπὸ ἑρπετῶν* F   *ὑπὸ* R: *ἀπὸ* Q   *τηρεῖν* F   12 *προποθεῖσα* coni. Sar.   13 *δράκοντος* F (corr. M^2)   *τῆς* om. Q   *χυλὸς* Q   14 verba *ἐὰν — ἐχίδνας* om. F (mg. add. M^2)   *ἄροι* RM^2 15 fort. *ἢ ἐὰν ὀπῷ* R: *ὀπὸς* F   *ὅλως* Q: *σὺν ἐλαίῳ* coni. Gesn.   *συγχρίσεται* Q (corr. M^2)

16 *ακζ* FA   *ἱστορῆται* R   17 cf. D. IV 190 (338, 14)   18 *καλουμένου* addidi, cf. I 9. II 127   *νεκρεῖ* F, *παραλύει* D. IV 76 (238, 3)   *ἀκονίτου ῥίζα* D. l. s.   19 *ἐγείρει* O, correxi e D. l. s.   20 post *περιαπτόμενον* spat. rel. O   *δὲ* addidi   22 *ὀξαλλίδος* R

137 (133) κώνωπας δὲ οὐκ ἐᾷ προσέρχεσθαι συγχριόμενον ἀψίνθιον σὺν ἐλαίῳ. θυμιώμενα δὲ κόνυζα, κυπαρίσσου σφαιρία καὶ κόμη καὶ πρίσματα, βόλβιτον.

138 (134) βδέλλας δὲ τὰς προσφυομένας παρισθμίοις καὶ καταπόσει καὶ στομάχῳ ἀποβάλλει ἅλμη καταρροφουμένη, ὄξος, ὀπὸς σιλφίου μετὰ ὄξους ἀναγαργαρισθεὶς ἢ καταρροφούμενος ἢ ὀπόφυλλον, ἢ χάλκανθος σὺν ὄξει ἀναγαργαρισθείς, ἢ χυλὸς ἀναγαλλίδος πινόμενος, ἢ ὄξος δριμὺ μετὰ θύμου λεάναντες πινέτωσαν, ἢ νίτρῳ καὶ ἁλσὶν σὺν ὕδατι ἀναγαργαριζέσθωσαν.
2 ἐκβαλεῖς ⟨δέ⟩, ἐὰν ἐμβιβάσας ἐν βαλανείῳ εἰς ἔμβασιν [καὶ] διδῷς ὕδωρ ψυχρὸν λίαν ἐν τῷ στόματι διακρατεῖν· ἐξελεύσονται γὰρ ἐπὶ τὸ ψυχρὸν ἐκπυρούμεναι· καὶ μετὰ τὸ ἀναγαργαρίσασθαί τινι τῶν προειρημένων περιχανέτω τὴν ἐκ τοῦ ὕδατος ἰλύν· πρὸς γὰρ τὴν ὀσμὴν ἐνεχθήσονται.

139 (135) πρὸς δὲ τὰ θανάσιμα κοινῶς ἁρμόζει ἔλαιον πινόμενον ἢ βούτυρον χλιαρόν, ὅταν ἔλαιον μὴ παρῇ· ἐμείτω δὲ ⟨ὁ⟩ πιών· ἁβροτόνου ⟨· α', κόνυζα μετ' οἴνου καὶ σταφυλίνου σπέρματος, κέστρου φύλλων ⟨· β' σὺν οἴνῳ, καὶ προπινόμενα δὲ
2 δυσαλώτους ποιεῖ· λογχίτιδος τῆς πόας ἀπόζεμα σὺν οἴνῳ, κεδρόμηλα λεῖα ἐν οἴνῳ, μίλτου Λημνίας ⟨· α', νάρδου Κελτικῆς ⟨· β', νάρθηκος ἐντεριώνη, νηρίου τοῦ ῥοδοδένδρου τὰ ἄνθη, σιλφίου ὀπός, ἱπποποτάμου ὄρχις, ὀποπάναξ σὺν ἀριστολοχείᾳ,

1 EXC. Orib. IV 626, 29. Aet. XIII 41.
4 SIM. Apoll. M. (Gal. XIV 143). Scrib. Larg. 199.
4 EXC. Orib. IV 629, 11. V 680, 5.
15 EXC. Orib. IV 627, 25. Aet. XIII 48. Ps. D. *Π. δ. φ.* p. 9. Paul. V 29.

1 *ακη* M tit. *περὶ κωνόπων* F 2 fort. *ἀψίνθιον ἢ μελάνθιον* coll. Aet. l. s.

4 *ακη* F *τὰς* om. F (superscr. M²) *τοῖς παρισθμίοις* H *παριδμίοις* F 6 post *καταρροφούμενος* ex Aetio aliena add. F *ἢ βούτυρον καὶ ὄξος μίξας καὶ πυρώσας σίδηρον, βάψον αὐτὸ εἰς αὐτὰ καὶ δὸς πιεῖν, καὶ ἐκβαίνει ἡ βδέλλα* 7 *χάλκανθον* Q post *ἀναγαργαρισθέν* aliena add. F *ἢ λαβὼν στυπτηρίαν σχιστὴν τρίψας καλῶς ἐμφύσησον τοῦ ἔχοντος βδέλλας καὶ αὐτὴ καὶ ἐξέλθωσιν* (sic) 8 *λειήναντες* O, correxi 10 *ἐκβάλλει* R: *ἐκβαλλεῖν* F: *ἐκβαλεῖ* H, corr. Gesn. *δὲ* addidi *καὶ* delevi *διδοὺς* Q (F charta laesa): *δίδου* R 11 *ἐλεύσονται* O, correxi ex Or. 12 *ἀναγαργαρίζεσθαι* Q 13 *περιχανάτω* O, correxi

15 *ακθ* F 16 *ἐμεῖται* Q 17 *ὁ* add. Moib. 18 *φύλλα* Q *προσπινόμενα* F 21 *νάρθηκος χλωροῦ* Or., fort. recte coll. D. III 77 (89, 11) *ἐντεριώνης* Q *τοῦ*] *τῆς* O, correxi fort. *ῥοδοδένδρου καλουμένου* 22 *ὄρχεις* R, cf. D. II 23 (129, 3)

πάνακος Ἀσκληπιαδείου καρπὸς καὶ τὰ ἄνθη, καὶ τῆς Χειρωνίου ῥίζαι· τούτων ἕκαστον σὺν οἴνῳ· πολίου ἀφέψημα τῆς ῥίζης, πευκεδάνου ὀπὸς καὶ ἡ ῥίζα, πίσσα ὑγρὰ ⟨μετὰ μέλιτος⟩ ἐκλειχομένη, πρασίου χύλισμα σὺν οἴνῳ, σαγαπηνὸν ὁμοίως.

140 (136) *ἀνενέργητα ⟨δὲ⟩ ποιεῖ τὰ θανάσιμα προπινόμενα· βουνιάδος σπέρμα, καλαμίνθη πινομένη, κάρυα βασιλικὰ μετὰ ἰσχάδων καὶ πηγάνου φύλλων προεσθιόμενα καὶ ἐπιβρωθέντα σὺν πηγάνῳ καὶ ἐλαίῳ.*

141 (137) *ἰδίως δὲ πρὸς ἀκόνιτον ἁρμόζει ἀειζώου τοῦ μείζονος ἄνθη μετ' οἴνου, ὀποβάλσαμον μετὰ γάλακτος, ἄκρατος πολὺς σὺν ἀψινθίῳ, κινάμωμον σὺν οἴνῳ, πάνακος Ἀσκληπιαδείου καρπὸς καὶ ἄνθη, πηγάνου ἀγρίου σπέρμα καὶ βρωθὲν ἄπρακτον καθίστησιν· πυτία ἐρίφου σὺν ὄξει ἢ λαγωοῦ ἢ ἐλάφου, σιδήρου σκωρία πεπυρωμένη καὶ ἐν ὀξυμέλιτι σβεσθεῖσα, ἢ σιδήριον πυρωθὲν καὶ μέλιτι σβεσθέν· ζωμὸς βόειος,* 2
κονία μετὰ οἴνου καὶ ἀβροτόνου, πράσιον σὺν οἴνῳ, χαμελαία σὺν οἴνῳ, πήγανον ὁμοίως· συκῆς φύλλα λεῖα, χαμαίπιτυς καλῶς ποιεῖ, ὀρίγανος ὀνῖτις, πολύκνημον σὺν οἴνῳ, ὄρνιθος καθηψημένης συγχυλωθείσης ζωμός, κρέως λιπαροῦ ὁμοίως· ὀποβάλσαμον σὺν γάλακτι γυναικείῳ ἢ ὕδατι· μορέας ῥίζας ἑψήσας σὺν οἴνῳ ⟨καὶ⟩ μείξας μέλιτι δίδου· ἄργυρος καὶ χρυσὸς πεπυρωμένα σβεσθέντα μέλιτι.

---

9 EXC. Aet. XIII 59. Paul. V 45. Ps. D. *Π. δ. φ.* 7 (22, 9).
9 SIM. Nic. Al. 43 (ex Apollodoro); Scrib. Larg. 188; Apollon. M. (Gal. XIV 139); Epaenetus (Ael. Prom. fol. 487, om. Rohde).

---

1 *πάνακος* om. Q: *πάναξ* R, correxi *ἀσκληπιαδίου* R: *ἀσκληπιάδος* Q 2 *ῥίζαι* Moib.: *ῥίζης* O (chart. laes. F) 3 *ἡ* om. R *μετὰ μέλιτος* addidi ex Or., cf. D. I 72 (70, 18) 4 post *ὁμοίως* aliena add. *οὖρον σαπρὸν θερμὸν πλεῖστον πίνην ἐμήν* (l. *πίνειν, ἐμεῖν*) F (del. M²)
5 *ρλ̄* F *ἀνέργητα* F (corr. M²) *δὲ* addidi
9 num. cap. *ρλ̄* F tit. *περὶ τοῦ πιόντος ἀκόνιτον* F 11 *ἀσκληπιοῦ* O, correxi 12 *σπέρμα, ὃ* coni. Gesn. *ἐπιβρωθὲν* Gesn., at cf. Pl. 20, 132 13 *ὄξει*] *οἴνῳ* Nic. Al. 68, D. II 75 (150, 18), Scrib. L., Epaen.; fort. *οἴνῳ* legendum 14 *σβεσθεῖσα — μέλιτι* om. F (mg. add. M²) 15 *καὶ* om. R 18 *ὀρίγανον ὀνίτης* Q *καθεψημένης* O, correxi 19 *κρέας* (comp. scr.) R opobalsami iam supra mentio facta est 20 *ῥίζαν* Moib.: *ῥίζας* O: *ῥίζεα* Nic. l. s. 21 *καὶ* addidi ex H *μέλιτι* H: *μέλι* reliqui 22 in fine add. *ὀπὸν μήκωνος σὺν σφέκλῃ ξηρᾷ* (*ξη* F) *σὺν ὄξει χρίειν· σημεῖα δὲ ἀκονίτου· τρέμει τὸ σῶμα καὶ ἅλλεται καὶ ὀγκοῦται καὶ πελιοῦται* F (del. M²)

142 (138) μέλι ⟨δὲ⟩ τὸ ἐν Ἡρακλείᾳ τῇ Ποντικῇ γεννώμενον βρωθὲν μανίαν ποιεῖ. βοηθεῖται δὲ οἰνομέλιτι καλῷ καὶ πηγάνῳ ἐσθιομένῳ· ὁσάκις δ' ἂν ἐξεμέσωσιν, προσφερέσθωσαν τὸ οἰνόμελι. τὴν ἄφοδον δὲ τῶν φαγόντων τὸ μέλι σύες ἢ κύνες φαγόντες τὸ αὐτὸ πάσχουσι.

143 (139) πρὸς δὲ τὸ τοξικὸν ποιεῖ· αἷμα τράγου καὶ αἰγὸς καὶ ἐρίφου καὶ νήσσης καὶ κυνὸς ἐν οἴνῳ, γογγυλίδος ἡμέρου σπέρμα πινόμενον, χαλβάνη σὺν οἴνῳ καὶ σμύρνῃ, γλυκύς, δρυὸς φλοιὸς μετὰ βοείου γάλακτος· ὁμοίως καὶ φηγοῦ ⟨ἢ⟩ πρίνου φλοιός, ἢ ῥίζης χυλὸς ⟨σὺν⟩ οἴνῳ πολλῷ ποτισθείς· μήλων ἀγρίων καρπὸς ἐσθιόμενος, στρουθία μῆλα ὁμοίως· Κυδώνια λειώσας ἐν ὕδατι σὺν γλήχωνι δίδου, ἢ ῥόδινον ἢ ἴρινον ἢ ἄμωμον καὶ βαλσάμου καρπὸν σὺν οἴνῳ.

144 (140) εἰς τὰ τοξευόμενα δὲ καὶ οἷς ἐπιχρίεται τὸ ξίφος φάρμακα ἁρμόζει ὀπὸς σιλφίου πινόμενος μετ' οἴνου καὶ ἐπιτιθέμενος τοῖς τραύμασι μετά τινος τῶν θερμαντικῶν ἀποζέματος.

145 (141) ἰξίον δὲ τοῦ μέλανος χαμαιλέοντος λεγομένου ποθέντος βοηθεῖ ἀψίνθιον τριπτὸν μετ' ὄξους, καστόριον σὺν ὄξει, ἄκρατος οἶνος πολὺς σὺν ἀψινθίῳ, ὀξύμελι, ὄξος σὺν πηγάνου ἀγρίου σπέρματι σιλφίου ῥίζα σὺν ὄξει, τραγοριγάνου

---

1 EXC. Paul. V 57. Aet. XIII 60.
6 SIM. Nic. Al. 224 sq. Scrib. Larg. 194. Apoll. M. (Gal. XIV 139).
6 EXC. Orib. IV 628, 5. Aet. XIII 70. Paul. V 53. Ps. D. 20 (30, 8).
18 SIM. Nic. Al. 298 sq. Scrib. Larg. 192. Apoll. M. (Gal. XIV 140).
18 EXC. Aet. XIII 71. Paul. V 46. Ps. D. 21 (31, 3).

---

1 ρ̅λ̅α̅ F δὲ addidi 2 βοηθοῦνται Moib. 3 ἐσθιόμενον Q 4 τῷ οἰνομέλιτι M (corr. M²)

6 num. cap. om. F tit. περὶ τοξικοῦ F ποιεῖ post πινόμενον (v. 8) transpos. O, corr. Moib. 9 post γάλακτος distinxi coll. Or., post ὁμοίως dist. O ἢ addidi 10 πρίνου Moib.: πρέμνου O (corr. M²) φλοιός scripsi coll. Or.: φύλλα O, cf. D. I 106 (99, 16) σὺν add. Moib. 12 σὺν] καὶ O, corr. Moib.

14 ρ̅λ̅β̅ FA tit. πρὸς τοὺς τρωθέντος ὑπὸ βέλους φαρμακωθέντος Q καὶ οἷς] ἃ M², om. reliqui, corr. Gesn. 16 ἀποζέματος R: ἀποζεμάτων Q

18 ρ̅λ̅γ̅ E tit. περὶ ἁπλῶν βοηθημάτων (ἁπλᾶ βοηθήματα F) εἰς τὸ αὐτό Q ἰξίον Moib.: ἰξίας (ἰξέας H) O τῷ μέλανι τοῦ χαμαιλέοντος O: corr. Moib. τοῦ λεγομένου Q 19 ποθέντι R: ποθέντα Q βοηθεῖ δὲ Q μετ' ὄξους] μετ' οἴνου D. III 23 (31, 7). Pl. 27, 50. Scr. L. l. s. 20 σὺν ἀψινθίῳ — σιλφίου ῥίζα om. F (mg. add. M²) 21 post σπέρματι add. σὺν ὄξει R, verba post σιλφίου ῥίζα transposui, ubi σὺν ῥίζης del. M²

ἀπόζεμα, ῥητίνη τερμινθίνη ἢ πιτυίνη, κάρυα βασιλικὰ ἢ τῆς καρύας οἱ βλαστοί, νάρδος μετὰ καστορίου καὶ σιλφίου ὀβολὸς μετ᾽ οἴνου, τραγορίγανον σὺν γάλακτι. ἔνιοι δέ φασι καὶ θαψίας χυλὸν πινόμενον ὠφελεῖν.

146 (142) πρὸς δὲ τοὺς κώνειον πεπωκότας ἔλαιον ἴρινον ἢ ἀψίνθιον σὺν οἴνῳ πινόμενον πολλῷ, καρδάμωμον ὁμοίως, κινναμώμου ⟨ α´ σὺν οἴνῳ, ἀκρατοποσία, ὄξος θερμόν, ἔλαιον ἀμαράκινον, πηγάνου ἀγρίου σπέρμα, στύραξ σὺν οἴνῳ, πέπερι σὺν κνίδης σπέρματι καὶ οἴνῳ, ὀπὸς σιλφίου σὺν ἐλαίῳ καὶ γλυκεῖ.

147 (143) κορίου δὲ ποθέντος ὠφελεῖ ἴρινον ἔλαιον καὶ οἶνος ἄκρατος σὺν ἀψινθίῳ· ἢ ἄλφιτα ὠμὰ σὺν θαλάσσῃ, χιὼν σὺν γλυκεῖ.

148 (144) σμίλακος δὲ ποθέντος, ὃν ἔνιοι τιθύμαλλον καλοῦσιν, Ῥωμαῖοι δὲ τάξον, δοτέον οἶνον πολὺν καὶ ὄξος, καὶ ὅσα τοῖς κώνειον πεπωκόσιν ἁρμόζει, παραληπτέον καὶ ἐπὶ ταύτης.

149 (145) τοῖς δὲ ψύλλιον πεπωκόσιν ἁρμόζει τὰ βοηθήματα, ἃ καὶ τοῖς κόριον προσενεγκαμένοις.

150 (146) τοῖς δὲ φαρικὸν πιοῦσιν ἄκρατος πολὺς ἁρμόζει σὺν ἀψινθίῳ ἢ κιναμώμῳ, γλυκὺς πολύς, νάρδος Κιλικία σὺν οἴνῳ, ἶρις ἀγρία ὁμοίως, πήγανον σὺν κριθίνῳ ἀλεύρῳ καὶ ὄξει.

---

5 SIM. Nic. Al. 195sq. Scrib. Larg. 179. Apoll. M. (Gal. XIV 138). Epaen. (Rhode Kl. Schriften I 404). Aet. XIII 63. Ps. D. 11 (24).
5 EXC. Paul. V 41.
11 SIM. Nic. Al. 162sq. Scrib. Larg. 185. Apoll. M. (Gal. XIV 139).
11 EXC. Aet. XIII 61. Paul. V 39. Ps. D. 9 (23).
14 EXC. Aet. XIII 64. Paul. V 48. Ps. D. 12 (25).
18 EXC. Aet. XIII 62. Paul. V 40. Ps. D. 10 (24).
20 SIM. Nic. Al. 402sq. Scrib. Larg. 195.
20 EXC. Paul. V 52. Ps. D. 19 (29).

---

2 *καρέας* Q *ὀβολὸς* HMoib.: *ὀβολοῦ* RF 4 *χυλὸς* F *πινόμενος* F
5 num. cap. om. F 6 *πολύν* O, corr. Gesn. 7 *κιννάμωμον* Q 8 *ἀμαράκιον* M (*ν* superscr.)
11 tit. *περὶ τοὺς πεπωκότας κόριον* F *κόριον* F 12 *ἄλφιτα* suspectum
14 tit. *περὶ τοὺς πεπωκότας τιθύμαλλον* F *τιθύμαλλον* RF, cf. D. IV 79 (241, 1): *θύμαλλον* Gesn. 15 *τάξον* Moib.: *τόξον* O 16 *καὶ*] *δὲ* F
18 tit. *περὶ τοὺς πεπωκότας ψύλλιον* F *δὲ* om. R 19 *ἃ γε* F *κορίον προσενεγκαμένης* F
20 tit. *περὶ τοὺς πεπωκότας φάρικον* F 21 post *κιναμώμῳ* add. *ἢ σμύρνη* Paul. *κιλικίας* F

151 (147) πρὸς δὲ μηκώνιον ἔλαιον σὺν ὕδατι, ἅλες σὺν ὀξυμέλιτι, γλυκύς, μέλι θερμανθὲν σὺν ῥοδίνῳ, ἄκρατος πολὺς σὺν ἀψινθίῳ· ἢ κινάμωμον σὺν ὀξυμέλιτι, ὄξος θερμόν, ὀρίγανον σὺν κονίᾳ καὶ γλυκεῖ, πηγάνου ἀγρίου σπέρμα, ῥόδινον ἢ ἴρινον.

152 (148) ἐφημέρου δὲ ποθέντος, ὃ καὶ Κολχικὸν καλοῦσιν, ὠφελεῖ καστανίων τὸ ἐντὸς λεῖον σὺν οἴνῳ, πολυποδίου τὸ ἀπόζεμα, ὀρίγανον σὺν κονίᾳ καὶ γλυκεῖ, δρυὸς ἢ φηγοῦ ἢ πρίνου φύλλα λειώσας δίδου σὺν γάλακτι, πολυγόνου χυλὸν καὶ ῥίζαν σὺν γάλακτι, ἀμπέλου ἢ βάτου χυλὸν ἢ καυλοὺς λείους σὺν ὕδατι, ἢ νάρθηκος ἐντεριώνην μετ᾽ οἴνου, ἢ ἕρπυλλον μετ᾽ οἴνου, ἢ μύρτων καρπόν, ἢ ῥοᾶς λέπη ἀποβρέξας ἐν οἴνῳ· γάλα βόειον βοηθεῖ, ὥστε ἂν παραχρῆμά τις λάβῃ τὸ γάλα, ἄλλου βοηθήματος οὐ χρήζει.

153 (149) δορυκνίου δὲ ποθέντος γάλα, γλυκύς, μελίκρατον [εἰς], ὄρνιθος στῆθος καθεψηθὲν λιπαρὸν βρωθὲν καὶ ὁ ζωμός· ἐχῖνοι, κόγχοι καὶ πορφύραι, κηραφίδες, πίναι, κτένες, κήρυκες ὠμά τε καὶ ἑφθὰ ἐσθιόμενα.

154 (150) στρύχνου δὲ μανικοῦ ποθέντος ἁρμόζει μελίκρα-

1 SIM. Nic. Al. 443 sq. Scrib. Larg. 180. Apoll. M. (Gal. XIV 138).
1 EXC. Aet. XIII 69. Paul. V 42. Ps. D. 17 (28).
6 SIM. Nic. Al. 260 sq. Scrib. Larg. 193. Apoll. M. (Gal. XIV 140).
6 EXC. Aet. XIII 57. Paul. V 47. Ps. D. 5 (20).
15 SIM. Nic. Al. 385 sq. Scrib. Larg. 191. Apoll. M. (Gal. XIV 140).
15 EXC. Aet. XIII 58. Paul. V 49. Ps. D. 6 (21).
19 EXC. Aet. XIII 58. Paul. V 49. Ps. D. 6 (21).

1 tit. *περὶ τοὺς πεπωκότας μηκώνιον* F 2 *ποὺς* RF, corr. Moib. 3 *ὀξυμέλιτι* R: *μέλιτι* Q 4 *κονίῳ* Q 5 *ἢ* om. Q post *ἴρινον* aliena add. *ἢ κόπρος ὄργης* (l. *ὄρνιθος*) *λεῖος σὺν ὄξει ἢ σὺν ὀξυμέλιτι* F (del. M^2)

6 tit. *περὶ τοὺς πεποκότας* (*ἐφήμερον* chart. laes.) F *ποθέντος*] *τροφῆς* (sic) F (corr. M^2) *κοχλικόν* F (in mg. corr. M^2) 7 *πολύπου* O, corr. Gesn. 8 *καί* om. superscr. M^2 9 *πολυγόνου — γάλακτι* om. F (mg. add. M^2) 10 *βάτου χυλοῦ* RF 11 *ἐντεριώνη* (comp. scr.) O 12 *ῥοᾶς*] *ἐρίας* (ex *ἀρίας* corr. H) Q 13 *βόειον* om. F (superscr. M^2) *λάβοι* (*η* superscr.) R 14 *οὐ* om. F

15 tit. *περὶ τοῦ πεπωκότος δορύκνιον* F *δορικνίου* Q post *γάλα* distinxi coll. Nic. Al. 385 *γλυκύ* O, corr. Gesn. *μελίκρατον* scripsi ex Aet. l. s.: *ἔλαιον* O: *χλιαρός* Gesn. 16 *εἰς* delevi: *καί* coni. Gesn. *λιπαρὸν βρωθὲν* scripsi coll. Nic. Al. 387 sq., Ael. Prom.: *λεῖον ποθὲν* O 17 *καί* fort. delendum *κηραφίδες* scripsi ex Nic. Al. 394: *καὶ γραφίδες* O (vitium idem *Π* cod. Nic. habet) *πῆνες* (*πῖναι* H) *κτῆνες* O, corr. Sar. 18 *καὶ ἄλλα τινὰ λίπος ἔχοντα ἑφθὰ ἐσθιόμενα* add. F (*καὶ — ἔχοντα* del. M^2)

18 tit. *περὶ στρύχνου μανικοῦ* F

τον, ἀμύγδαλα πικρὰ ἐσθιόμενα, ἄνησσον πινόμενον, ζωμὸς λιπαρὸς καὶ ἄλλα τινὰ λίπος ἔχοντα χλιαρὰ πινόμενα.

155 (151) πρὸς δὲ ὑοσκύαμον γάλα, μελίκρατον σὺν γάλακτι ὀνείῳ, [ἄκρατον πίνειν, ἐμεῖν] ἀμαράκινον μύρον, τῆλις σὺν ἐλαίῳ, κνίδης σπέρμα σὺν οἴνῳ ἢ τὰ φύλλα, κάρδαμον, νᾶπυ, κιχόριον, ῥάφανος, ἡσυχάζειν τε δεῖ ⟨αὐτοὺς⟩ ἀναγκάζειν, ἵνα ὥσπερ τὸν οἶνον ἐκπέσσωσι.

156 (152) κανθαρίδων δὲ ποθεισῶν βοηθεῖ ἔλαιον σὺν ὕδατι καὶ ἴρινον καὶ ῥόδινον, γάλα. φασὶν δέ τινες, ὅτι τὰ πτερὰ καὶ οἱ πόδες τῶν κανθαρίδων πινόμενα ἐν γλυκεῖ ἀντιφάρμακόν ἐστιν. ποιεῖ καὶ μήλινον ἔλαιον, πήγανον μετὰ ἰρίνου καὶ τὸ σπέρμα αὐτοῦ, ἐλάφου ἐκ τῆς πιμελῆς ζωμὸς λαμβανόμενος, γλήχων σὺν ὕδατι, λινόσπερμον συγκαθεψήσας αἰγὸς πιμελῇ ἢ προβάτου ἢ χηνὸς σαρκὶ ἐσθιέτωσαν. ἔγκλυζε δὲ γάλα, καὶ ἀμπέλου καυλοὺς τρίψας σὺν γλυκεῖ δίδου· σκορπιοειδὲς σὺν μέλιτι, Σαμίας ⟨γῆς⟩ ⟨· δ΄ μετὰ σιραίου.

157 (153) βουπρήστεως δὲ λημφθείσης δίδου ἔλαιον χλιαρόν, ἰσχάδας τρίψας καὶ ἑψήσας ⟨σὺν⟩ οἴνῳ δίδου πιεῖν· ἢ γάλα σὺν φοίνιξι λείοις, ἀχράδας ξηρὰς πολλὰς σὺν οἴνῳ λείας, γάλα βόειον νεαρόν· [ἔλαιον χλιαρόν] οὖρον γυναικεῖον ἁρμόζει πινόμενον καὶ ἐξεμούμενον.

158 (154) πιτυοκάμπης δὲ λημφθείσης ἁρμόζει γάλα γλυκύ, μήλινον ἔλαιον καὶ ἴρινον.

---

3 SIM. Nic. Al. 433. Scrib. Larg. 181. Apoll. M. (Gal. XIV 139).
3 EXC. Aet. XIII 67. Paul. V 38. Ps. D. 15 (27).
8 SIM. Nic. Al. 128 sq. Scrib. Larg. 189. Apoll. M. (Gal. XIV 141).
8 EXC. Aet. XIII 49. Paul. V 31. Ps. D. 1 (15).
17 SIM. Nic. Al. 347 sq. Scrib. Larg. 190. Apoll. M. (Gal. XIV 141). Aet. XIII 50. Paul. V 32. Ps. D. 3 (18).
22 SIM. Aet. XIII 51. Paul. V 33.

---

3 tit. περὶ ὑοσκιάμου F 4 ἄκρατον — ἐμεῖν om. R, delevi ἀμαράκιον M 6 κιχόριον] χλωρόν RH: χλωρά Q, corr. Gesn. e Paul. τε] δὲ N, fort. recte αὐτοὺς add. Moib. 7 ἵνα Moib., om. H: τε reliqui. ad rem cf. Aet. l. s. στοχάζεσθαι δὲ δεῖ ὡς τὸν οἶνον πέψωσιν post ἐκπέσσωσι aliena habet F σημεῖον δὲ τοῦτο· μέγα τε παραληρεῖ, δοκέοι μαστίγμα (sic)· σημεῖον δὲ καθαρόν· μέγας σπλήν, ὑποχονδρίων πόνος, ἰσχύων ἀπόλυσις, αἵματος οὔρησις

8 tit. περὶ κανθαρίδων F 11 δὲ καὶ Q 12 αὐτοῦ om. Q 13 λινόσπερμα O: correxi 14 σαρκία Q 16 γῆς addidi < α΄ O: corr. coll. Nic. Al. 148, Paul. l. s. σειραίου O

18 σὺν addidi ποιεῖν F 19 λείοις] λείσης Q (om. H) 20 ἔλαιον χλιαρόν del. Sar.

22 tit. περὶ πιτυοκάμπης F

159 (155) σαλαμάνδρας δὲ ποθείσης βοηθεῖ γάλα γλυκὺ σὺν ὕδατι, ῥητίνη σὺν μέλιτι, χαμαίπιτυς συνεψηθεῖσα στροβίλοις σὺν ὕδατι· κνίδης σπέρμα ἢ φύλλα σὺν κριθίνῳ ἀλεύρῳ καὶ ἐλαίῳ ἑψήσας δίδου· χαλβάνη καὶ χελώνης θαλασσίας ᾠὰ συνεψηθέντα καλῶς καὶ λαμβανόμενα, βάτραχοι μετὰ ῥίζης ἠρυγγίου ἑψηθέντες καὶ λαμβανόμενοι.

160 (156) λαγωοῦ δὲ θαλασσίου ποθέντος βοηθεῖ ποθὲν γυναικὸς γάλα ἢ ὄνου, κεδρία σὺν γλυκεῖ ἢ οἴνῳ, κεδρίδες ἐσθιόμεναι, κυκλαμίνου ῥίζα σὺν οἴνῳ, μολόχης τῶν καυλῶν ⟨ἀφέψημα⟩ σὺν τῇ ῥίζῃ, ἐλλεβόρου μέλανος ἢ σκαμμωνίας <· α΄, ῥοαὶ ἐσθιόμεναι οἰνώδεις καὶ οἱ πυρῆνες· οὐδὲν δὲ τῶν ἰχθύων ὑπομένουσι προσφέρεσθαι, εἰ μὴ καρκίνους ποταμίους, καὶ τού-
2 τους μόνους πέσσουσιν. τεκμήριον δὲ τοῦ δύνασθαι σωθῆναι αὐτούς, ἐὰν ἰχθῦς ἡδέως προσενέγκωνται. ἁρμόζει δὲ καὶ ἐλλέβορος λευκός· οὐ γὰρ εὐλαβητέον ἐπ᾿ αὐτῶν τοὺς ἐμέτους. βοηθεῖ δὲ ἐν ἀρχῇ καὶ οὖρον ἀνθρώπειον ποθὲν καὶ ἐξεραθέν, καὶ χηνὸς αἷμα παραχρῆμα πινόμενον, καὶ κυκλαμίνου ῥίζα μετ᾿ οἴνου.

161 (157) πρὸς δὲ φρῦνον καὶ τὸν κωφὸν βάτραχον βοηθεῖ χελώνης θαλασσίας ἢ χερσαίας αἷμα ξηρὸν μετ᾿ οἴνου· δαμασωνίου ῥίζης προσφάτου σὺν ὄξει <· α΄, ξηρᾶς δὲ <· β΄ μετ᾿ οἴνου· ποιεῖ καὶ ἄκρατος πολὺς πινόμενος καὶ ἐξεμούμενος, καλάμων ῥίζα σὺν οἴνῳ, κύπερος σὺν οἴνῳ, καὶ δίωκε περιπά-

---

1 SIM. Nic. Al. 546 sq. Scrib. Larg. 187.
1 EXC. Aet. XIII 52. Paul. V 32. Ps. D. 4 (19).
7 SIM. Nic. Al. 465 sq. Scrib. Larg. 186. Apoll. M. (Gal. XIV 139).
7 EXC. Aet. XIII 53. Paul. V 34. Ps. D. 30 (37).
19 SIM. Nic. Al. 584 sq.
19 EXC. Aet. XIII 54. Paul. V 35. Ps. D. 31 (39).

---

1 tit. *περὶ σαλ⟨αμάνδρ⟩ας* F   fort. *γάλα, γλυκὺς*   2 *στρόβι(ν F)λοι* O, corr. Gesn.   4 *ᾠὰ* scripsi: *αἷμα* O, cf. Nic. Al. 555. Paul. l. s.

7 tit. *περὶ λαγωοῦ θαλασσίου ποθέντος* F   *δὲ* om. R   *θαλασσίου* om. Q   9 *ῥίζης* Q   *τῶν καύλων* (sic) R: *τὸν καυλὸν* Q: *τῶν φύλλων* Paul.   *ἀφέψημα* addidi e Paul.   15 *ἐπ᾿ αὐτῶν* H: *ἐπ᾿ αὐτῷ* R: *ἐπ᾿ αὐτὸν* reliqui   16 *ἀνθρώπινον* Q   *ἐξερευθέν* Q (corr. M²)   17 fort. *πινόμενον θερμόν*   *καὶ — οἴνου* del. M², om. Moib.   18 post *οἴνου* transp. Sar. aliena quae cap. 127 add. F

19 tit. *περὶ φρύνων καὶ τῶν κωφῶν βατράχων* F   20 *δαμασώνου* F   21 *σὺν οἴνῳ* D. III 152 (160, 3)   *δραγμαὶ δύο* F   23 *καλάμου ῥίζης* <· β΄ Paul.   *δίωκε* scripsi: *διώκει* O

τοις ἢ δρόμοις χρώμενος καὶ λοῦε ἐν πυριατηρίοις· ἰδίως δὲ ⟨ποιεῖ⟩ πρὸς φρῦνον βάτραχος ἑφθὸς ἢ ὀπτὸς προσφερόμενος.

162 (158) ταυρείου ⟨δὲ⟩ αἵματος ποθέντος βοηθοῦσιν ὄλυνθοι σὺν ὄξει ποθέντες καὶ καθ' ἑαυτούς, ὄξος, νίτρον σὺν σιλφίῳ, πυτία ἐρίφου ἢ λαγωοῦ μετ' οἴνου, νίτρου <· α' μετ' οἴνου, κράμβης σπέρμα σὺν ὄξει, κονύζης φύλλα σὺν πεπέρει, [ἢ] βάτου χυλὸς σὺν ὄξει, καὶ φλεβοτομεῖν ⟨δὲ⟩ δεῖ κοιλίαν τε κινεῖν, ἐμέτους δὲ φυλάττεσθαι ὡς βλαβερούς.

163 (159) γάλακτος δὲ θρομβωθέντος ὠφελίμως δίδοται γλυκὺς πολύς, ὄλυνθοι σὺν ὄξει καὶ ὄξος, ὀπὸς σιλφίου σὺν ὀξυκράτῳ ἢ κονίᾳ, πυτία λαγωοῦ ἢ νεβροῦ ἢ ἐρίφου ἢ ἀρνὸς ἢ δορκάδος ἢ βουβάλου ἢ μόσχου σὺν ὄξει, γλυκὺς σὺν ὄξει, ἡδύοσμον σὺν ὄξει, καὶ κοιλίαν δὲ λύε· ἔνιοι δὲ ἡδύοσμον σὺν οὔρῳ διδόασιν· ὄξος χλιαρόν. ἁλυκὸν δὲ μηδὲν προσφέρειν· μᾶλλον γὰρ πήγνυται τὸ γάλα· ἀλλ' οὐδ' ἐμεῖν δεῖ διὰ τὸ δυσβοηθητότερον τοῦ αἵματος.

164 (160) πρὸς δὲ μύκητας ποιεῖ ἀλεκτορίδων ἄφοδος σὺν ὀξυκράτῳ, ἀριστολοχείας <· α' μετ' οἴνου, κονία ⟨ἡ⟩ ἐκ κλημάτων ἢ ἐξ ἀχράδος τοῦ δένδρου ποθεῖσα, καὶ συνεψόμενα δὲ τοῖς μύκησιν αἱ ἀχράδες καὶ τὰ φύλλα αἴρουσι τὸ πνιγῶδες αὐτῶν· ἀψίνθιον μετ' ὄξους, μέλι ἐκλειχόμενον καὶ πινόμενον

---

3 SIM. Nic. Al. 319 sq. Scrib. Larg. 196. Apoll. M. (Gal. XIV 143).
3 EXC. Aet. XIII 74. Paul. V 55. Ps. D. 25 (34).
9 SIM. Nic. Al. 366 sq. Scrib. Larg. 197. Apoll. M. (Gal. XIV 142). Orib. V 680.
9 EXC. Orib. IV 628, 11. Aet. XIII 75. Paul. V 56. Ps. D. 26 (35).
17 SIM. Nic. Al. 527 sq. Apoll. M. (Gal. XIV 140. Orib. V 679). Cels. V 27, 12. Scrib. Larg. 198. Epaen. (Rhode l. s. 406).
17 EXC. Orib. IV 628. Aet. XIII 73. Paul. V 54. Ps. D. 23 (33).

---

2 ποιεῖ addidi
3 tit. περὶ ταυρίου αἵματος F   initio aliena habet F ⟨σημεῖα⟩ δὲ (ἡ δὲ M) ταυρείου αἵματος ⟨ποθέντος⟩ ἀφωνία· πόνος (-ον F) στομάχου· οὐρῆσαι οὐ δύναται   δὲ addidi   4 καὶ om. Q   ἑαυτό O, correxi coll. Aet. l. s. ὁ δὲ τῆς ἀγρίας συκῆς καρπὸς ξηρὸς ἐσθιόμενος παραχρῆμα λύει τοὺς θρόμβους   7 ἢ delevi   δὲ addidi

9 θρομβηθέντος F (corr. M^2)   10 post πολύς transp. ὄξος χλιαρόν (v. 14) Moib., fort. recte   ὄξος (alt.)] ὄξους F, fort. καὶ ὄξος delenda   11 νευροῦ Q   13 λύει O: λύειν Gesn., correxi   14 ἅλικον F   fort. προσφέρειν δεῖ vel πρόσφερε   15 διὰ] δὲ Q

17 ἀλεκτορίδος Q   ἄφοδος] ᾠὰ Paul., at cf. Aet. l. s.   18 κλημάτων κονία ἢ Q   ἡ addidi   19 συνεψόμενον F (αι superscr. M^2)   21 ἀψινθίου Q Paul.   μετ' ὄξους] σὺν οἴνῳ Paul.

σὺν ὕδατι, μελισσόφυλλον σὺν νίτρῳ, νίτρον ἢ κονία ἢ ἅλες
2 σὺν ὄξει· ἀχράδες ἐσθιόμεναι, ἀμαράκινον πινόμενον, ἄκρατος πινόμενος, πάνακος Ἀσκληπιαδείου ῥίζα καὶ καρπός, πήγανον σὺν ὄξει, τρὺξ οἴνου κεκαυμένη καὶ ὠμὴ πινομένη μεθ' ὕδατος, ῥάφανος ἐσθιομένη [χαλκοῦ ἄνθος σὺν ὄξει], κάρδαμον ἢ νᾶπυ. ἄκρως δὲ ποιεῖ τὸ τοῦ χαλκοῦ ἄνθος σὺν ὄξει, πυρακάνθου ῥίζα σὺν ὄξει.

165 (161) γύψου δὲ ποθείσης ποιεῖ γάλα· ἐμείτω δὲ ⟨αὐτό⟩· ἔλαιον σὺν μελικράτῳ ἢ σύκων ἀφεψήματι, κονία συκίνη σὺν οἴνῳ, ὀρίγανον σὺν κονίᾳ ἢ ὄξει, μολόχης ἀπόζεμα.

166 (162) πρὸς δὲ τοὺς λιθάργυρον πιόντας ποιεῖ ἄκρατος πολὺς διδόμενος σὺν ἀψινθίῳ, σελίνου σπέρμα, ὑπερικόν, ὕσσωπον σὺν οἴνῳ, σμύρνης ⩨, ὁρμίνου σπέρμα, σελίνου ἀγρίου σπέρμα σὺν οἴνῳ, λειμώνιον καὶ σέλινον καὶ ἀγρίων περιστερῶν κόπρος ξηρὰ δοθεῖσα μετὰ νάρδου.

167 (163) ψιμυθίου δὲ ποθέντος ἔλαιον, μελίκρατον, σύκων ἀφέψημα σὺν ἐλαίῳ θερμῷ, γάλα· ἐμείτω δὲ αὐτό. ὄλυνθοι σὺν ὄξει, μολόχης ἀφέψημα σὺν ταῖς ῥίζαις, ἀμαράκινον, ἴρινον, σήσαμον λεῖον μετ' οἴνου, κονία κληματίνη, περσέων ὀστᾶ σὺν

---

8 SIM. Scrib. Larg. 182. Apoll. M. (Gal. XIV 142).
8 EXC. Aet. XIII 76. Paul. V 58. Ps. D. 24 (34).
11 SIM. Nic. Al. 601 sq. Scrib. Larg. 183. Apoll. M. (Gal. XIV 142).
11 EXC. Aet. XIII 78. Paul. V 61. Ps. D. 27 (36). Orib. IV 628, 17.
16 SIM. Nic. Al. 87 sq. Scrib. Larg. 184. Apoll. M. (Gal. XIV 142).
16 EXC. Aet. XIII 77. Paul. Aeg. V 59. Ps. D. 22 (32).

---

1 *νίτρον* om. Q *ἢ* (pr.) om. R 2 post *οξει* nov. inc. cap. (cum tit. *περὶ ἀχράδες ἐσθιόμεναι* F) O *ἄκρατον πινόμενον* O, corr. Moib. 3 *ἀσκληπιοῦ* O, correxi *καρπὸς σὺν οἴνῳ* Paul. 5 *χαλκοῦ — ὄξει* del. Moib. *καρδαμίνη· νάπη* (vel *νάπυ*) Q 6 *παρακάνθου* Q: *τραγακάνθου* Gesn.: *πυρῖτις* Nic. Al. 531 coll. schol. Th. 683. D. III 73

8 tit. *περὶ ποτὸν* (sic) *γύψους* F *γάλα* om. F (superscr. M²) *αὐτὸ* addidi 9 *κόνη* O *συκίνη ἢ κληματίνη* Paul. 10 *ἢ*] *καὶ* O, corr. Moib.

11 *περὶ ποτὸν λιθαργύρου* F 12 *σελίνου ἀγρίου* Q post *σπέρμα* add. *σὺν οἴνῳ* Sar. *ὑπερίκου* R, om. F (mg. add. M²) 13 *σμύρνης τριώβολον* Aet., at cf. Nic. l. s. post *ὁρμίνου* add. *ἀγρίου* Ps. D. l. s. *ὁρμ. σπέρματος* O, corr. Moib. 14 *λιμώνειον* R: *λιμόνιον* F 15 *ξηρὰ* om. M

16 tit. *περὶ π* (rel. detritis) F initio aliena add. *σημεῖον δὲ τοῦτο καρδίας πόνος· ἐρεγμοὶ ψιμιθώδεις· ἐνίοτε δὲ καὶ τοὺς οἴνους ὄξει* (sic) F *ψιμιθίου* F 17 *ἐμεῖ* F (*το* superscr. M²): *ἐμεῖται* Moib. 18 fort. *ἀμαράκινον ἔλαιον ἢ* coll. Paul. 19 *Περσικῶν* Paul., fort. recte

ἐλαίῳ ⟨ἢ⟩ κριθῶν ἀφεψήματι, κόμμι κοκκυμήλων, πτελέας τὸ ἐν τοῖς θυλακίοις ὑγρόν. χρῆσθαι δὲ ⟨δεῖ⟩ μετὰ τοὺς ἐμέτους καὶ θαψίας χυλῷ ἢ σκαμμωνίας.

168 (164) ὑδραργύρου ⟨δὲ⟩ ποθείσης ἁρμόζει γάλα πινόμενον· ἐμείτω δὲ αὐτό· καὶ τὰ πρὸς λιθάργυρον δὲ ἀναγεγραμμένα ποιεῖ. ἄκρως δὲ βοηθοῦνται χρυσοῦ ἐλασμάτιον μικρόν τι καταπίνοντες περιφερές· περιχωνεύεται γὰρ τῷ χρυσῷ διὰ συγγένειαν καὶ συνολισθαίνει διὰ τῆς ἕδρας.

ὅσα διὰ πείρας ἡμῖν, ὦ φίλτατε Ἀνδρόμαχε, τῶν ἁπλῶν φαρμάκων ἐν δυσὶ τόμοις συνειλοχότες ἀπεστάλκαμέν σοι.

---

4 SIM. Orib. IV 628, 22. Aet. XIII 79. Paul. V 63. Ps. D. 28 (37).

---

1 ἢ add. Sar. e Paul. ἀφέψημα O, corr. Sar. 2 δεῖ addidi
